XLVII. Respondit Petrus: Dei lex per Moysen septuaginta viris sapientibus absque scripto data est, ut cæteris traderetur, utque per successionem observari posset. Post Moysis vero assumptionem scripta est ab aliquo, non autem a Moyse. In ipsa enim lege scriptum est: *Et mortuus est Moyses, et sepelierunt eum prope domum Phogor: et nemo cognovit sepulcrum ejus usque in præsentem diem* (*b*). Potuitne mortuus Moyses scribere, *mortuus est Moyses?* Quandoquidem tempore post Moysen, quasi quingentis annis aut circiter, in exstructo

(*a*) Gen. xv, 13-16. (*b*) Deut. xxxiv, 5.

VARIÆ LECTIONES.

[28] Μωσῆς O. [29] Μωϋσῇ O. [30] Vbb. εἰ κατὰ τὴν κραυγὴν αὐτῶν accesserunt ex O. [31] ἀμεταμέλητα C. [32] Neandri conjecturam ἀπαρχάς (*Gnost. syst.* p. 382) confirmat O., ἀπ' ἀρχῆς C. Ad oram cod. Ottob. νέθα κατὰ τοῦ νόμου. [33] οὔτ' αἱ C., οὔθ' αἱ S., [34] σκότος καὶ γνόφος καὶ θύελλα O. [35] Ita S. auctore D., ἐδύνατο C., O. Hanc lectionem retinet Neander *Gnost. syst.* p. 398, et addit ἐπί post γέγραπται. Cfr. Psal. xvii. [36] ἥλιον πᾶσιν, τοῖς ἀν. ἄστροις C. [37] ὁ C., ὦ S. [38] δι' ὃ C. Tum addidi τῇ c. O. [39] Μωϋσέος O. [40] Μωϋσέος O. [41] Μωϋσέος O. [42] Μοϋσῆν O.

VARIORUM NOTÆ.

(76) Ὁ τοῦ Θεοῦ νόμος. Apud Epiphanium, Ptolemæus hæreticus Pentateuchi quædam tribuit Deo, alia Mosi, alia denique senioribus populi. In eodem Nazaræi asserunt Moysen aliam accepisse ac scripsisse legem ab ea quæ vulgo circumfertur. De loco autem Deut. xxxiv 5, consulendi sunt interpretes. Cot.

templo posita lex reperitur, et post alios similiter quingentos annos remansit : sicque sub Nabuchodonosore periit incendio. Et tamen post Moysen scripta et sæpe deperdita etiam Moysis præscientiam professa est, quia ille ejus abolitionem prævidens non composuit eam : qui autem composuerunt quod abolitionem non præviderent, in ignorantia sunt deprehensi, ideoque prophetæ non erant.

XLVIII. Tum Simon : Quandoquidem, quæ ad Deum pertinent, ut dixisti, intelligenda sunt ex comparatione ad creationem, quo modo reliqua legis, quæ ex Moysis traditione et vera sunt, sed falsis permista, dignosci possunt? Ad hæc Petrus : Quoddam, inquit, capitulum in scripta lege secundum Dei providentiam salubriter commemoratum est, ut clare appareret, quænam e scriptis vera sint, quænam falsa. Et Simon : Quodnam illud sit, nobis indica.

XLIX. Respondit Petrus : Jam dico. Scriptum est in primo legis volumine, circa finem : *Non deficiet princeps de Juda, neque dux de femoribus ejus ; donec veniat cujus est : et ipse exspectatio gentium* (*a*). Si quis ergo eum, qui venit post defectum principis ac ducis de Juda, quique a gentibus exspectandus erat, potest cognoscere, ille per capitulum et per ea, quæ evenerunt, agnoscet verum esse illum qui venit, cujus doctrinæ acquiescent sciet, quænam in Scripturis vera sint et quænam falsa. Ac Simon : Intelligo, quod Jesum vestrum dicis quasi a Scriptura prophetatum : id ergo ita habere concedatur. Dic itaque quo modo vos docuerit discernere Scripturas.

L. Et Petrus : Quod vera cum falsis mista fuerint, memini ab eo, cum Sabducæos accusaret, dictum ita : *Ideo erratis, nescientes vera Scripturarum, propter quod ignoratis virtutem Dei* (*b*). Si autem objecit, eos vera Scripturarum nescire, falsa quoque Scripturarum esse apparet. Sed et dicendo : *Estote probi trapezitæ*, ostendit, in Scripturis et probos contineri sermones et adulterinos. Cumque ait : *Quare non intelligitis quod in Scripturis rationi consonum est?* firmiorem reddit animum hominis qui candide intelligere vult.

LI. Quod autem Scripturarum propositum ad

A νος εὑρίσκεται, καὶ μεθ' **105** ἕτερά που πεντακόσια ἔτη φέρεται, καὶ ἐπὶ τοῦ Ναβουχοδονόσορ οὕτως ἐμπρησθεὶς [43] ἀπόλλυται. Καὶ ὅμως μετὰ Μωϋσῆν γραφεὶς καὶ πολλάκις ἀπολωλὼς τὴν τοῦ Μωϋσέως [44] πρόγνωσιν καὶ οὗτος ὡμολόγησεν, ὅτι τὸν ἀφανισμὸν αὐτοῦ προειδὼς οὐκ ἔγραψεν· οἱ δὲ γράψαντες τῷ τὸν ἀφανισμὸν μὴ προεγνωκέναι ἐπ' ἀγνωσίας ἐλεγχθέντες, προφῆται οὐκ ἦσαν.

XLVIII. Καὶ ὁ Σίμων· Ἐπειδὴ τὰ περὶ Θεοῦ, ὡς ἔφης, ἐκ τῆς πρὸς τὴν κτίσιν παραβολῆς ἔστι νοῆσαι, πῶς τὰ λοιπὰ ἐν τῷ νόμῳ, ἐκ παραδόσεως Μωϋσέως [45] ὄντα καὶ ἀληθῆ τυγχάνοντα καὶ τοῖς ψευδέσι μεμιγμένα ἐπιγνῶναί ἐστι δυνατόν ; Καὶ ὁ Πέτρος ἔφη· Περικοπή τις ἐν τῷ γραφέντι νόμῳ μετὰ τὴν [46] τοῦ Θεοῦ πρόνοιαν ἀπταίστως ἐπεμνημο-
B νεύθη, ὥστ' ἂν σαφῶς δεῖξαι τῶν γεγραμμένων ποῖά ἐστιν ἀληθῆ, ποῖα δὲ ψευδῆ. Καὶ ὁ Σίμων· Τίς ἐστιν αὕτη, μήνυσον ἡμῖν.

XLIX. Καὶ ὁ Πέτρος ἔφη· Αὐτίκα ἐρῶ. Γέγραπται ἐν τῷ πρώτῳ τοῦ νόμου βιβλίῳ πρὸς [47] τοῖς τελευταίοις· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ οὗ ἐστιν· καὶ αὐτὸς προσδοκία ἐθνῶν. Ἐάν τις οὖν τὸν, μετὰ τὸν [48] ἐξ Ἰούδα ἐκλεῖψαι ἄρχοντα καὶ ἡγούμενον, ἐληλυθότα καὶ ὑπὸ ἐθνῶν προσδοκᾶσθαι μέλλοντα νοῆσαι δυνηθῇ, οὗτος τὴν περικοπὴν [49] ἐκ τῶν ἀποτελεσθέντων ἀληθῆ τὸν ἐληλυθότα **106** ἐπιγνῶναι· οὗ τῇ διδασκαλίᾳ πειθόμενος γνώσεται τίνα ἐστὶ τῶν Γραφῶν τὰ ἀληθῆ, τίνα δὲ τὰ ψευδῆ. Καὶ ὁ Σίμων· Συνίημι ὅτι τὸν [50] Ἰησοῦν ὑμῶν λέγεις, ὡς αὐτὸν ὑπὸ τῆς Γραφῆς προφητευθέντα· δεδόσθω
C τοιγαροῦν οὕτως ἔχειν. Λέγε τοίνυν, πῶς ὑμᾶς διακρίνειν τὰς Γραφάς ἐδίδαξεν ;

L. Καὶ ὁ Πέτρος· Ὅτι μέμικται τὰ ἀληθῆ τοῖς ψευδέσιν, μέμνημαί που αὐτὸν αἰτιώμενον τοὺς Σαδδουκαίους εἰπεῖν· Διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰ ἀληθῆ τῶν Γραφῶν, οὗ [51] εἵνεκεν ἀγνοεῖτε τὴν δύναμιν τοῦ Θεοῦ. Εἰ δὲ τὰ ἀληθῆ τῶν Γραφῶν ἀγνοεῖν αὐτοὺς ὑπέβαλεν, δῆλον ὡς ὄντων ψευδῶν. Ἀλλὰ καὶ ἐν τῷ φῆναι· Γίνεσθε τραπεζῖται [52] δόκιμοι, ὡς δοκίμων καὶ κιβδήλων λόγων ὄντων. Καὶ τῷ [53] εἰπεῖν· Διὰ τί οὐ νοεῖτε τὸ εὔλογον τῶν Γραφῶν (77) ; βεβαιότερον τοῦ αὐθαιρέτως εὐγνωμονοῦντος τίθησι τὸν νοῦν [54].

LI. Τὸ δὲ καὶ τῶν Γραφῶν προκείμενον [55] ἐπὶ

(*a*) Gen. XLIX, 10. (*b*) Matth. XXII, 29.

VARIÆ LECTIONES.

[43] ἐμπρησθέν O. [44] Μωϋσέος O. Ita constanter. Tum οὕτως mavult S. [45] Μωϋσέος O., qui deinde τυγχάνονται. [46] τήν om. O., qui tum scr. προνοίᾳ ἀπταίστῳ. [47] πρό O. [48] τόν om. C. [49] Locus mancus. Suppleri potest hoc modo : Δυνήσεται οὗτος διὰ τὴν περικοπήν, κ. τ. λ. C. Locum mancum esse non puto, sed nonnihil corruptus est, atque hac ratione sanandus : νοῆσαι· δυνηθῇ οὗτος τῇ περικοπῇ ἐκ τῶν, κ. τ. λ. D. [50] τόν prætermisit S. [51] τοῦ S. c. Cl. sine codd. auctoritate. [52] Ita O. c. S., τραπεζεῖται Cl. [53] τῷ S, O., τό C. [54] ιν (id est Ἰησοῦν) O. [55] προκειμένων C.

VARIORUM NOTÆ.

(77) Διὰ τί οὐ νοεῖτε τὸ εὔλογον τῶν Γραφῶν. Verba cujusdam apocryphi. Forte Evangelii Ebionitarum Cot.

A γραμματεῖς καὶ διδασκάλους πέμπειν, ὡς τοῦ ὄντως [56] νόμου εἰδότας τὰ ἀληθῆ, δῆλόν ἐστιν. Τὸ δὲ καὶ εἰπεῖν αὐτόν· Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, καὶ φαίνεσθαι αὐτὸν καταλύοντα, σημαίνοντος ἦν, ὅτι, ἃ κατέλυσεν, οὐκ ἦν τοῦ νόμου. Τὸ δὲ καὶ εἰπεῖν· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα δὲ [57] ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου· τὰ πρὸ οὐρανοῦ καὶ γῆς παρερχόμενα ἐσήμανε μὴ ὄντα τοῦ ὄντως νόμου.

107 LII. Ἐπεὶ οὖν οὐρανοῦ καὶ γῆς ἔτι συνεστώτων παρῆλθον θυσίαι, βασιλεῖαι, αἱ ἐν γεννητοῖς γυναικῶν προφητεῖαι, καὶ ὅσα [58] τοιαῦτα, ὡς οὐκ ὄντα θεοῦ προστάγματα, ἔνθεν γοῦν λέγει· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατὴρ ὁ οὐράνιος, ἐκριζωθήσεται. Διὰ τοῦτο αὐτὸς ἀληθὴς ὢν προφήτης ἔλεγεν· Ἐγώ εἰμι ἡ πύλη τῆς ζωῆς· ὁ δι' ἐμοῦ εἰσ- B ερχόμενος εἰσέρχεται εἰς τὴν ζωήν· ὡς οὐκ οὔσης ἑτέρας τῆς σώζειν δυναμένης διδασκαλίας. Διὸ [59] καὶ ἐβόα λέγων· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, τουτέστιν, οἱ τὴν ἀλήθειαν ζητοῦντες καὶ μὴ εὑρίσκοντες αὐτήν. Καὶ πάλιν· Τὰ ἐμὰ πρόβατα ἀκούει [60] τῆς ἐμῆς φωνῆς. Καὶ ἄλλοτε· Ζητεῖτε καὶ εὑρίσκετε, ὡς μὴ προδήλως κειμένης τῆς ἀληθείας.

LIII. Ἀλλὰ καὶ ἐξ οὐρανῶν [61] μάρτυς φωνὴ ἠκούσθη λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου [62] ὁ ἀγαπητός, εἰς ὃν εὐδόκησα, τούτου ἀκούετε. Καὶ πρὸς τούτοις ἐπιπλεῖον αὐτοὺς [63] πεπλανημένους ἐλέγξαι θέλων τοὺς προφήτας, παρ' ὧν δὴ μεμαθηκέναι ἐβεβαίουν, ἐπιθυμοῦντας ἀληθείας καὶ μὴ μεμαθηκότας τελευτήσαντας ἀπεφήνατο εἰπών· Πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς C βλέπετε, καὶ ἀκοῦσαι ἃ ὑμεῖς ἀκούετε, καὶ ἀμὴν λέγω ὑμῖν, οὔτε εἶδον [64], οὔτε ἤκουσαν. Ἔτι μὴν ἔλεγεν· Ἐγώ εἰμι περὶ οὗ Μωϋσῆς προεφήτευσεν εἰπών· Προφήτην ἐγερεῖ [65] ὑμῖν Κύριος ὁ **108** θεὸς ἡμῶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὥσπερ καὶ ἐμὲ, αὐτοῦ ἀκούετε κατὰ πάντα· ὃς ἂν δὲ [66] μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἀποθανεῖται.

LIV. Ὅθεν ἀδύνατόν ἐστιν ἄνευ τῆς τούτου διδασκαλίας ἀληθείᾳ σωζούσῃ ἐπιστῆναι, κἂν τὸν αἰῶνά τις ζητῇ, ἔνθα τὸ ζητούμενον οὐκ ἔστιν· ἦν δὲ καὶ ἔστιν ἐν τῷ Ἰησοῦ ἡμῶν λόγῳ. Πλὴν τἀληθῆ [67] τοῦ νόμου εἰδὼς Σαδδουκαίοις πυνθανομένοις, καθ' ὃν λόγον Μωϋσῆς ἑπτὰ συνεχώρησεν γαμεῖν, ἔφη· Μωϋσῆς κατὰ τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν. Ἀπ' ἀρχῆς γὰρ οὕτως οὐκ ἐγένετο. Ὁ γὰρ κτίσας ἀπ' ἀρ- D χῆς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτόν.

A scribas et doctores remittit, clarum est remittere tanquam ad eos qui veræ legis vera cognoscebant (a). Quod etiam ipsa ait : *Non veni solvere legem* (b), et tamen conspicitur solvere, id significantis est, ea quæ sovit non pertinuisse ad legem. Sed et dicendo : *Cœlum et terra transibunt, sed iota unum aut unus apex non præteribit a lege* (c) ; manifestavit, veræ legis non esse illa quæ ante cœlum et terram transierunt.

LII. Quando igitur cœlo et terra adhuc stantibus transierunt sacrificia, regna, prophetiæ, quæ inter natos mulierum, et quæ his similia, quasi quæ non essent Dei mandata ; inde ergo ait : *Omnis plantatio, quam non plantavit Pater cœlestis, eradicabitur* (d). Propter hoc ipse, verus propheta, dixit : B *Ego sum porta vitæ : qui per me introit, introit in vitam* (e), quia non est alia doctrina, quæ possit salvum facere. Quocirca clamabat, dicens : *Venite ad me, omnes qui laboratis* (f), hoc est, qui quæritis veritatem, nec invenitis eam. Et iterum : *Oves meæ vocem meam audiunt* (g). Et alias : *Quærite et invenietis* (h) ; quod veritas clare non sit posita.

LIII. Sed et de cœlis testis vox audita est, dicens : *Hic est Filius meus dilectus, in quo mihi complacui : ipsum audite* (i). Et adhuc magis demonstrare volens ipsos prophetas errasse, a quibus se didicisse affirmabant, eos mortuos esse in desiderio et non in cognitione veritatis pronuntiavit, his verbis : *Multi prophetæ et reges cupierunt videre* C *quæ vos videtis et audire quæ vos auditis : et amen dico vobis, neque viderunt neque audierunt* (j). Dixit præterea : *Ego sum de quo Moyses prophetavit, dicens : Prophetam suscitabit vobis Dominus Deus noster ex fratribus vestris, sicut me ; ipsum in omnibus audite. Qui autem non audierit prophetam illum morietur* (k).

LIV. Quare impossibile est, sine ipsius doctrina salutiferæ insistere veritati, quamvis in æternum quis quærat, ubi quod quæritur non consistit, constitit autem et consistit in Jesu nostri sermone. Itaque cum sciret vera legis, Sadducæis interrogantibus, qua ratione Moyses matrimonium cum septem contrahere permisisset, respondit : *Moyses* D *ad duritiam vestram permisit vobis. Ab initio enim non fuit sic. Qui enim ab initio creavit hominem, masculum et feminam fecit eum* (l).

(a) Matth. XXIII, 2.
(b) Matth. V, 17.
(c) Matth. XXIV, 35 ; V, 18.
(d) Matth. XV, 13.
(e) Joan. X, 9.
(f) Matth. XI, 28.
(g) Joan. X, 27.
(h) Matth. VII, 7.
(i) Matih. XII, 5.
(j) Matth. XIII, 17 ; Luc. X, 24.
(k) Joan. V, 46 ; Act. III, 22.
(l) Mattb. XVII, 23 ; XIX, 8, 4.

VARIÆ LECTIONES.

[56] ὄντος C. [57] δὲ add. c. O. [58] ὅσα excidit ap. Cl et S. [59] δι' ὃ C. πρὸς μέ om. O. [60] ἀκούουσι (sic) O. [61] οὐρανοῦ O. [62] μου ὁ Υἱὸς C. [63] τούς O. [64] Ita O. c. S, ἴδον C. [65] ἐγείρῃ O. [66] καί O. [67] τὰ ἀληθῆ O, in cujus marg. monetur ; νόθα κατὰ νόμου.

LV. Iis vero qui arbitrantur, quemadmodum docent Scripturæ, Deum jurare, dicit : *Sit sermo vester, est, est ; et non, non ; quod enim his abundantius est, a malo est* (*a*). Et iis qui dicunt, Abrahamum, Isaacum et Jacobum esse mortuos, ait : *Non est Deus mortuorum, sed viventium* (*b*). Iis autem qui Deum putant esse tentatorem, sicut aiunt Scripturæ, dicit tentatorem esse diabolum, qui et tentavit eum. Iis vero qui Deum suspicantur non præscire, infit ; *Scit enim Pater vester cælestis, quia his omnibus indigetis, antequam petatis eum* (*c*). Et iis qui juxta Scripturas credunt Deum non omnia cernere : *Orate*, inquit, *in abscondito, et Pater vester, qui videt abscondita, reddet vobis* (*d*).

LVI. Existimantibus porro Deum non esse bonum, ut aiunt Scripturæ, ita locutus est : *A quo ex vobis filius petet panem, nunquid lapidem porriget ei? Aut et piscem petet, nunquid serpentem ei porriget ? Si ergo vos, eum sitis mali, nostis bona dona dare filiis vestris, quanto magis Pater cælestis dabit bona petentibus se et facientibus voluntatem suam* (*e*) ? Asserentibus autem, eum in templo esse, dixit : *Nolite jurare per cælum, quia thronus Dei est, neque per terram, quia scabellum est pedum ejus* (*f*). Et præsumentibus, Deum sacrificiis delectari, ait : *Deus misericordiam vult, et non sacrificia, agnitionem suam, et non holocausta* (*g*).

LVIII. Ad eos autem, qui secundum Scripturas Deum esse malum credunt, ait : *Ne me dicatis bonum, unus etenim bonus est* (*h*). Et rursus : *Estote boni et misericordes, sicut Pater, qui in cælis est, qui solem oriri facit super bonos et malos, et pluviam demittit super justos et injustos* (*i*). Ad eos vero qui in eam fraudem inducti sunt, ut cum Scripturis censeant multos esse deos, sic loquitur : *Audi Israel, Dominus Deus tuus Deus unus est* (*j*).

LVIII. Itaque Simon, intelligens quod Petrus eum cogeret Scripturis uti quemadmodum docuit Jesus, inquisitionem noluit versari circa sermonem de Deo licet Petrus rogatu ipsius consilium mutasset, inquisitionemque concessisset per interrogationem ac responsionem fieri. Cæterum disputatio per tres dies duravit. Quarto autem illucescente, Simon nocte versus Tyrum Phœniciæ profugit. Nec multis

A LV. Τοῖς δὲ νομίζουσιν, ὡς αἱ Γραφαὶ διδάσκουσιν, ὅτι ὁ Θεὸς ὀμνύει, ἔφη· Ἔστω ὑμῶν τὸ ναί, ναί, καὶ [68] τὸ οὔ, οὔ· τὸ γὰρ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. Καὶ τοῖς λέγουσιν ὅτι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ [69] Ἰακὼβ ἀπέθανον [70], ἔφη· Οὐκ ἔστιν Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Τοῖς δὲ οἰομένοις ὅτι ὁ Θεὸς πειράζει, ὡς αἱ Γραφαὶ λέγουσιν, ἔφη· ὁ πονηρός ἐστιν ὁ πειράζων, ὁ καὶ αὐτὸν πειράσας· τοῖς δὲ [71] ὑπολαμβάνουσιν, ὅτι ὁ Θεὸς οὐ προγινώσκει, ἔφη· Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν [72] ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων, πρὶν αὐτὸν ἀξιώσετε. Τοῖς δὲ πιστεύουσιν, ὡς αἱ **109** Γραφαὶ λέγουσιν, ὅτι μὴ πάντα βλέπει, ἔφη [73]· Ἐν τῷ κρυπτῷ εὔχεσθε, εἶπε [74], καὶ ὁ Πατὴρ ὑμῶν, ὁ βλέπων τὰ κρυπτὰ, ἀποδώσει ὑμῖν.

B LVI. Τοῖς δὲ οἰομένοις αὐτὸν μὴ ἀγαθὸν εἶναι, ὡς αἱ Γραφαὶ λέγουσιν, ἔφη· Τίνα ὑμῶν [75] αἰτήσει υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ ; ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ ; εἰ οὖν ἡμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτουμένοις αὐτὸν καὶ τοῖς ποιοῦσι τὸ θέλημα αὐτοῦ ; Τοῖς δὲ αὐτὸν [76] διαβεβαιουμένοις ἐν ναῷ εἶναι, ἔφη· Μὴ ὀμόσητε τὸν οὐρανὸν, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ [77], μήτε τὴν γῆν, ὅτι ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ἐστιν. Τοῖς δὲ προλαβοῦσιν, ὅτι θυσιῶν ὀρέγεται ὁ Θεὸς, ἔφη· Ὁ Θεὸς ἔλεος θέλει καὶ οὐ θυσίας, ἐπίγνωσιν αὐτοῦ καὶ οὐχ ὁλοκαυτώματα.

LVII. Τοῖς δὲ πειθομένοις κακὸν αὐτὸν εἶναι, ὡς αἱ Γραφαὶ λέγουσιν, ἔφη· Μή με λέγετε [78] ἀγαθόν· ὁ C γὰρ ἀγαθὸς εἷς ἐστιν. Καὶ πάλιν [79]. Γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον ἐπ' ἀγαθοῖς καὶ πονηροῖς, καὶ φέρει [80] τὸν ὑετὸν ἐπὶ δικαίοις καὶ ἀδίκοις. Τοῖς δὲ ἠπατημένοις πολλοὺς θεοὺς ὑπονοεῖν, ὡς αἱ Γραφαὶ λέγουσιν, ἔφη· Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου [81] Κύριος εἷς ἐστιν.

110 LVIII. Ὅμως ὁ Σίμων, συνιδὼν ὅτι Πέτρος αὐτὸν συνάγει ταῖς Γραφαῖς χρῆσθαι ὡς Ἰησοῦς ἐδίδαξεν, εἰς τὴν [82] περὶ Θεοῦ λόγον ἐξέτασιν γενέσθαι οὐκ ἠθέλησεν, καίτοι γε μεταθεμένου τοῦ Πέτρου, ὡς αὐτὸς Σίμων ἠξίωσεν, πρὸς πεῦσιν καὶ ἀπόκρισιν γενέσθαι τὴν ἐξέτασιν. Πλὴν ἡ ζήτησις τριῶν ἐπεκράτησεν ἡμερῶν (78). Ἐπιφωσκούσης δὲ τῆς τετάρτης νύχιος ὡς ἐπὶ Τύρον τῆς Φοινίκης ἐξώρμησεν. Καὶ οὐ

D

(*a*) Matth. v, 37.
(*b*) Matth. xxii, 32.
(*c*) Matth. vi, 8, 32.
(*d*) Matth. vi, 6.
(*e*) Matth. vii, 9-11 ; Luc. xi, 11-13.

(*f*) Matth. v, 34, 35.
(*g*) Matth. ix, 13 ; xii, 7.
(*h*) Matth. xix, 17 ; Luc. xviii, 19.
(*i*) Luc. vi, 36 ; Matth. v, 45.
(*j*) Marc. xii, 29.

VARIÆ LECTIONES.

[68] καί inserui c. O. [69] καί om. O. hic et post Ἰακώβ. [70] Ita conj. C, ἀπέθανεν id. in textu, ut O. Vbb. οὐκ ἔστιν—ὡς αἱ Γραφαὶ λέγουσιν, ἔφη des. in O. [71] δέ prætermiserunt Cl et S. [72] ὑμῶν om. O. Tum ἀξιώσητε C. [73] ἔφη om. C. [74] Ita S, εἰπών C, O. [75] ὑμῶν excidit ap. Cl et S. [76] Repetuntur Vbb. δέ αὐτόν in O. [77] Θεοῦ ἐστιν Cot. [78] λέγε O. [79] Credner, Beitr. I, 309 S. [80] φέρε O, mendose. [81] ὑμῶν C. [82] Ita S., τόν C, O.

VARIORUM NOTÆ.

(78) Ἡ ζήτησις τριῶν ἐπεκράτησεν ἡμερῶν. *Constit. apostol.* lib. vi, cap. 8 : Καὶ τρίτον ἐπ' αὐτῶν διαλεχθεὶς αὐτῷ. Cot.

μετὰ πολλὰς ἡμέρας ἦλθόν τινες τῶν προόδων, Πέτρῳ λέγοντες· Σίμων μεγάλα θαυμάσια ἐν Τύρῳ ποιῶν πολλοὺς τῶν ἐκεῖ κατεπλήξατο, καί σε πολλαῖς διαβολαῖς μισεῖσθαι ἐποίησεν.

LIX. Ταῦτα ἀκούσας ὁ Πέτρος, τῇ ἐπιούσῃ νυκτὶ τῶν ἀκροατῶν τὸν ὄχλον συνελθεῖν ἐποίησεν· ὁμως συνελθοῦσιν ἔφη· Ὁρμῶντός μου [83] εἰς τὰ ἔθνη τὰ πολλοὺς θεοὺς λέγοντα, κηρῦξαι καὶ διδάξαι ὅτι εἷς ἐστιν ὁ Θεὸς, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα, ὅπως ἀγαπήσαντες αὐτὸν σωθῆναι δυνηθῶσιν, προλαβοῦσα ἡ κακία τῷ [84] τῆς συζυγίας νόμῳ προαπέστειλε Σίμωνα, ἵνα οἱ ἄνθρωποι, ἐὰν τοὺς πολλοὺς θεοὺς λέγειν παύσωνται, καταγνόντες τῶν ἐπὶ γῆς λεγομένων, ἐν οὐρανῷ πολλοὺς θεοὺς εἶναι νομίσωσιν [85]· ἵνα μηδέποτε τὸ τῆς μοναρχίας τιμήσαντες καλὸν εἰς τὸ παντελὲς μετὰ κόλασιν ἀπόλωνται. Καὶ τὸ δεινότατον, ἐπεὶ ἀληθὴς λόγος ἀπαράβλητον ἰσχὺν ἔχει, προλαμβάνων ταῖς διαβολαῖς πείθει αὐτοὺς αὐτὸ, **111** μηδὲ τὴν ἀρχὴν ἀναδέξασθαί μου [86]· μή πως ὁ διαβάλλων αὐτὸς τῷ ὄντι διάβολος ἐλεγχθῇ, καὶ ὁ ἀληθὴς λόγος ἀναδειχθεὶς πιστευθῆναι δυνηθῇ. Χρὴ οὖν με ταχέως αὐτὸν ἐπικαταλαβεῖν, ἵνα μὴ ἡ διαβολὴ ἐγχρονίσασα παντελῶς πάντων ἐπικρατήσῃ [87].

LX. Ἐπεὶ οὖν δεῖ τινα ὁρίσαι ἀντ' ἐμοῦ τὸν ἐμὸν ἀναπληροῦντα τόπον, μιᾷ προαιρέσει δεηθῶμεν τοῦ Θεοῦ [88] οἱ πάντες, ὅπως τῶν ὄντων ἐν ἡμῖν τὸν [89] κρείττονα αὐτὸσ πρόδηλον ποιήσῃ, ἵνα ἐπὶ τῆς Χριστοῦ καθέδρας καθεσθεὶς τὴν αὐτοῦ Ἐκκλησίαν εὐσεβῶς οἰκονομῇ. Τίς ἄρα ὁρισθήσεται; Θεοῦ γὰρ βουλῇ [90] ἀναδείκνυται μακάριος ὁ ἄνθρωπος ἐκεῖνος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὰς τροφὰς ἐν καιρῷ αὐτῶν, μὴ ἐννοούμενον καὶ λέγοντα ἐν τῇ καρδίᾳ αὐτοῦ· « Χρονίζει ὁ κύριός μου ἐλθεῖν· καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίων καὶ πίνων μετά τε [91] πόρνων καὶ μεθυόντων· καὶ ἥξει ὁ κύριος [92] τοῦ δούλου ἐκείνου ἐν ὥρᾳ ᾗ ου προσδοκᾷ, καὶ ἐν ἡμέρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ ἀπιστοῦν αὐτοῦ μέρος μετὰ τῶν ὑποκριτῶν θήσει. »

LXI. Εἰ δέ τις τῶν παρεστώτων, διοικεῖν δυνάμενος τὴν ἀγνωμοσύνην τῶν ἀνθρώπων, ὑποστέλλεται, τῆς αὐτοῦ ἀναπαύσεως φροντίζων μόνης, καὶ αὐτὸς προσδοκάτω ἀκοῦσαι· Δοῦλε πονηρὲ καὶ ὀκνηρὲ, ἔδει σε τὸ **112** ἀργύριόν μου προβαλεῖν ἐπὶ τῶν τραπεζιτῶν, καὶ ἐγὼ ἂν ἐλθὼν ἔπραξα τὸ ἐμόν· ἐκβάλετε [93] τὸν ἀχρεῖον δοῦλον εἰς τὸ σκότος τὸ ἐξώτερον. Καὶ εὐλόγως. Σοῦ γὰρ, φησὶν, ἄνθρωπε, τοὺς λόγους μου ὡς ἀργύριον ἐπὶ τραπεζιτῶν βαλεῖν [94] καὶ ὡς χρήματα δοκιμάσαι. Τὸ οὖν πλῆθος τῶν πιστῶν δεῖ ἑνί τινι πείθεσθαι, ἵνα οὕτως ἐν ὁμονοίᾳ διατελεῖν δυνηθῇ. Τὸ γὰρ εἰς ἀρχὴν μιᾶς λῆγον ἐξουσίας, μοναρχίας

A post diebus venerunt quidam eorum, qui præire solebant, et dixerunt Petro : Simon magnas præstigias Tyri edendo multos incolarum perculit, teque multis calumniis odiosum reddidit.

LIX. Quæ postquam audivit Petrus, insequenti nocte auditorum turbam fecit convenire, atque congregatis dixit : Cum ego properarem ad gentes quæ multos deos asserunt, prædicaturus et docturus, unum esse Deum creatorem cœli et terræ omniumque quæ in iis continentur, quo dilecto possent salutem consequi, præveniens malitia ex conjugationis lege præmisit Simonem, ut homines, si forte multos deos, damnatis iis qui in terra dicuntur, desinerent affirmare, jam multos in cœlo existere putarent; quo, dum monarchiæ seu unitatis Dei bonum nullatenus in pretio habent, in perpetuum post suppli-
B cia intereant. Quodque pessimum est, quia verus sermo incomparabilem habet vim, anticipans Simon calumniis persuadet hominibus ne me ullo modo recipiant, ne forte, qui calumniatur, revera esse calumniator deprehendatur, et ne verus sermo, cum fuerit patefactus, credi possit. Oportet ergo me cito hominem assequi, ut ne calumnia diutius immorata omnes penitus invadat.

LX. Quoniam igitur necesse est aliquis constituatur qui meum suppleat locum, uno animo Deum cuncti oremus, ut eorum qui inter nos sunt præstantissimum manifestet, quo sedens in Christi cathedra ipsius Ecclesiam pie administret. Quis autem designabitur? Dei quippe pronuntiatur consilio beatus ille homo, quem constituet ejus domi-
C nus super famulitium conservorum suorum, ut det illis cibum in tempore, qui non cogitat ac dicit in corde suo : « Moram facit dominus meus venire : si enim sic cœperit percutere conservos, manducans et bibens cum meretricibus ac ebriosis, veniet dominus servi illius in hora qua non sperat et in die quo nescit, et dividet eum, partemque ejus infidelem ponet cum hypocritis (*a*). »

LXI. Quod si quis astantium, cum possit hominum improbitatem regere, tamen detrectat, de sua solum quiete sollicitus, et ipse exspectet audire : *Serve male et piger, oportuit te tradere pecuniam meam nummulariis, et ego veniens exegissem quod*
D *meum est. Ejicite inutilem servum in tenebras exteriores* (*b*). Et merito. Tuum enim, inquit, est, o homo, probare verba mea, tanquam apud nummularios argentum et pecuniam pendere. Itaque fidelium multitudo uni debet credere, ut ita possit vivere concorditer. Quod enim in unius potestatis imperium desinit, monarchiæ repræsentatione, fa-

(*a*) Matth. xxiv, 48; Luc. xii, 42. (*b*) Matth. xxv, 26; Luc. xix, 22.

VARIÆ LECTIONES.

[83] ἐπειδὴ ὁρμῶντός μου p. ὁρμῶντός μου O. [84] αὐτῷ C. [85] νομίσουσιν C. [86] Lege μέ. S. [87] ἐπικρατήσει O. [88] τοῦ Θ. δεηθῶμεν C. [89] τόν om. C. [90] Ita O c D, βουλή. C. [91] τέ prætermiserunt Cl et S. [92] ἐκείνου excidit ap. Cl et S. [93] ἐμβάλετε O. [94] βαλεῖν adjunxi c. O.

cit ut subjecti per bonum ordinem fruantur pace: qui vero omnes volunt imperare, nec uni soli cedere, ob divisionem penitus concidant necesse est.

LXII. Sed et te persuadeant quæ ante oculos posita observantur. Scilicet nunc, cum multi per omnem terram sint reges, assidue bella oriuntur. Unusquisque enim occasionem ad bellum sumit ex alterius imperio. Si autem unus esset mundi imperator, ille desinente bellandi causa æternam obtineret pacem. Denique iis qui vitam perpetuam consequentur, unum Deus in illo sæculo constituit universi regem, ut per monarchiam pax exoriatur stabilis. Debent itaque cuncti unum tanquam viæ ducem sequi, sicque Dei imaginem honorare: is autem ductor scire debet viam, qua intratur in sanctam civitatem.

LXIII. Quem vero alium ex astantibus eligam, quam Zacchæum, apud quem et Dominus noster ingressus mansit, judicans dignum esse qui salvaretur? Quo dicto manum præsenti Zacchæo injiciens, cogebat eum in sua cathedra sedere. At Zacchæus accidens ad pedes ejus rogabat uti principatu ipsum liberaret: simulque pollicebatur ac dicebat: Quæcunque qui præest facere debet, faciam, tantum mihi dona non habere hoc nomen: vereor enim principatus nomen inducere, quoniam acerba invidia et periculo abundat.

LXIV. Dixit Petrus: Si hoc vereris, noli princeps vocari, sed constitutus (seu præfectus), eam quippe appellationem Dominus concessit per hæc verba: *Beatus ille homo, quem ejus dominus constituet super famulitium conservorum suorum* (a). Quod si omnino refugis agnosci pro eo qui habeat gubernandi potestatem, ignorare videris, professam præsidentis potestatem multum valere ad persuadendam flectendamque plebem. Ei quippe tanquam potestatem adepto credunt singuli, conscientiam pro magna necessitate habentes. Quid vero, nonne et certo scis, te non ut principes gentium imperare debere, sed ut servum ministrare hominibus, ut patrem tueri injuria affectos, ut medicum visitare, ut pastorem custodire, uno verbo, cunctas pro eorumdem salute suscipere curas? An putas ignorare me, quales te compellam labores sumere, dum te volo a plebe judicari, cui placere nemo ullo studio potest; cum maxime fieri queat, ut, qui bene operatur, Deo gratus existat. Quocirca oro te, ut alacri-

A εἰκόνι, τοὺς ὑπείκοντας αἰτίᾳ εὐταξίας εἰρήνης ἀπολαύειν τίθησιν· τὸ δὲ [95] πάντας φιλαρχοῦντας ἑνὶ μόνῳ ὑπεῖξαι μὴ θέλειν, καὶ αἰτίᾳ [96] διαιρέσεως (79) πάντως καὶ περιπεσεῖν [97] ἔχουσιν.

LXII. Ἀλλ' ἔτι μὴν πειθέτω τὰ παρ' ὀφθαλμοῖς τιθέμενα [98], πῶς νῦν πολλῶν κατὰ πᾶσαν τὴν γῆν ὄντων βασιλέων συνεχῶς πόλεμοι γίνονται. Ἔχει γὰρ ἕκαστος πρόφασιν εἰς πόλεμον τὴν ἑτέρου ἀρχήν. Ἐὰν δὲ εἷς ᾖ τοῦ παντὸς ἡγεμὼν, οὗ εἵνεκεν πολεμεῖ οὐκ ἔχων ἀΐδιον τὴν εἰρήνην ἔχει. Πέρας γοῦν ὁ Θεὸς τοῖς καταξιουμένοις αἰωνίου ζωῆς ἕνα ἐν τῷ τότε αἰῶνι βασιλέα τοῦ παντὸς καθίστησιν, ἵνα αἰτίᾳ μοναρχίας ἄπτωτος εἰρήνη γένηται [99]. Χρὴ οὖν ἑνί τινι ὡς ὁδηγῷ τοὺς πάντας ἕπεσθαι, ὡς εἰκόνα Θεοῦ προτιμῶντας, τὸν δὲ ὁδηγὸν εἶναι τῆς εἰς τὴν ἁγίαν πόλιν εἰσιούσης εἰσόδου ἐπιστήμονα.

B

LXIII. Τίνα δὲ ἄλλον αἱρήσομαι τῶν παρόντων, ἢ Ζακχαῖον, πρὸς **113** ὃν καὶ ὁ Κύριος ἡμῶν [100] εἰσιὼν ἀνεπαύσατο, τοῦ σώζεσθαι κρίνας ἄξιον εἶναι; Καὶ τοῦτο εἰπὼν, παρεστῶτι τῷ Ζακχαίῳ ἐπιβαλὼν τὴν χεῖρα, ἐβιάζετο ἐπὶ τὴν αὐτοῦ καθεσθῆναι καθέδραν. Ὁ δὲ Ζακχαῖος προσπεσὼν τοῖς ποσὶν αὐτοῦ ἐδέετο, ὅπως τοῦ ἄρχειν αὐτὸν ἀπολύσῃ, μετὰ τοῦ ὑπισχνεῖσθαι καὶ λέγειν, ὅτι ὁπόσα ποτὲ χρὴ τὸν ἄρχοντα ποιεῖν, ποιήσω, μόνον μοι τὸ ὄνομα τοῦτο μὴ ἔχειν χάρισαι· εὐλαβοῦμαι γὰρ τὸ τῆς ἀρχῆς ἐνδύσασθαι ὄνομα· πικροῦ γὰρ φθόνου καὶ κινδύνου γέμει.

LXIV. Καὶ ὁ Πέτρος ἔφη· Εἰ τοῦτο εὐλαβῇ, ἄρχων μὲν μὴ καλοῦ, ἀλλὰ ὁ καθεστὼς, τοῦτο τοῦ Κυρίου C δεδωκότος λέγεσθαι, τῷ εἰπεῖν· Μακάριος ὁ ἄνθρωπος ἐκεῖνος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ. Εἰ δὲ παντελῶς οὐ θέλεις γνωσθῆναι ὅτι ἐξουσίαν διοικήσεως ἔχεις, ἀγνοεῖν μοι ἔοικας, ὅτι ἡ ὁμολογουμένη τοῦ προκαθεζομένου ἐξουσία πολύ τι δύναται πρὸς δυσωπίαν τοῦ πλήθους. Ὡς [1] γὰρ εἰληφότι τὴν ἐξουσίαν ἕκαστος πείθεται, ὡς μεγάλην ἀνάγκην τὴν συνείδησιν ἔχων. Τί δὲ οὐχὶ καὶ ἀσφαλῶς γινώσκεις, ὅτι οὐχ ὡς οἱ ἄρχοντες τῶν ἐθνῶν ἄρχειν ἔχεις, ἀλλ' ὡς δοῦλος αὐτοῖς ὑπηρετῶν, ὡς πατὴρ ἀδικουμένοις [2], ὡς ἰατρὸς ἐπισκεπτόμενος, ὡς ποιμὴν φυλάσσων, συνελὼν ἐρῶ, τὰς πάσας ὑπὲρ τῆς αὐτῶν σωτηρίας φροντίδας ἔχων; Ὅτι οἴει ἀγνοεῖν με, οἵους καμάτους ἀναδέξασθαί σε βιάζομαι, ὑπὸ ὄχλων κρίνεσθαί D **114** σε ἀξιῶν, οἷς ἀρέσαι τινὰ ἀμήχανον; Θεῷ δὲ εὖ πράττοντα [3] δυνατώτατον. Διὸ δέομαι προθύμως ἀναδέξασθαι, διὰ Θεὸν [4], διὰ Χριστὸν, ὑπὲρ τῆς ἀδελφῶν

(a) Matth. XXIV, 44; Luc. XII, 44.

VARIÆ LECTIONES.

[95] Legendum τῷ δὲ S. [96] αἰτίαν var. lect. ap. Turrian. *Pro epist. pontif.* v, 9. [97] πεσεῖν C. [98] γινόμενα C. [99] γένηται O. Ita legendum esse notat S, quanquam et ipse repetit lect. Cl γεγένηται. [100] ἡμῶν deest ap. C. [1] τῷ conj. D.—Seq. τήν add. c. O. [2] διακηδόμενος conj. D, ἀνιώμενος vel ἀδίκων υἱῶν conj. Cl. Ego scribendum putaverim ἀδικούμενος S. [3] Θεὸν δὲ εὖ πράττοντα πείθειν C. [4] διὰ Θεόν om. O.

VARIORUM NOTÆ.

(79) Καὶ αἰτίᾳ διαιρέσεως. Habet Turrianus lib. v, Pro epistolis pontificum cap. 9, αἰτίαν, minus bene. Cot.

σωτηρίας, ὑπὲρ αὐτῶν [5] οἰκονομίας καὶ σῆς ὠφελείας.

LXV. Καὶ τὸ ἕτερον δὲ λόγισαι, ὅτι, ὥσπερ κάματον καὶ κίνδυνον ἔχει τὸ τὴν Χριστοῦ Ἐκκλησίαν οἰκονομεῖν, τοσούτῳ μείζων ὁ μισθός· ἀλλ' ἔτι μὴν καὶ ἡ κόλασις μείζων τῷ δυναμένῳ καὶ ἀπειθήσαντι. Βούλομαι οὖν, πολυμαθέστερον εἰδώς σε τῶν παρεστώτων, δανείζειν [6] καλὰς γνώμας, ἃς παρὰ τοῦ Κυρίου πεπίστευσαι· Ἵνα, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἀκούσῃς, καὶ μὴ [7] ὥσπερ ὁ τὸ ἓν ἀποκρύψας τάλαντον, ἔγκλημα λαβὼν κολάσει ὑπεύθυνος ἀναφανῇς. Εἰ δὲ μὴ βούλει ἀγαθὸς φύλαξ καταστῆναι [8] τῆς Ἐκκλησίας, ἕτερον ἀντὶ σοῦ μήνυσον, σοῦ πολυμαθέστερον καὶ πιστότερον. Ἀλλ' [9] οὐ δώσεις· σὺ γὰρ καὶ τῷ Κυρίῳ συνῆς, καὶ τὰς θαυμασίους πράξεις ἱστόρησας, καὶ διοίκησιν Ἐκκλησίας μεμάθηκας.

LXVI. Καὶ σοῦ μὲν ἔργον ἐστὶ κελεύειν ἃ δεῖ, τῶν ἀδελφῶν [10], ὑπείκειν καὶ μὴ ἀπειθεῖν. Ὑπείξαντες μὲν οὖν σωθήσονται, ἀπειθήσαντες δὲ ὑπὸ τοῦ Χριστοῦ [11] κολασθήσονται, ὅτι ὁ προκαθεζόμενος Χριστοῦ τόπον πεπίστευται. Διὸ ἤτοι τιμὴ ἢ ὕβρις τοῦ προκαθεζομένου εἰς Χριστὸν φέρεται, **115** ἀπὸ δὲ Χριστοῦ εἰς θεὸν [12] ἀναφέρεται. Τοῦτο δὲ εἴρηκα, ἵνα καὶ αὐτοὶ οἱ ἀδελφοὶ τῆς πρὸς σὲ ἀπειθείας τὸν κίνδυνον αὐτῶν [13] μὴ ἀγνοῶσιν, ὅτι ὃς ἂν σοι κελεύσαντι ἀπειθήσῃ, Χριστῷ ἀπειθεῖ [14], Χριστῷ δὲ ἀπειθήσας θεὸν παροργίζει.

LXVI. Χρὴ οὖν τὴν Ἐκκλησίαν, ὡς πόλιν ἐν ὕψει οἰκοδομουμένην [15], φιλόθεον ἔχειν τάξιν καὶ διοίκησιν καλήν. Πρὸ πάντων ὁ ἐπίσκοπος ὡς ἄρχων περὶ ὧν λέγει ἀκουέσθω· οἱ πρεσβύτεροι τὰ κελευόμενα γίνεσθαι [16] σπουδαζέτωσαν· οἱ διάκονοι ἐκπεριερχόμενοι τῶν ἀδελφῶν τὰ σώματα καὶ τὰς ψυχὰς ἐπισκεπτέσθωσαν, καὶ τῷ ἐπισκόπῳ ἀντιβαλλέτωσαν· οἱ λοιποὶ πάντες ἀδελφοὶ τὸ ἀδικεῖσθαι ἀναδεχέσθωσαν· εἰ δὲ κρίνεσθαι θέλουσι περὶ ὧν ἀδικοῦνται, ἐπὶ τῶν πρεσβυτέρων συμβιβαζέσθωσαν· τὸν δὲ συμβιβασμὸν οἱ πρεσβύτεροι τῷ ἐπισκόπῳ προσαναφερέτωσαν.

LXVIII. Νέων δὲ μὴ μόνον κατεπειγέτωσαν [17] τοὺς γάμους, ἀλλὰ καὶ τῶν προβεβηκότων, μή πως ζέουσα ἡ ὄρεξις προφάσει πορνείας ἢ μοιχείας λοιμὸν προσενέγκῃ [18] τῇ Ἐκκλησίᾳ. Ὑπὲρ πᾶσαν γὰρ ἁμαρτίαν ἡ τῆς μοιχείας ἀσέβεια θεῷ ἐστύγηται, ὅτι οὐ μόνον αὐτὸν τὸν ἁμαρτήσαντα ἀναιρεῖ, ἀλλὰ καὶ τοὺς συνεστιωμένους καὶ συναμιλλωμένους· λύσσῃ γὰρ ἔοικεν, ὅτι τῆς ἰδίας μανίας μεταδιδόναι φύσιν ἔχει. Σωφροσύνης οὖν χάριν σπευδέτωσαν τοὺς γάμους ἐπιτελεῖν μὴ μόνον οἱ πρεσβύτεροι, ἀλλὰ καὶ **116** οἱ πάντες· ἡ γὰρ τοῦ μοιχησαμένου ἁμαρτία ἐπὶ τοὺς πάντας ἐλθεῖν βιάζεται. Τὸ [19] οὖν σπεύδειν σωφρονεῖν τοὺς

ter episcopatum suscipias, propter Christum, pro fratrum salute, pro eorumdem gubernatione,et tua utilitate.

LXV. Aliud etiam reputa. quod, sicut labore et periculo non caret, gubernare Ecclesiam Christi, eo major est merces, sed et major pœna ei qui potest,recusat tamen. Cupio igitur, qui te sciam astantium eruditissimum, fœnori des pulchras sententias, quæ tibi a Domino traditæ sunt ; ut audias : *Euge serve bone et fidelis* (*a*),et non,quemadmodum qui unum talentum abscondit,opprobrium feras, et obnoxius supplicio declareris.Sin vero non vis bonus Ecclesiæ constitui custos, alium pro te indica,qui te sit doctior ac fidelior, Sed non dabis, tu enim et cum Domino versatus es ac vidisti mirabilia opera, et Ecclesiæ administrationem didicisti.

LXVI. Tuæ igitur partes sunt, jubere ea, quæ oportet ; partes fratrum, subjicere se et non refragari. Subjicientes ergo se salvi fient : refragantes vero a Christo punientur ; quoniam qui præsidet, Christi locum accepit. Quare præsidentis sive honor sive contumelia ad Christum refertur, et a Christo ad Deum. Id autem prolocutus sum, ut ipsi quoque fratres non ignorent,quanto in periculo versentur qui tibi non obtemperabunt.Nam qui tibi jubenti non obtemperabit, Christo non obediet, et dum non obedit Christo, Deum ad iram incitat.

LXVII. Oportet ergo ut Ecclesia, velut civitas in excelso ædificata,Deo dignum habeat ordinem præclaramque administrationem. Ante omnia episcopus, velut rector, in iis quæ dicit audiatur ; presbyteri curent fieri quæ jubentur ; diaconi circumambulantes considerent fratrum corpora et animas, atque episcopo denuntient ; reliqui omnes fratres affici injuria suscipiant libenter ; quod si de iis, in quibus injuria afficiuntur, cupiunt judicari, apud presbyteros concilientur, et presbyteri conciliationem ad episcopum referant.

LXVIII. Non modo autem juvenes ad matrimonium compellant, sed et natu provectos,ne fervens cupiditas per fornicationem vel adulterium pestem in Ecclesiam inferat. Super omne enim peccatum impietas adulterii odio a Deo habetur : quia non solum interficit ipsum peccatorem sed et convescentes ac congressos. Rabiei quippe est similis, quandoquidem a natura habet, ut suam communicet insaniam.Ergo propter castitatem festinent nuptias conciliare non modo presbyteri, verum etiam omnes ; nam mœchi delictum ad omnes necessario venit. Prima ergo misericordia est, fratres ad pu-

(*a*) Matth. xxv, 21.

VARIÆ LECTIONES.

[5] ὑπὲρ τῆς αὐτῶν C. [6] δανίζει O. [7] μή non omittere debebat S c., Cl. [8] D legi vult κατασταθῆναι. [9] ἀλλά O. [10] τοὺς ἀδελφούς O. [11] Κυρίου C. [12] τοῦ Χρ. εἰς τὸν θεόν C. [13] Ita D approbante O ; αὐτῷ C, qui conj. αὐτόν. [14] Ita S, ἀπειθῇ C, O. [15] οἰκοδομημένην C, ᾠκοδομημένην S. [16] γινέσθαι C. [17] Post κατεπειγέτωσαν repetuntur in O vbb. τὸν δὲ συμβιβασμόν expuncta. [18] προσενέγκοι C. [19] τοῦ C.

dicitiam impellere, quoniam animæ est medela, at cibus corporis est recreatio.

LXIX. Cæterum si fratres vestros diligatis, nihil eorum auferetis, imo vestra communicabitis : esurientes nutrietis, sitientibus præbebitis potum, induetis nudos, visitabitis ægrotantes, carcere inclusis succurretis pro viribus, peregrinos in vestra tecta suscipietis lubenter, neminem odio prosequemini. Quo modo autem pie vivere oporteat, vos attentos vester docebit animus. Verum ante omnia, si et vobis dicere necesse sit, frequenter convenite, utinam singulis horis, alioquin conventus statis diebus. Nam si hoc feceritis, intra muros estis asyli; perditionis quippe initium est ista desertio. Ne igitur quis, prætextu quod animo erga fratrem pusillo ac iniquo sit, desistat convenire. Si enim aliquis vestrum a congregatione destiterit, cum iis reputabitur qui Christi dissipant Ecclesiam, et ut ejus discipulorum inimicorum princeps punietur atque cum adulteris ejicietur ; nam tanquam adulter, per spiritum in ipso exsistentem, prætextu quodam sumpto, seipsum separavit, et malo locum contra se dedit, ut ovem raperet, nimirum extra caulas inventam.

LXX. Porro episcopum vestrum audite, omnemque ei honorem tribuere ne cessetis : scitote quod per illum adducimini ad Christum, et a Christo ad Deum. Adducenti ergo multipliciter retribuite. Honorate Christi thronum. Quandoquidem et Moysis cathedram honorare jussi estis, quamvis in ea præsidentes peccatores habeantur. Atque hæc quidem vobis sufficienter sint dicta. Zacchæo autem qua ratione inculpate vivat, superfluum puto dicere ; cum etiam illius qui me docuit probus sit discipulus.

LXXI. Verum, fratres, nonnulla ut audiatis exspectare non oportet, sed ex vobis ipsis quod æquum est intelligere. Zacchæus solus, se totum quo vobis vacet tradens, cum ventrem habeat, sibique non provideat, quo modo potest cibum necessarium comparare ? Nonne vero justum est, ut omnes vos victus ejus curam geratis, neque exspectetis ut petat a vobis ? hoc etenim mendico convenit, potius autem peribit fame, quam id facere sustineat. Et qua ratione vos pœnas non dabitis, si non reputaveritis, dignum esse operarium mercede

A ἀδελφοὺς, τοῦτο πρώτη ἐλεημοσύνη· ψυχῆς γάρ ἐστι θεραπεία· ἡ γὰρ τροφὴ τοῦ σώματος ἀνάπαυσίς ἐστιν.

LXIX. Ὁμῶς ἐὰν ἀγαπήσητε τοὺς ἀδελφοὺς ὑμῶν, οὐδὲν αὐτῶν ἀφαιρήσεσθε, ὧν δὲ ἔχετε μεταδώσετε [20]· πεινῶντας γὰρ θρέψετε, διψῶσι ποτὸν παρέξετε [21], γυμνοὺς ἐνδύσετε, νοσοῦντας ἐπισκέψεσθε, τοῖς ἐν εἱρκταῖς ὡς δυνατὸν βοηθήσετε, ξένους εἰς τὰ ἑαυτῶν σκηνώματα προθύμως ἀποδέξεσθε, μηδένα μισήσετε. Ὡς δὲ δεῖ εὐσεβεῖν, εὐγνωμονοῦντας ὑμᾶς ὁ ὑμέτερος διδάξει νοῦς. Πρὸ δὲ πάντων, εἰ καὶ δεῖ ὑμῖν λέγειν, συνεχέστερον συνέρχεσθε, εἴθε [22] καθ' ὥραν, ἐπεί γε ἐν ταῖς νενομισμέναις τῆς [23] συνόδου ἡμέραις. Ἐὰν γὰρ τοῦτο ποιῆτε [24], ἐντὸς τειχῶν ἀσυλίας ἐστέ· ἀρχὴ γὰρ ἀπωλείας ἀποταξία. Μήτε οὖν προφάσει B μικροψυχίας τῆς [25] πρὸς ἀδελφὸν ἀπολειπέσθω τις τοῦ συνεδρεύειν. Ἐὰν γάρ τις ὑμῶν [26] ἀπολειφθῇ τοῦ συνάγεσθαι, τῶν σκορπιζόντων τὴν Χριστοῦ Ἐκκλησίαν λογισθήσεται, καὶ ὡς τῶν κατὰ τῶν τοῦ Χριστοῦ μαθητῶν ὑπάρξας κολασθήσεται καὶ [27] μετὰ μοιχῶν ἀποβληθήσεται [28]· ὡς γὰρ μοιχὸς ὑπὸ τοῦ ἐν αὐτῷ πνεύματος προφάσει **117** τινὸς ἑαυτὸν ἀφώρισεν, καὶ τῷ πονηρῷ κατ' αὐτοῦ χώραν ἔδωκε πρόβατον ἁρπάσαι [29], ὡς μανδρῶν ἔξω εὑρεθέν.

LXX. Πλὴν τοῦ ἐπισκόπου ὑμῶν ἀκούετε, καὶ τιμὴν πᾶσαν αὐτῷ ἀπονέμοντες μὴ κάμητε, εἰδότες [30] ὅτι προφάσει τῇ πρὸς αὐτὸν εἰς Χριστὸν φέρετε, ἀπὸ δὲ Χριστοῦ εἰς Θεὸν ἀναφέρετε [31]· καὶ τῷ προσενέγκαντι πολυπλασίως ἀνταποδίδοτε [32]. Θρόνον οὖν Χριστοῦ τιμήσετε [33]· ὅτι καὶ Μωϋσέως καθέδραν τιμᾷν C ἐκελεύσθητε, κἂν οἱ προκαθεζόμενοι ἁμαρτωλοὶ νομίζωνται [34]. Καὶ ταῦτα μὲν ὑμῖν αὐτάρκως εἴρηται· αὐτῷ δὲ, πῶς ἀμέμπτως βιοῦν, περιττὸν ἡγοῦμαι λέγειν, ὁπότε τοῦ κἀμὲ διδάξαντος δόκιμος ὑπάρχῃ μαθητής.

LXXI. Πλὴν, ἀδελφοὶ, ἔνια οὐ χρὴ ἀναμένειν ἀκούειν, ἀλλὰ καὶ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν. Ζακχαῖος μόνος [35] ὑμῖν ὅλος ἑαυτὸν ἀσχολεῖν ἀποδεδωκὼς, κοιλίαν ἔχων καὶ ἑαυτῷ μὴ εὐσχολῶν, πῶς δύναται τὴν ἀναγκαίαν πορίζειν τροφήν ; οὐχὶ δὲ εὔλογόν ἐστι πάντας ὑμᾶς τοῦ ζῆν αὐτοῦ πρόνοιαν [36] ποιεῖν, οὐκ ἀναμένοντας αὐτὸν ὑμᾶς αἰτεῖν, τοῦτο γὰρ προσαιτοῦντός ἐστιν· μᾶλλον δὲ τεθνήξεται λιμῷ, ἢ τοῦτο ποιεῖν ὑποσταίη [37]. **118** Πῶς δὴ καὶ ὑμεῖς οὐ δίκην ὑφέξετε, μὴ λογισάμενοι ὅτι ἄξιός ἐστιν ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ; D καὶ μὴ λεγέτω τις· οὐκοῦν ὁ δωρεὰν παρασχεθεὶς λόγος

VARIÆ LECTIONES.

[20] μεταδώσητε C. Tum idem θρέψητε. [21] παρέχετε (lege παρέξητε D) C, qui deinde exh. ἐνδύσετε — ἐπισκέψησθε — βοηθήσητε — ἀποδέξασθε — μισήσητε. [22] συνδέχεσθε, εἴσθε p. συνέρχεσθε, εἴθε O. [23] ταῖς O. [24] Ita O c. S, ποιεῖτε C. Tum ἀσυχίας p. ἀσυλίας O. [25] Ita O c. S. τῇ C. [26] ὕμων O pr. man. [27] Vbb. καὶ ὡς τῶν κατὰ τῶν τοῦ Χριστοῦ μαθητῶν ὑπάρξας κολασθήσεται, accesserunt ex O. Subsequens καί addidi ex conjectura. [28] βληθήσετε O, qui tum μοιχόν. [29] ἁρπάσει S. Tum εὑρεθέντα C. [30] ἴδότες O. [31] C legi vult φέρεσθε et ἀναφέρεσθε, atque hanc scripturam in versione Latina secutus est. Rectius D proposuit φέρεται et ἀναφέρεται (sc. ἡ τιμή), cfr. supra c. 66, ubi idem legitur iisdem pene verbis. Præterea cum Cl scribendum προφάσει τῆς (sc. τιμῆς) πρὸς αὐτόν. Vertendum itaque : Scientes, quod sub specie honoris in ipsum (episcopum) collati fertur (honor ille) in Christum et a Christo ad Deum refertur S. [32] ἀνταποδίδοται O. [33] τιμήσατε C. Tum Μωϋσέος O. [34] Ita O c. Turriano l. c., νομίζονται C. [35] Fortasse legendum μόνοις S. Tum ὅλως O. [36] αὐτοπρόνοιαν p. αὐτοῦ πρόνοιαν O. [37] Ita O c. S, ὑποστέῃ C.

πωλεῖται ; Μὴ γένοιτο. Εἴ τις γὰρ ἔχων, πόθεν ζῆν, λάδη [38], οὗτος πωλεῖ τὸν λόγον, εἰ δὲ μὴ ἔχων τοῦ ζῆν χάριν λαμβάνει τροφὴν, ὡς καὶ ὁ Κύριος ἔλαβεν ἔν τε δείπνοις καὶ φίλοις, οὐδὲν ἔχων, ὁ εἰσαῦθις τὰ πάντα [39] ἔχων, οὐχ ἁμαρτάνει. Ἀκολούθως οὖν τιμᾶτε πρεσδυτέρους, κατηχητὰς, διακόνους χρησίμους, χήρας εὖ βεδιωκυίας, ὀρφανοὺς ὡς Ἐκκλησίας τέκνα· ἀλλὰ καὶ ὁπότε χρεία τινὸς πόρου πρός τι [40] ἀναγκαῖον γένοιτο, ἅμα οἱ πάντες συμβάλλεσθε. Εἰς ἀλλήλους εὐσεβεῖτε, μὴ ὀκνοῦντες πᾶν ὁτιοῦν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ὑπομένειν.

A sua (a)? Nec dicat aliquis an ergo gratis datus sermo venditur? Absit! Nam si quis, qui habet unde vivat, accipit, hic vendit sermonem : non peccat vero, si non habens accipiat cibum ad victum, sicut et Dominus in cœnis et apud amicos accepit, qui nihil habebat, in posterum tamen omnia possidebit. Convenienter igitur honorate presbyteros, catechistas, diaconos utiles, viduas recte viventes, orphanos velut filios Ecclesiæ. Sed et cum ad necessarium opus erit pecunia, omnes pariter conferte. Mutuo exercete pietatem, nec pigeat omnia pro salute vestra sustinere.

LXXII. Καὶ ταῦτα εἰπὼν ἐπέθηκε χεῖρα τῷ Ζακχαίῳ λέγων· Δέσποτα καὶ Κύριε τῶν ὅλων, ὁ Πατὴρ καὶ Θεὸς, σὺ διαφύλαξον ποιμένα μετὰ ποίμνης. Σὺ ἡ πρόφασις, σὺ ἡ δύναμις. Ἡμεῖς τὸ βοηθούμενον, σὺ ὁ βοηθὸς, ὁ ἰατρὸς, ὁ σωτὴρ, τὸ τεῖχος, ἡ ζωὴ, ἡ ἐλπὶς, ἡ καταφυγὴ, ἡ χαρὰ, ἡ προσδοκία, ἡ ἀνάπαυσις· συνελὼν ἐρῶ· σὺ ἡμῖν τὰ πάντα. Πρὸς αἰώνιον ὕπαρξιν σωτηρίας συνέργησον, ῥῦσαι, φύλαξον. Πάντα δύνασαι. Σὺ γὰρ Ἄρχων ἀρχόντων, καὶ Κύριος κυρίων, Δεσπότης βασιλέων. Σὺ δὸς ἐξουσίαν τῷ προκαθεζομένῳ, λύειν ἃ δεῖ λύειν, καὶ δεσμεῖν ἃ δεῖ δεσμεῖν. Σὺ σόφισον· σὺ ὡς δι' ὀργάνου [41] δι' αὐτοῦ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ σου ὡς καλὴν **119** νύμφην διαφύλαξον. Σοῦ γάρ ἐστιν δόξα αἰώνιος, ὕμνος, Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι [42], εἰς τοὺς σύμπαντας αἰῶνας, Ἀμήν.

LXXII. Quibus dictis, manum Zacchæo imposuit, dicens : Here ac Domine omnium, Pater et Deus, tu pastorem cum grege custodi. Tu causa, tu potestas.
B Nos sumus ii qui adjuvantur; tu adjutor, medicus, servator, murus, vita, spes, refugium, gaudium, exspectatio, requies; breviter dicam, tu nobis omnia es. Ad consequendam salutem æternam opitulare, libera, custodi. Cuncta potes. Tu enim es Princeps principum, et Dominus dominorum, Herus regum. Tu antistiti da potestatem solvendi quæ oportet solvere et ligandi quæ ligare oportet. Tu doce. Tu per eum tanquam per instrumentum Ecclesiam Christi tui velut pulchram sponsam tutare. Ad te enim pertinet æterna gloria, laus, Patri et Filio et Spiritui sancto, in omnia sæcula. Amen.

LXXIII. Καὶ ταῦτα εἰπὼν, μετὰ ταῦτα ἔφη· Ὅσοι ποτὲ βαπτισθῆναι θέλετε, ἀπὸ τῆς αὔριον νηστεύειν ἄρξασθε, καὶ καθημέραν [43] χειροθετεῖσθε, καὶ περὶ ὧν θέλετε πυνθάνεσθε. Ἔτι γὰρ ἡμερῶν δέκα ὑμῖν ἐπιμεῖναι θέλω. Μετὰ δὲ τρεῖς ἡμέρας βαπτίζειν ἀρξάμενος, ἐμὲ φωνήσας καὶ Ἀκύλαν καὶ Νικήτην [44] ἔφη· Μέλλων ἐπὶ τὴν Τύρον ὁρμᾷν μεθ' [45] ἡμέρας ἑπτὰ βούλομαι ἐξαυτῆς ὑμᾶς ἀπελθόντας, παρὰ τῇ Χαναανίτιδι [46] Βερνίκῃ (80) Ἰούσης θυγατρὶ λανθανόντως ἐπιξενωθέντας, παρ' αὐτῆς τὰ κατὰ τὸν Σίμωνα ἀκριβῶς μαθόντας [47] γράψαι μοι. Πολὺ γάρ μοι συμβάλλεται, ἵνα πρὸς αὐτὸ ἁρμόσωμαι. Διὸ ἐξαυτῆς πορεύεσθε μετ' εἰρήνης. Καὶ δὴ [48] βαπτίζοντα αὐτὸν ἐάσαντες, καθὼς ἐκέλευσεν, εἰς Τύρον αὐτὸν προήξαμεν τῆς Φοινίκης.

LXXIII. Quæ cum dixisset, postea infit : Quicunque baptizari vultis, ex crastino die jejunare incipite, et singulis diebus manusimpositionem accipite, ac interrogate de quibus volueritis. Adhuc
C enim decem dies volo vobiscum manere. Post tres autem dies, cum baptizare cœpisset, vocavit me et Aquilam et Nicetam, et dixit : Tyrum profecturus post septem dies volo vos statim abire, et apud Chananæam Berenicen Justæ filiam clam hospitari, atque diligenter eam percontatos mihi perscribere quæ ad Simonem pertinebunt. Multum enim proderit mihi, ut ad id me præparem. Quapropter jamjam cum pace pergite. Igitur deserentes eum baptizantem, quemadmodum jusserat, in Tyrum Phœniciæ præcessimus eum.

—

ὉΜΙΛΙΑ Δ'.

I. Καισαρείας δὲ τῆς Στράτωνος ἐξιὼν ἐγὼ Κλήμης, ἅμα Νικήτης τε [49] καὶ Ἀκύλας, εἰς Τύρον τῆς Φοινίκης εἰσέβαλλον, καὶ κατ' ἐντολὴν **120** Πέτρου τοῦ ἀποστείλαντος ἡμᾶς, ἐξενίσθημεν παρὰ Βερνίκῃ

HOMILIA IV.

I. Cæsarea ergo Stratonis egressus ego Clemens
D simulque Nicetas et Aquila in Tyrum Phœniciæ intravimus, et juxta Petri mandatum, qui miserat nos, hospitati sumus apud Berenicen, Justæ Cha-

(a) Luc. x, 7.

VARIÆ LECTIONES.

[38] λάδοι C. [39] εἲς αὖθις πάντα C. [40] τι addidi c. O. [41] Vbb. δι' ὀργάνου, quæ male exciderant e textu Schwegleriano, reposui c. O. In eodem seq. mendum δι' αὐτῶ. [42] Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. O. [43] καθ' ἡμέραν C. [44] Νικήταν O. [45] καθ' O. [46] Χανανίτιδι [47] μαθόντας textui dedi ex O. [48] δίς O. [49] τε add. c. O, ἅμα Νικήτῃ καὶ Ἀκύλᾳ εἰς Τύρον τῆς Φοινίκης ἐπορευόμεθα Cod. Reg. 804.

VARIORUM NOTÆ.

(80) Βερνίκῃ. Idem nomen Bernices seu Berenices, mulieri αἱμοῤῥοούσῃ, quam sanavit Christus, tribuitur ab alio fabulatore Joanne Antiocheno Malala, apud Damascenum orat. 3, pro sacris imaginibus. Cot.

nanææ filiam, quæ lubentissime nos suscepit; atque multo erga me honore et dilectione erga Aquilam et Nicetam concertans, ut familiaris gaudens ac confidens, magna nos humanitate prosecuta est, nosque ad corpus curandum comiter incitavit. Intuitus ergo, quod hortaretur ut faceremus breves inducias, Recte, inquam, agis, dum charitatis implere munia festinas. At ipsi præferri debet timor erga Deum nostrum; veremur enim, qui pro multis animabus contendimus, recreationem nostram anteponere earum saluti.

II. Audimus enim quod Simon Magus, in disputatione quam cum domino nostro Petro Cæsareæ habuit superatus, statimque aufugiens, hic multa perpetrat mala. Apud omnes enim sibi obvios Petrum falso calumnians, multorum abripit animas. Nam cum ipse sit magus, eum magum appellat: et cum sit impostor, impostorem eum proclamat; cumque in disputatione per omnia victus cesserit ac fugerit, vicisse se profitetur; frequenterque præcipit Petrum non esse audiendum, quasi videlicet sollicitus, ne a pessimo illudantur mago.

III. Hæc accipiens dominus noster Petrus præmisit nos futuros verborum illius exploratores: ut si ita habeat, ipse scribentibus nobis edoceatur, et adveniens arguat eumdem cominus de calumniis erga se. Quando igitur pro multorum animabus periculum nobis adjacet, ideo, corporis nostri refectione ad breve tempus neglecta, a te quæ hic degis certo scire volumus, an vera sint quæ audivimus: jamque nobis singula edissere.

IV. Berenice vero rogata: Hæc quidem, inquit, eo modo se habent, quo audivistis: cætera vero ejusdem Simonis, quæ forte ignoratis, audite: phantasmata enim et spectra ac simulacra in medio foro quotidie ostendens totam obstupefacit civitatem: et procedente eo statuæ moventur, ac multæ umbræ præeunt, quas ipsas dicit esse animas defunctorum. Multos autem, qui eum præstigiatorem nitebantur ostendere, cum sibi conciliasset, tum postea, prætextu convivii, mactato bove ipsisque in escam dato, variis implicuit morbis, dæmoni-

A θυγατρὶ τῆς Χαναν(τιδος [50] Ἰούστης· ἥτις ἀσμενέστατα ἡμᾶς ἀπεδέξατο, καὶ πολλῇ μὲν τῇ πρὸς μὲ τιμῇ ἀγωνιῶσα, στοργῇ δὲ τῇ πρὸς Ἀκύλαν καὶ Νικήτην, διὰ χαρὰν ὡς συνήθης παῤῥησιαζομένη ἐφιλοφρονεῖτο, καὶ πρὸς τὴν τοῦ σώματος θεραπείαν ἡμᾶς δεκτικῶς κατήπειγεν. Συνιδὼν οὖν ὅτι βραχεῖαν ἡμῖν ὑπέρθεσιν ποιεῖσθαι ἐπέτρεπεν, ὀρθῶς μὲν, ἔφην, ποιεῖς, ἐπισπεύδουσα τὰ τῆς ἀγάπης ἀποπληρῶσαι [51] μέρη. Προτιμητέος δὲ ταύτης ὁ πρὸς τὸν Θεὸν ἡμῶν φόβος· δέδιμεν [52] γὰρ ὑπὲρ πολλῶν ψυχῶν τὸν ἀγῶνα ἔχοντες τῆς ἐκείνων σωτηρίας προτιμᾷν τὴν ἡμετέραν ἀνάπαυσιν.

II. Πυνθανόμεθα [53] γὰρ ὅτι Σίμων ὁ Μάγος, ἐπὶ τῆς ἐν Καισαρείᾳ πρὸς τὸν κύριον ἡμῶν Πέτρον ζητήσεως ἡττηθεὶς, παραχρῆμα ἀποδρὰς ἐνταῦθα πολλὰ κακὰ διαπράσσεται [54]. Πᾶσι γὰρ τοῖς ὑπεναντίοις B παρὰ τὴν ἀλήθειαν λοιδορῶν τὸν Πέτρον τὰς τῶν πολλῶν συναρπάζει ψυχάς. Μάγος τε [55] γὰρ αὐτὸς ὢν, μάγον ἐκεῖνον ἀποκαλεῖ, καὶ πλάνος αὐτὸς ὢν, πλάνον ἐκεῖνον ἀποκηρύσσει, καὶ ἐν ταῖς ζητήσεσιν ἐπὶ πάντων τὸ ἧττον ἀπενεγκάμενος καὶ φυγὼν αὐτὸς φάσκει νενικηκέναι [56], καὶ τοῦ Πέτρου μὴ δεῖν ἀκούειν πυκνότερον ἐντέλλεται, ὡς δῆθεν κηδόμενος, ἵνα μὴ ὑπὸ δεινοῦ καταγοητευθῶσι μάγου.

III. Ταῦτα οὖν μαθὼν ὁ κύριος ἡμῶν Πέτρος προαπέστειλεν ἡμᾶς **121** ἐξεταστὰς τῶν λεχθέντων αὐτῷ ἐσομένους· ἵνα εἰ οὕτως ἔχοι, γραψάντων ἡμῶν αὐτὸς μάθοι [57], καὶ ἐπελθὼν ἐξελέγξῃ αὐτὸν ἐκεῖνον ἄντικρυς ἐφ' ὧν αὐτὸν διέβαλλεν. Ἐπεὶ οὖν ὑπὲρ πολλῶν ψυχῶν ὁ κίνδυνος ἡμῖν πρόκειται, τούτου ἕνεκεν, τῆς τοῦ σώματος ἡμῶν ἀναπαύσεως πρὸς βραχὺ ἀμελήσαντες, παρὰ σοῦ τῆς ἐνταῦθα διαιτωμένης βουλόμεθα ἀψευ- C δῶς μαθεῖν, εἰ ἅπερ ἠκούσαμεν ἀληθῆ τυγχάνει· καὶ λέγοις ἂν ἤδη ἡμῖν ἕκαστα.

IV. Ἡ Βερνίκη δὲ ἀξιωθεῖσα [58]· Ταῦτα μὲν οὕτως, ἔφη, ἔχει ὡς ἠκούσατε, τὰ δὲ ἄλλα τὰ κατ' αὐτὸν τὸν Σίμωνα, ἅπερ ἴσως ἀγνοεῖτε, ἀκούσατε· φαντάσματά τε γὰρ καὶ ἰνδάλματα ἐν μέσῃ τῇ ἀγορᾷ φαίνεσθαι ποιῶν δι' ἡμέρας πᾶσαν ἐκπλήττει τὴν πόλιν (81), καὶ προϊόντος αὐτοῦ ἀνδριάντες κινοῦνται, καὶ σκιαὶ πολλαὶ προηγοῦνται, ἅσπερ αὐτὸς [59] ψυχὰς τῶν τεθνηκότων εἶναι λέγει (82). Πολλοὺς δὲ γόητα αὐτὸν ἐλέγχειν πειρωμένους διαλλάξας πρὸς ἑαυτὸν, ἔπειθ' ὕστερον [60] προφάσει εὐωχίας, βοῦν θύσας καὶ ἑστιάσας αὐτοὺς, διαφόροις νόσοις περιέβαλεν καὶ

VARIÆ LECTIONES.

[50] Χαναν(τιδος C. [51] ἀποπληροῦν C. [52] Ita S suffragante O, in cuj. marg. sec. man. notavit ἴσως δεῖ. Apud C δέδειμεν. [53] Ita O c. S. πυνθανώμεθα C. [54] κακὰ τὰ πράσσεται O. Subinde C: Malim *in omnibus enim contrariis*. [55] τε inserui c. O. Idem om. Vbb. ἀποκαλεῖ, καὶ πλάνος αὐτὸς ὢν πλάνον ἐκεῖνον. [56] νενικέναι O. [57] μάθῃ C. Tum ἐκείνων O. [58] ἀξιωθεῖ O. Idem om. conject. Ci. ἔχει, in cuj. textu ἔχειν. [59] αὐτός S ex cod. Reg. 804 et *Epit*. c. 45, αὐτάς C, O. Deest vox apud Anastasium, Cedrenum et Nicephorum. [60] ἑαυτὸν εὐθύστερον C.

VARIORUM NOTÆ.

(81) Excerpunt hæc Anastasius Sinaita, Cedrenus et Nicephorus. Quorum locos apposuit et discrepantiam orationis enotavit Schliemannus. *Clem*. p. 341 S. Blessel.

(82) Ἄσπερ αὐτὰς ψυχὰς τῶν τεθνηκότων εἶναι λέγει. Memoratus codex. αὐτός, ut in *Epitome*. Videndi, Anastasius, Cedrenus, Nicephorus: primus quæst. 20, p. 242; secundus *Compendii historici* p. 173, tertius *Hist. eccl*. lib. II, cap. 27. Ac forte in loco Cedreni rectius scribetur: καὶ ἑστιάσας αὐτοὺς, διαφόροις καὶ δυσιάτοις νόσοις καὶ δαίμοσιν ὑπέβαλε. Cot.

δαίμοσιν ὑπέβαλεν· καὶ ἵνα μὴ πολλὰ λέγω, πολλοὺς κακώσας θεὸς εἶναι ὑποληφθεὶς, πρὸς τῷ [61] φοβερὸν εἶναι καὶ προτετίμηται.

V. Ὅθεν οὐκ οἴομαι δυνήσεσθαί τινα τοσοῦτον ἀναφθὲν πῦρ σβέσαι. Οὐδὲ γὰρ ἐνδοιάζει τις περὶ ὧν ἐκεῖνος ἐπαγγέλλεται, ἀλλὰ τοῦτο οὕτως **122** ἔχειν διαβεβαιοῦται ἕκαστος. Διὸ τοῦ μὴ κινδυνεύειν ὑμᾶς χάριν παρακαλῶ μηδὲν ἐγχειρῆσαι πρὸς αὐτὸν, πρὶν ἂν Πέτρος ἔλθῃ, ὃς μόνος δυνήσεται πρὸς [62] τοσαύτην δυναστείαν, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δοκιμώτατος ὑπάρχων μαθητὴς, ἀνταγωνίσασθαι. Τοσοῦτον γὰρ πεφόβημαι τὸν ἄνδρα, ὡς, εἰ μὴ καὶ ἄλλοτε πρὸς τὸν κύριόν μου Πέτρον διαλεχθεὶς τὸ ἧττον ἀπηνέγκατο, συνεβούλευσα ἂν ὑμῖν καὶ αὐτὸν πείθειν τὸν Πέτρον, μὴ πειρᾶσθαι ἀντεξετάζεσθαι τῷ Σίμωνι.

VI. Κἀγὼ ἔφην· Ὁ κύριος ἡμῶν Πέτρος εἰ ἠγνόει ὅτι αὐτὸς μόνος κατισχύει τῆς ἐκείνου δυναστείας, οὐκ ἂν ἡμᾶς προπέμπων ἐνετέλλετο, λανθανόντως τὰ κατὰ Σίμωνα διαμανθάνοντας αὐτῷ γράφειν. Ὅμως ἐπεὶ ἑσπέρα κατειλήφει, ἁλῶν μεταλαβόντες ὑπνώσαμεν. Ἕωθεν δέ τις τῇ Βερνίκῃ συνήθης ἐλθὼν ἔφη, τὸν Σίμωνα εἰς τὴν Σιδῶνα ἐκπεπλευκέναι, τῶν δὲ αὐτοῦ μαθητῶν καταλελοιπέναι Ἀππίωνα τὸν Πλειστονίκην [63], ἄνδρα Ἀλεξανδρέα, γραμματικὸν τὴν ἐπιστήμην, ὃν πρὸς πατρός μοι φίλον ὄντα [64] ἐπέγνων, καὶ Ἀννουβιῶνα τὸν Διοσπολίτην τινὰ ἀστρολόγον, καὶ Ἀθηνόδωρον τὸν Ἀθηναῖον τῷ Ἐπικούρου [65] ἀρεσκόμενον λόγῳ. Ἡμεῖς δὲ, τὰ κατὰ τὸν Σίμωνα μαθόντες, ἕωθεν πάντα γράψαντες καὶ Πέτρῳ διαπέμψαντες, εἰς περίπατον ἀπετραπόμεθα.

XXVI. Quæ cum ad Appionem proloquerer, e Cæsarea advenit Petrus, et concursus multitudinis in Tyro facti sunt, festinantis ipsi occurrere gratiamque adventus profiteri. Et Appion quidem secessit cum Anubione et Athenodoro solis; reliqui vero omnes Petro obviam ituri prodivimus. Primus autem ego ante portas eum excipiens ad hospitium duxi. Ubi cum fuimus, plebem quidem dimisimus, ei vero roganti, ut acta narrarem, nihil abscondidi; sed Simonis indicavi calumnias et portentosas

A γράψαντες ἐπὶ αἰσχρᾶς πλοκῆς, ὥσπερ ἐπὶ τοῦ Διὸς τετολμήκασι ποιῆσαι, οὕτω ποιήσαντες ἀνέθεσαν δημοσίᾳ, ἵνα κἂν ἀπὸ τῆς ὀργῆς τοῦ προσκαίρου βασιλέως, καὶ ταῦτα ἀνθρώπου ὄντος, μάθωσι κολασθέντες, ὡς δεῖ τὴν δέουσαν ἀπονέμειν τιμήν. Ταῦτα δέ σοι λέγω, οὐχ ὡς αὐτὸς ἤδη ἐπιγνοὺς τὸν ὄντως Θεὸν [71], ἀλλ' εὐγνωμονῶν ὁμολογῶ, εἰ καὶ τί Θεὸς οὐκ οἶδα, ἀλλ' οὖν γε σαφῶς ὅτι Θεὸς [72] νομίζω εἰδέναι.

XXIV. Αὐτίκα γοῦν τὰ πρῶτα τέσσαρα στοιχεῖα Θεὸς εἶναι οὐ δύναται [73], τὰ ὑπὸ ἄλλου γενόμενα· οὐχ ἡ μίξις, οὐχ ἡ κρᾶσις, οὐχ ἡ γένεσις, οὐ τὸ πᾶν περιέχον ὁρατὸν κύτος· οὐδ' ἡ ἐν τῷ ᾅδῃ συῤῥέουσα ὑποστάθμη· οὐ τὸ ἐπιπολάζον ὕδωρ· οὐχ ἡ ζέουσα οὐσία· οὐχ ὁ B ἐξ αὐτῆς μέχρι τῶν ἐνταῦθα διήκων ἀήρ. Τά τε γὰρ στοιχεῖα τέσσαρα, εἴτε ἀλλήλων διεστάλκει, ἄνευ τινὸς μεγάλου τεχνίτου μιγῆναι πρὸς ζώου γένεσιν οὐκ ἐδύνατο, **172** εἴτε ἀεὶ ἀλλήλοις συνῆπτε [74], καὶ οὕτως ὑπὸ τεχνίτου νοῦ πρὸς τὸ οἰκεῖον τῶν τοῦ ζώου μελῶν καὶ μερῶν συναρμόζεται, ἵνα τὴν ἑκάστου πρὸς ἕκαστον ἀναλογίαν ἀποσώζειν δύνηται, καὶ τὴν ἕξιν εὐπερίγραφον ἔχῃ, καὶ τὰ ἔνδοθεν πάντα τὴν προσήκουσαν ἁρμονίαν λαμβάνῃ· ὁμοίως τε [75] καὶ τοὺς οἰκείους τόπους ἑκάστου μετὰ πάσης εὐμορφίας ὁ τεχνίτης νοῦς ἀκριβοῖ. Συνελὼν ἐρῶ· καὶ τὰ ἄλλα, ὅσα ποτὲ ζῶον δεῖ ἔχειν, οὐδὲν ἐνέλιπε [76] τῷ μεγάλῳ τούτῳ ζώῳ τῆς ὅλης περιφορᾶς.

XXV. Οὕτως ἀνάγκη τινὰ εἶναι νοεῖν [77] ἀγέννητον C τεχνίτην, ὃς τὰ στοιχεῖα ἢ διεστῶτα συνήγαγεν [78], ἢ συνόντα ἀλλήλοις πρὸς ζώου γένεσιν τεχνικῶς ἐκέρασε καὶ ἓν ἐκ πάντων ἔργον ἀπετέλεσεν. Ἀδύνατον γὰρ ἄνευ τινὸς νοῦ μείζονος πάνυ σοφὸν ἔργον ἀποτελεῖσθαι. Οὐδὲ μὴν ἔρως [79] εἶναι δύναται πάντων τεχνίτης, οὐκ ἐπιθυμία, οὐκ ἰσχὺς, οὐκ ἄλλο τι τοιοῦτον, ἅ τινα παθητὰ συμβαίνειν καὶ ἀποβαίνειν πέφυκεν. Ἀλλ' οὐδὲ τὸ ὑφ' ἑτέρου φερόμενόν ἐστι Θεὸς, οὐδέ γε τὸ ὑπὸ χρόνου ἢ φύσεως ἀλλοιούμενον καὶ εἰς τὸ μηκέτι εἶναι ἀναλυόμενον.

XXVI. Ταῦτά μου διαλεγομένου πρὸς τὸν Ἀππίωνα, ἀπὸ Καισαρείας **173** ἐπέστη Πέτρος, καὶ συνδρομαὶ τῶν ὄχλων ἐγένοντο ἐν τῇ Τύρῳ, σπευδόντων ὑπαντᾷν αὐτῷ καὶ χάριν τῇ ἐπιδημίᾳ ὁμολογεῖν. D Καὶ ὁ μὲν Ἀππίων ὑπεχώρει μετ' Ἀνουβίωνος [80] καὶ Ἀθηνοδώρου μόνων, οἱ δὲ ἄλλοι πάντες ὡς ἀπαντησόμενοι [81] τῷ Πέτρῳ ὡρμήσαμεν. Πρῶτος δὲ ἐγὼ πρὸ τῶν πυλῶν ἀποδεξάμενος αὐτὸν ἐπὶ τὴν ξενίαν ἤγον. Ὡς δὲ ἐγενόμεθα, τοὺς μὲν ὄχλους ἀπελύσαμεν, αὐτῷ δὲ ἀξιώσαντί με τὰ πραχθέντα λέγειν οὐδὲν ἀπεκρυ-

VARIÆ LECTIONES.

[71] θεός O. [72] Ita O c. S, θεόν C. [73] δύνανται O. Tum ἀπ' ἄλλου S. [74] τά τε γὰρ στοιχεῖα τὰ δ' εἴτε ἀεὶ ἀλλήλοις συνῆπτον O, intermediis vocabulis omissis. [75] τε S, τό C, O. [76] ὅσα ποτε ζῶν δεῖ ἔχειν, οὐδὲν ἐνέλειπε C. [77] νοῦν O. [78] τὰ στοιχεῖα ἡδίστως ἢ συνήγαγεν O, συνήγαμεν ex Cotelerio minus accurate notat S, cum exstet ap. Cl. [79] Secundum Parmenidem et Empedoclem. Cf. Karsten, *Parmenid. reliq.* v. 131. *Emped. reliq.*, p. 346 sqq. Arist. *Metaph.* I, 4. 1. S. [80] Ἀννουβίωνος O. Tum μόνον C. [81] ἀπαντήσομεν O, ad oram correctum in ἀπαντησόμενοι.

πεόμην, ἀλλ' ἐμήνυον τάς τε τοῦ Σίμωνος διαβολὰς A καὶ τὰς τερατώδεις φαντασίας ὑπ' αὐτοῦ γεγενημένας, καὶ ὅσας ἔπεμψεν νόσους [82] μετὰ τὴν ἐκ τῆς βουθυσίας ἑστίασιν, καὶ ὅτι ἐκ τῶν νοσούντων οἱ μὲν αὐτόθεν [83] κατέμειναν ἐν τῇ Τύρῳ, οἱ δὲ τῷ Σίμωνι ἅμα τῷ ἐμὲ ἐλθεῖν συνεξεληλύθεισαν [84] εἰς τὴν Σιδῶνα, ὡς ὑπ' αὐτῷ [85] θεραπευθησόμενοι, καὶ ὅτι ἐμάνθανον μηδένα αὐτῶν ἰάσεως τετυχηκέναι ὑπ' αὐτῷ [86]. καὶ τὴν πρὸς Ἀππίωνά μοι γεγενημένην διάλεξιν τῷ Πέτρῳ διηγησάμην. Ὁ δὲ στοργῆς καὶ προτροπῆς χάριν ἐπαινέσας με καὶ εὐλογήσας, ἀλῶν μεταλαβὼν, διὰ τοὺς καμάτους της ὁδοιπορίας τῇ ἀναγκαιοτάτῃ ἡσυχίᾳ τοῦ ὕπνου ἑαυτὸν ἐπέτρεπεν.

præstigias ab ipso editas, quotque morbos immiserit post illud ex immolato bove convivium, et quod ex ægrotis alii quidem illic apud Tyrum permanserint, alii vero simul ac ego veni egressi sint cum Simone in Sidonem, tanquam ab eo sanandi, quoque audierim nullum eorum ab ipso sanatum fuisse; sed et meam adversus Appionem disputationem Petro retuli. At ille præ amore et exhortandi gratia in me laudem ac benedictionem contulit; et cibo sumpto se somni quieti, quæ ob itineris fatigationem maxime erat necessaria, tradidit.

—

ὉΜΙΛΙΑ Ζ' (12).

B I. Τῇ [87] τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἐν Τύρῳ ἡμῶν ἐπιδημίας, ὑπὸ τὴν **174** ὄρθρον προεληλυθότι τῷ Πέτρῳ ἀπήντων πλησιόχωροί τε οὐκ ὀλίγοι καὶ αὐτῆς Τύρου πάμπολλοι, καὶ ἐπεφώνουν λέγοντες, Ὁ Θεὸς διὰ σοῦ ἡμᾶς ἐλεείτω, διὰ σοῦ θεραπευέτω. Ὁ δὲ Πέτρος ἔστη ἐπὶ λίθου τινὸς ὑψηλοῦ πρὸς τὸ δύνασθαι πᾶσιν ὁρᾶσθαι, καὶ προσαγορεύσας θεοσεβεῖ νόμῳ οὕτως ἤρξατο·

II. Θεῷ τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὸ σύμπαν οὐ λείπει πρόφασις πρὸς σωτηρίαν τῶν σώζεσθαι θελόντων. Ὅθεν μηδὲ ἐπὶ [88] τοῖς δοκοῦσι φαύλοις ὑπὸ προπετείας τις αὐτὸν ὡς μὴ [89] φιλάνθρωπον αἰτιάσθω. Τῶν γὰρ συμβαινόντων ἀνθρώπῳ [90] τὰ τέλη ἀνθρώποις μὲν ἄγνωστα, ὡς ἐπὶ κακῷ ὑποπτευόμενα [91], Θεῷ δὲ ὡς ἀποβησόμενα εὐτυχῶς γνώριμα. Αὐτίκα γοῦν Σίμων ἀριστερὰ τοῦ Θεοῦ δύναμις ὢν C καὶ τῶν τὸν Θεὸν οὐκ εἰδότων ἐπὶ κακοποιίᾳ τὴν ἐξουσίαν ἔχων νόσοις ὑμᾶς περιβαλεῖν ἠδυνήθη, αἵτινες διὰ τὴν τοῦ Θεοῦ ἀγαθὴν πρόνοιαν γενέσθαι συγχωρηθεῖσαι ἠνάγκασαν ὑμᾶς, τόν ἰᾶσθαι δυνάμενον περιβλεψαμένους καὶ εὑρόντας, προφάσει τῆς τοῦ σώματος θεραπείας τὰ Θεῷ δοκοῦντα ἀναδεξαμένους, πεισθῆναι φρονεῖν, ἵνα οὕτως ἅμα τοῖς σώμασι σωθησομένοις καὶ τὰς ψυχὰς σώας ἔχητε.

III. Μανθάνω οὖν, ὡς βουθυτήσας ἑστίασιν [92] ὑμᾶς ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ οὕτως ὑμεῖς οἴνῳ πολλῷ παρενεχθέντες ἅμα τοῖς πονηροῖς δαίμοσι τὸν ἄρχοντα αὐτῶν ἐφιλοφρονεῖσθε, καὶ οὕτως ὑμῶν οἱ πλεῖστοι ὑπὸ τῶν παθῶν **175** κατελήφθησαν, ἀγνοίας αἰτίᾳ καθ' ἑαυτῶν ἰδίαις χερσὶν ἐπισπασάμενοι τὸ τοῦ ὀλέθρου ξίφος. Οὐ γὰρ ἂν τὴν καθ' ὑμῶν ἔσχον ἐξουσίαν οἱ δαίμονες, εἰ μὴ πρότερον τῷ ἄρχοντι αὐτῶν D ὁμοδίαιτοι ἐγεγόνειτε. Οὕτω γὰρ ἀπαρχῆς [93] ὑπὸ τοῦ πάντα κτίσαντος Θεοῦ δυσὶν ἑκάστοτε ἄρχουσι, δεξιῷ

HOMILIA VII.

I. Quarto vero die nostri apud Tyrum adventus sub diluculum egresso Petro processerunt obviam non pauci finitimi, ac ex ipsa Tyro quamplurimi, et acclamabant dicentes : Deus per te nostri misereatur, per te nos curet. Petrus vero stetit in excelso lapide, ut ab omnibus posset conspici, cumque religioso more salutasset ita exorsus est :

II. Deo creatori cœli et mundi non deest occasio ad salutem eorum qui servari volunt. Quocirca neque in iis, quæ videntur mala, aliquis per temeritatem illum velut hominum non amantem insimulet. Eorum enim, quæ mortali accidunt, fines quidem hominibus incogniti sunt, ac de malitia supecti, Deo autem cogniti, ut cessuri feliciter. Itaque Simon, qui sinistra Dei virtus est, potestatemque habet ad maleficentiam in eos qui Deum nesciunt, vos potuit morbis implicare, qui morbi per bonam Dei providentiam evenire permissi coegerunt vos, ut quæsito eo qui sinare valeret et invento, occasione corporalis medelæ placita Deo susciperetis atque crederetis ut sic una cum servatis corporibus et animas habeatis salvas.

III. Audio utique, eum bove mactato convivium vobis in medio dedisse foro, sicque vos multo vino abrepti una cum pravis dæmonibus principem eorum complexi estis, atque ita vestrum plurimi morbis capti sunt, per ignorantiam in se propriis manibus attracto perniciei gladio. Neque enim adversum vos dæmones habuissent potestatem, nisi prius cum eorum principe fuissetis epulati. Principio siquidem illa per universorum conditorem Deum lex præfinita est duobus utrinque ducibus,

VARIÆ LECTIONES

[82] ὅσους O. [83] αὐτόθι C. [84] Ita O c. S, συνεξεληλύθησαν C. [85] ὑπ' αὐτοῦ C. [86] ὑπ' αὐτοῦ τετυχηκέναι C. [87] τῇ præfixi c. O Idem postea τὸν ορθρον. [88] ἐπί om. O. [89] μή deest in O. [90] ἀνθρώπων C, ἀνθρώποις in marg. Vocem ἀνθρώπων delendam censet D, συμβαινόντων παθῶν proponit S : conjecturæ jam superfluæ. [91] ὑποπτενόμενα O. Tum idem ἀποβησόμενα c. D, ἀποσόμενα C. idem f. ἐπεσόμενα vel ἀποσωζόμενα in marg. [92] εἱστίασεν *Epit.* c. 54. [93] ἀπ' ἀρχῆς O.

VARIORUM NOTÆ.

(12) Homiliæ septimæ alteram inscriptionis partem ap. C. obviam ΕΝ ΤΥΡΩ Δ' quæ scholion redolet, omisi c. O. DRESS.

dextro et sinistro, ut non habeat alter illorum potestatem, nisi pius conviva cujuspiam fuerit, quem beneficio vel injuria cupit afficere. Sicut ergo perceptis sacrificiis, quæ dæmonibus fuerant oblata, venistis in servitutem illius qui malitiæ princeps est, ita si ab iis abstinueritis et ad Deum per bonum dextrumque principem confugeritis, honoribus sacrificii expertibus facientes quæ vult, probe scitote, quod cum corporis sanitate animas quoque possidebitis sanas. Ipse namque solus, per sinistram occidens, per dextram potest vitam largiri ; pariterque et percutere, et jacentem erigere (*a*).

IV. Propterea primum a præcursore Simone decepti ratione animæ mortui estis Deo et corpore fuistis afflicti, potestis autem similiter iterum per pœnitentiam, ut dixi, Deo placita amplexi et corpore convalescere, et animam recuperare. Porro Deo placita sunt : eum precari, petere ab illo tanquam ab eo qui cuncta æqua lege tribuit, dæmonum mensa sese abstinere, non gustare carnem demortuam, sanguinem non attingere, ab omni illuvie mundari. Reliqua autem uno verbo, quæcunque Judæi, erga Deum religiosi homines, audierunt, et vos cuncti audite, in multis corporibus unam mentem adepti : quæ unusquisque sibi desiderat bona, eadem et de proximo statuat(*b*). Sic autem unusquisque vestrum bonum cogitaverit, si ista apud se repetat : Non vis interfici ? alterum non interficias ; non vis uxorem tuam ab alio constuprari, alterius nuptam ne constupra ; non vis quidpiam rerum tuarum furto auferri ? nihil alterius furare. Atque ita ex vobis ipsis quod rationi consentaneum est intelligentes atque facientes, Deo chari effecti consequemini sanitatem : alioquin et in præsenti sæculo corporibus torquebimini, et in futuro puniemini animabus.

V. Hæc a Petro paucis diebus edocti et sanati baptizati sunt. Deinde inter cætera illius miracula reliqui omnes in medio foro passim in cinere et sacco sedebant, agentes pœnitentiam de prioribus delictis. Et qui Sidonem incolebant, ista audientes similia fecerunt, miseruntque ad Petrum supplicaturos, quod ipsi propter morbos non possent ad illum venire. Igitur Petrus cum per paucos dies Tyri commoratus esset cunctosque illius civitatis homines instruxisset, et liberavisset omnigenis morbis ac instituisset ecclesiam, atque ex presbyteris, qui eum sequebantur, ipsis episcopum constituisset, Sidonem appulit. At Simon, audiens quod adventaret Petrus, confestim ad Berytum aufugit cum Appione et sociis.

A τε καὶ εὐωνύμῳ [94], ὡρίσθη νόμος, μὴ [95] ἔχειν ἑκάτερον αὐτῶν ἐξουσίαν, ἐὰν μὴ πρότερόν τινι ὁμοτράπεζος γένηται, ὃν εὐποιῆσαι ἢ κακῶσαι βούλεται. Ὥσπερ οὖν δαίμοσιν ἀποδεδομένων θυμάτων μεταλαβόντες τῷ τῆς κακίας ἡγεμόνι κατεδουλώθητε, οὕτως, ἂν τούτων παυσάμενοι τῷ Θεῷ διὰ τοῦ ἀγαθοῦ καὶ δεξιοῦ ἡγεμόνος προσφύγητε, ἀθύτοις τιμαῖς ποιοῦντες ἃ βούλεται, εὖ ἴστε ὅτι σὺν τῇ τοῦ σώματος ἰάσει καὶ τὰς ψυχὰς ὑγιαινούσας ἕξετε. Αὐτὸς γὰρ μόνος διὰ τῆς ἀριστερᾶς ἀναιρῶν διὰ τῆς δεξιᾶς ζωοποιῆσαι δύναται· ὁμοίως δὲ καὶ πατάξαι, καὶ ἀναστῆσαι κείμενον.

IV. Διὰ τοῦτο πρῶτον ὑπὸ τοῦ προδρόμου Σίμωνος προαπατηθέντες, Θεῷ τὰς ψυχὰς ἀπεθάνετε καὶ τὰ σώματα ἐπατάχθητες δύνασθε δὲ ὁμοίως τὸ δεύτερον, B διὰ τῆς μετανοίας, ὡς ἔφην, τὰ Θεῷ ἀρέσκοντα ἀναδεξάμενοι καὶ τὰ σώματα ἀναῤῥῶσαι καὶ τὰς ψυχὰς ἀναλαβεῖν. Ἔστι δὲ τὰ ἀρέσκοντα τῷ Θεῷ τὸ αὐτῷ προσεύχεσθαι· αὐτὸν αἰτεῖν [96] ὡς πάντα νόμῳ κριτικῷ διδόντα· τραπέζης δαιμόνων ἀπέχεσθαι· νεκρᾶς μὴ γεύεσθαι σαρκός· μὴ **176** ψαύειν αἵματος [97]· ἐκ παντὸς ἀπολούεσθαι [98] λύματος· τὰ δὲ λοιπὰ ἑνὶ λόγῳ, ὡς οἱ Θεὸν σέβοντες ἤκουσαν Ἰουδαῖοι, καὶ ὑμεῖς ἀκούσατε ἅπαντες, ἐν πολλοῖς σώμασι μίαν γνώμην ἀναλαβόντες· ἅπερ ἕκαστος ἑαυτῷ βούλεται καλά, τὰ αὐτὰ βουλευέσθω [99] καὶ τῷ πλησίον. Οὕτω δ' ἂν ὑμῶν ἕκαστος νοήσειε τὸ καλόν, εἰ ἑαυτῷ διαλεχθείη τὰ τοιαῦτα· Οὐ θέλεις φονευθῆναι, ἕτερον μὴ φονεύσῃς· οὐ θέλεις τὴν σὴν ὑφ' ἑτέρου μοιχευθῆναι γυναῖκα, τὴν ἑτέρου μὴ μοίχευε γαμετήν· οὐ θέλεις τι τῶν σῶν κλαπῆναι, ἑτέρου μὴ κλέπτε μηδέν. Καὶ C οὕτως ἀφ' ὑμῶν αὐτῶν τὸ εὔλογον συννοοῦντες καὶ ποιοῦντες, Θεῷ προσφιλεῖς γενόμενοι, ἐπιτεύξεσθε τῆς ἰάσεως, ἐπεὶ καὶ ἐν τῷ παρόντι αἰῶνι βασανισθήσεσθε τὰ σώματα, καὶ ἐν τῷ μέλλοντι κολασθήσεσθε τὰς ψυχάς.

V. Ταῦτα [100] ὑπὸ τοῦ Πέτρου ἐν ὀλίγαις ἡμέραις κατηχηθέντες καὶ ἰαθέντες ἐβαπτίσθησαν. Ἔπειτα [1] τοῖς λοιποῖς αὐτοῦ θαύμασιν οἱ λοιποὶ πάντες ἐν μέσαις ταῖς ἀγοραῖς πανδημεὶ ἐπὶ σποδοῦ καὶ σάκκου ἐκαθέζοντο, μετανοοῦντες ἐπὶ τοῖς πρότερον ἡμαρτημένοις. Καὶ οἱ ἐν Σιδῶνι ταῦτα ἀκούσαντες τὰ ὅμοια ἐποίησαν, καὶ ἱκέτας πρὸς τὸν Πέτρον ἀπέστελλον, ὡς αὐτοὶ διὰ τὰς νόσους πρὸς αὐτὸν ἐλθεῖν μὴ δυνάμενοι. Ὁ Πέτρος δὲ ἡμερῶν οὐ πολλῶν ἐνδιατρίψας τῇ [2] Τύρῳ, καὶ κατηχήσας τοὺς ἐν αὐτῇ **177** ἅπαν- D τας, καὶ παντοδαπῶν αὐτοὺς ἀπαλλάξας παθῶν, ἐκκλησίαν τε συστησάμενος, καὶ ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἐπίσκοπον αὐτοῖς καταστήσας, ὥρμησεν εἰς Σιδῶνα. Ὁ δὲ Σίμων μαθὼν ἥκοντα τὸν Πέτρον εὐθὺς ἀπέδρα εἰς Βηρυτὸν μετ' [3] Ἀππίωνος καὶ τῶν αὐτοῦ ἑταίρων.

(*a*) Deut. XXXII, 39 ; I Reg. II, 6. (*b*) Matth. VII, 12.

VARIÆ LECTIONES.

[94] Ita D, δεξιόν τε καὶ εὐωνύμων C, δεξιῶν τε καὶ εὐωνύμων O. [95] μή O et de conject. C, in cujus textu deest. [96] Ita ex conject. Ci, ἐστίν uterque Hom. codex. [97] αἵματα O. [98] Hanc Ottoboniani lectionem commendat C ex conject., sed exh. ἀπολύεσθαι in textu. Deinde ὡς οἱ c. O, ὅσοι (f. ὅσα) C, ὅσ' οἱ S. [99] D emendat βουλέσθω [100] Τοιαῦτα C. [1] Forte leg. καὶ ἐπί. Vulgatam saltem scripturam haud sanam esse facile apparet S. [2] τῷ S. [3] μετά O. Idem deinde ἑαυτοῦ.

VI. Τοῦ δὲ Πέτρου εἰσιόντος εἰς τὴν Σιδῶνα, πολλοὺς ἐν κλίναις φέροντες πρὸ αὐτοῦ ἐτίθεσαν. Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Μὴ τοίνυν νομίσητε ἐμέ τι δύνασθαι πρὸς ὑμετέραν ἴασιν, ἄνδρα θνητὸν καὶ αὐτὸν πολλοῖς πάθεσιν ὑποπεσεῖν δυνάμενον· ὑφηγεῖσθαι δὲ ὑμῖν τὸν τρόπον δι' οὗ σωθῆναι δυνήσεσθε οὐ φθονω, καὶ αὐτὸς παρὰ τοῦ τῆς ἀληθείας Προφήτου μαθὼν τοὺς προωρισμένους τοῦ Θεοῦ πρὸ καταβολῆς κόσμου ὁρισμοὺς, λέγω δὲ ἐπὶ ποίαις κακαῖς πράξεσι τοὺς ἀνθρώπους ἔταξεν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος κακοῦσθαι, ὁμοίως δὲ [4] ἐπὶ ποίαις ἀγαθαῖς πράξεσιν ὥρισε πρότερον πιστεύσαντας αὐτῷ ἰωμένῳ τὰ σώματα σώζεσθαι, ἔπειτα καὶ τὰς ψυχὰς ἐπανορθοῦσθαι πρὸς τὸ ἀνώλεθρον.

VII. Ταύτας τοίνυν τάς τε ἀγαθὰς καὶ κακὰς πράξεις εἰδὼς προμηνύω ὑμῖν ὡς [5] ὁδοὺς δύο, ὑποδεικνύων διὰ ποίας μὲν βαδίζοντες ἀπόλλυνται, ποίαν [6] δὲ ὁδεύοντες ἀποσώζονται, Θεῷ ὁδηγούμενοι. Ἡ μὲν οὖν τῶν ἀπολλυμένων ὁδὸς πλατεῖα μὲν καὶ ὁμαλωτάτη, ἀπολλύουσα δὲ ἄνευ τοῦ πόνου, ἡ δὲ τῶν σωζομένων στενὴ μὲν καὶ τραχεῖα, σώζουσα δὲ πρὸς τῷ τέλει τοὺς διαπορευθέντας ἐπιπόνως. Τούτων δὲ τῶν δύο ὁδῶν προκαθέζεται **178** ἀπιστία καὶ πίστις· καὶ ὁδεύουσι διὰ μὲν ἀπιστίας οἱ τὰς ἡδονὰς προκρίναντες, δι' ἃς [ποιοῦντες ὃ οὐκ ἀρεστὸν τῷ θεῷ καὶ ἀμελήσαντες εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ, ἐλάθοντο ἡμέρας κρίσεως [7],] οὐδὲ ζητεῖν τὸ συμφέρον οὐ διεφύλαξαν. Ἀγνοοῦσι μέντοι ὡς οὐκ ἀνθρωπίνοις ὅμοια τὰ Θεοῦ βουλήματα· πρῶτον μὲν γὰρ οἶδε τὰ πάντων διανοήματα, καὶ οὐκ ἐν τῷ ἐγχειρῆσαι μόνον, ἀλλὰ καὶ ἐν τῷ ἐννοῆσαι ἕκαστος εὐθύνεται. Πολλῷ [8] δὲ ἧττον ἀσεβοῦσιν οἱ ἐγχειροῦντες καλὰ νοεῖν καὶ ἀποτυγχάνοντες, τῶν μηδὲ ὅλως ἐγχειρούντων τοῖς καλοῖς. Ὅτι αὐτῷ τῷ Θεῷ ἔδοξεν, τὸν ἐν γνώσει τῶν καλῶν παραπίπτοντα [9], κατὰ λόγον τῶν ἀνθρωπίνων παραπτωμάτων, μετρίως κολασθέντα [10] σωθῆναι. Οἱ δὲ τὴν ἀρχὴν καὶ τοῦ γνῶναι τὸ κρεῖττον ἐξημεληκότες, κἂν μυρία ἕτερα πράξωσι καλὰ, ἐν ᾗ δὲ αὐτὸς ὥρισε θρησκείᾳ μὴ γένωνται, ἀμελείας ἔγκλημα λαβόντες τῇ μεγίστῃ ἀποσβεσθήσονται κολάσει παντελῶς [11].

VIII. Ἡ δὲ ὑπ' αὐτοῦ ὁρισθεῖσα θρησκεία ἐστὶν αὕτη· Τὸ μόνον αὐτὸν σέβειν, καὶ τῷ τῆς ἀληθείας μόνῳ πιστεύειν προφήτῃ, καὶ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτισθῆναι, καὶ οὕτως διὰ τῆς ἁγνοτάτης βαφῆς ἀναγεννηθῆναι Θεῷ διὰ τοῦ σώζοντος ὕδατος· τραπέζης δαιμόνων μὴ μεταλαμβάνειν, λέγω δὲ εἰδωλοθύτων, νεκρῶν, πνικτῶν, θηριαλώτων, αἵματος· μὴ ἀκαθάρτως **179** βιοῦν, ἀπὸ κοίτης γυναικὸς λούεσθαι, αὐτὰς μέντοι καὶ ἄφεδρον φυλάσσειν, πάντας δὲ σωφρονεῖν, εὐποιεῖν, μὴ ἀδικεῖν· παρὰ τοῦ πάντα δυναμένου Θεοῦ ζωὴν αἰώνιον προσδοκᾷν· εὐχαῖς καὶ δεήσεσι συνεχέσιν αἰτουμένους αὐτὴν λαβεῖν. Τοιαῦτα

VI. Cæterum cum Petrus Sidonem ingressus esset, multos in lectis allatos coram ipso posuerunt. Ille autem dixit ad eos : Ne vero existimetis me aliquid posse ad curationem vestram, qui sim ipso quoque homo mortalis, et in multa possim incidere adversa : docere autem vos modum quo salvi esse possitis, non gravabor, qui ipse etiam a veritatis Propheta didici præfixos a Deo ante mundi constitutionem terminos, in qualibus, inquam, malis operibus disposuerit ut homines a malitiæ duce affligantur, sed similiter in qualibus bonis operibus decreverit ut, qui in eum velut medicum crediderint, prius corpore curentur, deinde et anima instaurentur ad salutem.

VII. Has ergo cognoscens bonas et malas actiones prænuntio vobis quasi duas ostendens vias, per quam quidem gradientes pereant, per quam vero incedentes salventur, ducti a Deo. Via igitur pereuntium lata est et planissima, perditque absque labore; at via servatorum angusta est et aspera, tandemque iter facientes servat cum labore multo (*a*), Cæterum his duabus viis præsident incredulitas et fides, proficiscuntur autem per incredulitatem quidem qui voluptates prætulerunt, propter quas [quod Deo displicet facientes neque curam animæ salutis gerentes diei judicii obliti sunt] neque quod utile est curaverunt quærere. Itaque ignorant, Dei consilia similia non esse humanis. Primo etenim novit Deus cogitationes omnium, et non ob solam operationem, sed et propter cogitationem unusquisque judicatur. Multo autem minus impii sunt, qui nituntur bona intelligere et aberrant, quam qui nullatenus aggrediuntur bona. Quia Deo placuit, ut qui in cogitatione boni lapsus fuerit, juxta rationem humanorum lapsuum, modice castigatus servetur. At qui omnino intelligere neglexerunt, etsi operentur innumera alia præclara, ideo quod in religione a Deo definita non exstiterint, indiligentiæ sumpto crimine per maximum penitus interibunt supplicium.

VIII. Porro ab eo definita religio hæc est : Eum solum colere, ac soli credere Prophetæ veritatis, in remissionem peccatorum baptizari, sicque per intinctionem purissimam renasci Deo in aqua salutari ; nihil sumere de mensa dæmonum, hoc est de idolothytis, mortuis, suffocatis, a bestia captis, sanguine ; non impure vivere, lavari post concubitum cum muliere, feminas vero custodire etiam legem purgationis, cunctos autem temperantes esse, benefacere, non afficere injuria ; a Deo omnipotente exspectare vitam æternam ; petendo illius adeptionem orationibus et precibus continuis. Hæc et in

(*a*) Matth. VII, 13.

VARIÆ LECTIONES.

[4] τε C. [5] Vbb. ὑμῖν ὡς bis leguntur in O. [6] ποίᾳ C. [7] Lacunam in cod. Ottob. post δι' ἃς obviam verbis explere tentavi, quæ præcedunt uncis inclusa. [8] πολλῷ O. ut conj. C, in cuj. textu πολλῶν. [9] τῶν ἐν γν. τ. κ. παραπιπτόντων C. Aut post ἔδοξεν addendum ἐπί vel περί, aut scribendum τοὺς — παραπίπτοντας censuit D. [10] κολασθέντας C. [11] παντελῶς O, quod et S proposuit legendum, παντελεῖ C.

Sidone Petro suadente, cum paucis diebus multi ibi quoque pœnitentiam egissent, ac credidissent, atque sanati essent, ecclesiam instituit; et postquam aliquem ex presbyteris, qui eum consectabantur, constituisset illis episcopum, Sidone egressus est.

IX. Statim autem ac Berytum pervenit, terræ motus factus est,atque plebs accedens ad Petrum: Fer opem,inquiebat; timuimus enim, dixerunt,ne omnes omnino periremus. Tunc Simon, commento excogitato, una cum Appione, Anubione, Athenodoro cæterisque sodalibus publice multitudini adversus Petrum acclamabat : Fugite, o viri, hunc hominem; magnus est : mihi credite et terræ motum is vobis fecit, ipse morbos excitavit, ut vos perterreat, quasi ipse sit Deus. Atque multa ejusmodi pars Simonis contra Petrum finxit, velut eum qui humanas vires supergrederetur. Cumque plebs se in silentio tenuisset, Petrus subridens terrorem incutiente libertate dixit : Viri quæ ab istis dicuntur, fateor me posse Deo volente efficere : ad hæc paratus sum, nisi mihi habueritis fidem in his quæ loquor, universam vestram funditus evertere civitatem.

X. Cumque turba timore esset commota atque promisisset se quod ab ipso imperaretur facturam : Nemo vestrum, inquit Petrus, neque commercium cum istis magis habeat, neque cum iis jungatur. Plebs autem simul ac breve mandatum audivit, fustibus sumptis eos persecuta est, donec penitus urbe pepulisset. Et ingressi quicunque ex iis ægrotabant et a dæmonibus vexabantur, se ad pedes Petri projecerunt. Ille vero hæc cernens eorumque stuporem volens solvere ad eos infit.

XI. Ego si terræ motus et quidquid volo possem facere, non dico quod Simonem cum sociis suis exterminassem (non enim ad hominum internecionem missus fui), sed eum mihi amicum reddidissem, ne veræ detrahens meæ prædicationi multis impedimento esset ad salutem. Quod si mihi credite, ipse est magus, ipse calumniator, ipse malitiæ minister in eos qui nesciunt veritatem. Atque ideo peccatoribus ægritudines potest efficere, cum eos peccatores adjutores habeat potestatis contra ipsos.Ego autem Dei omnium auctoris servus sum, dextrique ejus Prophetæ discipulus. Quocirca qui sum illius apostolus, vera prædico; bono enim ministrans etiam morbos depello; nam secundus missus sum,quandoquidem præcedit morbus, sequitur vero sanatio. Per illum ergo maleficum magum, Deo increduli, ægrotastis; per me autem, modo in eum credatis, sanabimini. Sic enim experimento

A καὶ ἐν τῇ Σιδῶνι τοῦ Πέτρου παραινοῦντος, ἡμέραις ὀλίγαις πολλῶν κἀκεῖ μετανοησάντων καὶ πιστευσάντων, καὶ θεραπευθέντων ἐκκλησίαν συνέστησεν, καὶ τῶν συνεπομένων αὐτῷ πρεσβυτέρων τινὰ καταστήσας αὐτοῖς ἐπίσκοπον, ἐξῄει τῆς Σιδῶνος.

IX. Ὡς δὲ εὐθὺς ἐπέβη τῆς Βηρυτοῦ, σεισμὸς ἐγένετο· καὶ οἱ ὄχλοι προσιόντες τῷ Πέτρῳ· Βοήθει, ἔλεγον· πεφοβήμεθα γὰρ, ἔφασαν, μὴ ἄρα ἄρδην πάντες ἀπολώμεθα. Τότε ὁ Σίμων, τολμήσας ἅμα τῷ Ἀππίωνι καὶ Ἀνουβίωνι καὶ Ἀθηνοδώρῳ καὶ τοῖς λοιποῖς ἑταίροις αὐτοῦ, δημοσίᾳ τοῖς ὄχλοις κατὰ τοῦ Πέτρου ἐβόα· Φεύγετε, ἄνδρες, τὸν ἄνδρα τοῦτον· μάγος ἐστί· πιστεύσατε, καὶ τὸν σεισμὸν αὐτὸς ἐποίησεν ὑμῖν [12], καὶ τὰς νόσους ἐκίνησεν αὐτὸς,
B ἵνα ὑμᾶς καταπλήξηται [13], ὡς αὐτὸς ὢν Θεός. Καὶ πολλὰ τοιαῦτα ὡς ὑπὲρ δύναμιν ἀνθρωπίνην δυναμένου τοῦ Πέτρου κατεψεύδοντο οἱ περὶ τὸν Σίμωνα. Ἡσυχίαν δὲ αὐτῷ [14] παρασχόντων τῶν ὄχλων ὁ Πέτρος βραχὺ ὑπομειδιάσας καταπληκτικῇ τῇ παῤῥησίᾳ· Ἄνδρες, εἶπεν, ἅπερ οὗτοι λέγουσιν, Θεοῦ θέλοντος, ποιεῖν δυνατὸς εἶναι ὁμολογῶ, πρὸς δὲ τούτοις ἕτοιμός εἰμι, ἐὰν μὴ πείθησθέ [15] μοι περὶ ὧ λέγω, τὴν πᾶσαν ὑμῶν ἐκβαθρεῦσαι πόλιν.

801 X. Τῶν δὲ ὄχλων φοβηθέντων καὶ [16] ποιήσειν ἐπαγγειλαμένων, ὅπερ ἂν ὑπ' αὐτοῦ κελεύωνται. Μηδεὶς ὑμῶν, ἔφη ὁ Πέτρος, μήτε ὁμιλείτω τούτοις τοῖς γόησιν, μήτε ἀναμιγνύσθω. Οἱ δὲ ὄχλοι ἅμα τῷ ἀκοῦσαι τοῦ κελεύσματος τοῦ συντόμου [17] ξύλα λαβόντες ἐδίωκον αὐτοὺς, ἕως αὐτοὺς παντελῶς τῆς πόλεως ἐξήλασαν. Καὶ εἰσελθόντες οἱ νοσοῦντες αὐ-
C τῶν καὶ δαιμονῶντες πρὸς ποσὶ τοῦ Πέτρου ἑαυτοὺς ἐῤῥίπτουν. Ὁ δὲ ταῦτα βλέπων, καὶ τὴν κατάπληξιν αὐτῶν ἀναλῦσαι θέλων, πρὸς αὐτοὺς ἔφη·

XI. Ἐγὼ σεισμοὺς καὶ πᾶν ὅ τι βούλομαι εἰ ἐδυνάμην ποιεῖν [18], Σίμωνα οὐ λέγω ὅτι μετὰ τῶν αὐτοῦ ἑταίρων [19] ἐξωλόθρευον (οὐ γὰρ ἐπὶ φθορᾷ ἀνθρώπων ἀπέσταλμαι), ἀλλὰ φίλον ἐμαυτῷ αὐτὸν ἂν ἐποιησάμην, ἵνα μή μου τὸ ἀληθὲς διαβάλλων κήρυγμα πολλοῖς ἐμποδίζῃ πρὸς σωτηρίαν. Εἰ δὲ μοι πιστεύετε [20], αὐτός ἐστι μάγος, αὐτὸς διάβολος, αὐτὸς κακίας ὑπηρέτης κατὰ τῶν ἀγνοούντων τὸ ἀληθές. Καὶ διὰ τοῦτο ἁμαρτάνουσι [21] νόσους ἐνεργεῖν δύναται, συνεργοὺς ἔχων τοὺς ἁμαρτάνοντας τῆς κατ' αὐτῶν δυνάμεως. Ἐγὼ δὲ Θεοῦ [22] τοῦ πάντα πεποιηκότος εἰμὶ δοῦλος, τοῦ δεξιοῦ αὐτοῦ Προ-
D φήτου μαθητής. Διὸ ἐκείνου ἀπόστολος ὢν ἀληθεύω· ἀγαθῷ γὰρ ὑπηρετῶν καὶ νόσους ἀπελαύνω· ἐπέμφθην γὰρ δεύτερος. ἐπεὶ προηγεῖται μὲν νόσος, ἕπεται [23] δὲ ἴασις. Δι' ἐκείνου μὲν οὖν τοῦ **181** κακοποιοῦ μάγου τῷ Θεῷ ἀποστήσαντες ἐνοσήσατε [24], δι' ἐμοῦ δὲ, ἐάν τε αὐτῷ πιστεύσητε, ἰαθήσεσθε· οὕτω

VARIÆ LECTIONES.

[12] ἡμῖν O. [13] Ita O c. D. καταπλήξῃ τε C. Tum ἄλλα p. πολλά idem, qui deinceps conj. ὡς ὑπέρ, in textu ὥσπερ, in O ὡς πέρ. [14] αὐτῷ O c. D, αὐτῶν C. [15] Ita O c. S, πείσθησθέ C. [16] Ci ἑτέρως ante ποιήσειν omisi c. O. Si retinere velis, legendum auct. S., aut μὴ ἑτέρως, aut, quod præstat, ἑτοίμως. *Epit.* c. 58, habet προθύμως. Ci versio ferri non potest. [17] συντόμως cod. Reg. 804. [18] ποιεῖν εἰ ἐδυνάμην C. [19] Hanc Ci conjecturam confirmat O, ἑτέρων cod. Hom. Parisin. [20] Ita O c D, πιστεύεται C. [21] ἁμαρτάνουσι D, O, ἁμαρτανούσας C. [22] ἐγὼ δὲ τοῦ Θεοῦ C. [23] Ita D, ἔπειτα C, O. [24] In O prius scriptum erat ἐνοήσατε. Deinde idem om. τε.

γὰρ τοῦ δυνατοῦ τὴν πεῖραν [25] λαβόντες, ἐπὶ τὸ εὐποιεῖν τραπόμενοι, καὶ τὰς ψυχὰς ἀνασωθῆναι δυνηθείητε. A

XII. Ταῦτα αὐτοῦ λέγοντος, οἱ πάντες γονυπετεῖς πρὸ τῶν αὐτοῦ ἔκειντο ποδῶν. Ὁ δὲ εἰς οὐρανὸν ἄρας τὰς χεῖρας, καὶ τῷ Θεῷ προσευξάμενος ἰάσατο τοὺς πάντας ἐκ μόνης εὐχῆς. Οὐκ ὀλίγων δὲ ἡμερῶν παραμείνας τοῖς Βηρυτίοις, καὶ πολλοὺς τῇ μοναρχικῇ θρησκείᾳ συνεθίσας [26] καὶ βαπτίσας, ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἕνα ἐπίσκοπον αὐτοῖς καταστήσας, εἰς τὴν Βίβλον [27] ἐξῄει. Καὶ γενόμενος ἐκεῖ καὶ μαθὼν ὅτι Σίμων οὐδὲ μιᾶς [28] ἡμέρας αὐτοῖς προσέμεινεν, ἀλλ' εὐθέως οἷς Τρίπολιν ὥρμησεν, ὀλίγων ἡμερῶν αὐτοῖς ἐπιμείνας, καὶ θεραπεύσας οὐκ ὀλίγους; καὶ ταῖς Βίβλοις αὐτοὺς ἐνασκήσας, κατ' ἴχνος τοῦ Σίμωνος εἰς τὴν Τρίπολιν B ἐπορεύετο, μεταδιώκειν αὐτὸν μᾶλλον, οὐχ ὑποφεύγειν προῃρημένος.

—

ὉΜΙΛΙΑ Η'.

I. Εἰς δὲ τὴν Τρίπολιν εἰσιόντι τῷ Πέτρῳ, οἱ φιλομαθέστεροι ἔκ τε τῆς Τύρου καὶ Σιδῶνος, Βηρυτοῦ τε καὶ Βίβλου, καὶ ἐκ τῶν πλησιοχώρων **182** πολλοὶ συνεισῄεσαν. Οὐχ ἥκιστα δὲ τῶν ἀπ' αὐτῆς τῆς πόλεως ὄχλων συνδρομαὶ ἐγίνοντο, ἱστορεῖν βουλομένων αὐτόν. Συνετύγχανον οὖν ἡμῖν ἐν τοῖς προαστείοις οἱ ὑπ' αὐτοῦ ἐκπεμφθέντες ἀδελφοί, τά τε ἄλλα τὰ κατὰ τὴν πόλιν καὶ τὰ πραττόμενα τῷ Σίμωνι ἐξακριβῶσαι, ὅπως ἐλθόντες ὑφηγήσωνται. Ἀποδεξάμενοι αὐτὸν ἐπὶ τὴν Μαροόνου [29] ἦγον οἰκίαν.

II. Ὁ δὲ ἐπ' αὐτῷ τῷ τῆς ξενίας πυλῶνι ἤδη γεγονὼς, ἐπιστραφεὶς τοῖς ὄχλοις ὑπέσχετο, μετὰ τὴν C ἐπιοῦσαν περὶ θεοσεβείας αὐτοῖς διαλεχθῆναι. Εἰσελθόντος δὲ αὐτοῦ, οἱ πρόοδοι τοῖς συνεληλυθόσι ξενίας ηὐτρέπιζον. Οὐκ ἀπελείποντο δὲ οὐδὲ οἱ ἀποδεχόμενοι καὶ ξενίζοντες τῆς τῶν ἀξιούντων προθυμίας. Τούτων δὲ [30] οὐδὲν εἰδὼς ὁ Πέτρος, ἀξιωθεὶς ὑφ' ἡμῶν τροφῆς μεταλαβεῖν, ἔφη, μὴ μεταλήψεσθαι πρότερον αὐτὸς, πρινὴ [31] τοὺς συνεληλυθότας αὐτῷ διαναπαύσασθαι. Ἀποκρινομένων δὲ ἡμῶν, ὅτι ἔφθη τοῦθ' οὕτως γεγενῆσθαι, προφάσει τῆς πρὸς σὲ στοργῆς σπουδῇ πάντας [32] αὐτοὺς ὑποδεξαμένων, ὡς τοὺς μὴ ἐσχηκότας οὓς ξενίσωσιν [33] ὑπερβαλλόντως λελυπῆσθαι· ὁ Πέτρος, ἀκούσας καὶ ἡσθεὶς τῆς ὀξείας φιλανθρωπίας [34], εὐλογήσας αὐτοὺς ἐξῆλθεν, καὶ θαλάσσῃ λουσάμενος εἰσῆλθεν [35], καὶ σιτίων σὺν τοῖς προόδοις μεταλαβὼν, ἑσπέρας ἐπικαταλαβούσης D ὕπνωσεν.

III. Ὑπὸ δὲ τὰς δευτέρας τῶν ἀλεκτρυόνων φωνὰς διϋπνισθεὶς εὗρεν ἡμᾶς ἐγρηγορότας [36], ἦμεν δὲ σὺν αὐτῷ οἱ πάντες ἑκκαίδεκα, αὐτὸς ὁ Πέτρος, **183** κἀγὼ ὁ Κλήμης, Νικήτης τε καὶ Ἀκύλας, καὶ οἱ προοδεύσαντες δώδεκα. Προσαγορεύσας οὖν ἡμᾶς ἔφη· Σήμερον τοῖς ἔξω μὴ σχολάζοντες ἀλλήλοις ἐσμὲν εὔσχολοι. Διὸ ἐγὼ μὲν ὑμῖν τὰ μετὰ τὴν

A facto illius qui potens est, ad bene faciendum conversi, etiam secundum animas salvi esse poteritis.

XII. Quæ cum dixisset, cuncti ad genua accidentes jacebant ante pedes illius. At ille, sublatis in cœlum manibus, Deumque comprecatus, cunctos precatione sola curavit. Non paucos autem dies apud Berytios commoratus, cum multos religioni erga unum Deum consuefecisset, nec non baptizasset, uno ex presbyteris qui eum sequebantur ipsis in episcopum constituto, in Byblum abiit. Quo cum pervenisset, comperto quod Simon ne uno quidem die illos exspectasset, sed statim in Tripolim evasisset, paucos dies apud eos moratus, curatisque multis, ac in Scriptura exercitis, ad B Tripolim per vestigia Simonis processit, certus eum insequi, non subterfugere.

—

HOMILIA VIII.

I. Cum autem Petrus Tripolim ingrederetur, qui discendi erant cupidiores ex Tyro, Sidone, Beryto ac Byblo, et multi ex finitimis simul intrarunt. Maximi etiam ex ipsa civitate hominum concursus fiebant, desiderantium videre illum. Igitur obviam facti sunt nobis in suburbiis, qui ab ipso ideo missi fuerant, ut profecti explorarent narrarentque tum urbis alias res, tum Simonis gesta. Et excipientes illum in domum Maroonis duxerunt.

C II. Is vero jam fores hospitii tenens, conversus, multitudini promisit, se post diem crastinum de cultu Dei illis verba facturum. Ingresso autem eo, qui præmissi fuerant, hospitia iis qui simul venerant ordinabant. Nec vero qui hospitio suscipiebant, alacritate erant inferiores iis qui hospitia postulabant. Quorum cum nihil sciret Petrus, rogatus a nobis, cibum sumere, nequaquam se sumpturum dixit, nisi prius qui eum fuerant comitati interquiescerent. Respondentibus autem nobis. Id jam ita factum est, eis, propter amorem erga te, omnes ipsos studiose suscipientibus, adeo ut, qui non habuerunt, quos hospitio reciperent, supra modum fuerint contristati, Petrus audita re, delectatus prompta humanitate, benedictis iis egressus est : cumque lavisset in mari, ingressus est, et postquam cibum cum præcursoribus sumpsisset, D nocte adveniente somno se dedit.

III. Sub secundum vero gallorum cantum expergefactus nos invenit vigilantes; eramus autem omnes cum eo sedecim, ipse Petrus et ego Clemens, Nicetas et Aquila, atque duodecim qui prægressi fuerant. Salutatis ergo nobis dixit : Hodie quia aliis occupati non sumus, nobis vacemus. Quocirca ego quidem vobis quæ apud Tyrum post digressum vestrum gesta

VAVIÆ LECTIONES.

[25] πεῖραν C. [26] Alius præferet συνετίσας, nec immerito C; συνεσθίσας O. [27] Βύβλον *Epit.* c. 58. [28] οὐδεμιᾶς O. [29] Μαροώνου *Epit.* c. 59. [30] δὲ om. O. [31] πρὶν ἤ C. [32] Fort. leg. πάντων. S. [33] ξενίσουσιν O. [34] Malim τῇ ὀξείᾳ φιλανθρωπίᾳ. S. [35] εἰσελθὼν C. [36] ἀγρηγορότας O. Tum ἓξ καὶ δέκα C.

sunt, enarrabo: vos autem autem mihi quæ hic a Simone perpetrata sunt, diligentius exponite. Cum igitur nos mutuo specialibus narrationibus donassemus, ingressus est quidam e familiaribus, hunc nuntium Petro afferens : Simon, ubi didicit te advenisse, versus Syriam profectus est, turbæ autem, quæ unam hanc noctem velut annuum tempus opinantur, nec possunt præstitutum a te diem exspectare, pro foribus stant, et per cœtus ac circulos de Simonis calumniis inter se invicem colloquuntur, qui cum eas in spem adduxisset, atque pollicitus esset quod te multis de criminibus præsentem esset convicturus, cognito adventu tuo se noctu in fugam conjecerit: sed et te audire desiderant; nescio enim unde rumor incidit, quasi hodie sis ad illos locuturus. Ne igitur multum fatigati præter rationem dimittantur, quid tibi faciendum sit, ipse cognoscis.

IV. Et Petrus, admiratus vulgi studium, respondit : Videtis, fratres, quo pacto Domini nostri verba manifesto impleantur. Memini enim eum dicere : ***Multi venient ab oriente et occidente, a septentrione et meridie, et recumbent in sinibus Abrahæ, Isaaci et Jacobi*** (*a*). Sed et ***Multi,*** inquit, ***vocati, pauci vero electi*** (*b*). Quod ergo ipsi veniant vocati, id adimpletum est. Quia vero hoc non est eorum proprium, sed est Dei qui eos vocavit ac fecit venire, in eo solo mercedem non consequuntur, quoniam ipsorum proprium non est, sed ejus qui permovit. Quod si post vocationem bona opera faciant, quod eorum est proprium, tunc pro eo recipient mercedem.

V. Neque enim Hebræi, Moysi credentes, et quæ ab eo dicta sunt non custodientes, salvantur, nisi quæ sibi dicta sunt custodiant. Nam quod Moysi crediderint, non ex illorum ortum est voluntate, sed ex Dei qui Moysi dixit : ***Ecce ego accedo ad te in columna nubis, ut audiat populus quando loquor ad te, et tibi credant in æternum*** (*c*). Cum ergo Hebræis et iis, qui ex gentibus vocati sunt, a Deo datum sit credere veritatis doctoribus, relictumque sit singulorum proprio judicio, bona opera exercere, merces bene operantibus juste rependitur. Neque enim Mosis, neque Christi adventu opus fuisset, si a se ipsis quod rationi consentaneum est voluissent intelligere : sed nec magistris credendo eosque dominos vocando salus acquiritur.

VI. Et ideo ab Hebræis quidem qui Moysem

A ἀπὸ Τύρου [37] ἔξοδον γεγενημένα διηγήσομαι, ὑμεῖς δὲ [38] ἐμοὶ τὰ ἐνταῦθα ὑπὸ τοῦ Σίμωνος πεπραγμένα καὶ ἀκριβέστερον ἐξηγήσασθε [39]. Ἀμειψαμένων οὖν ἀλλήλους ταῖς ἐν μέρει διηγήσεσιν, εἰσῄει τις τῶν συνήθων ἀπαγγέλλων Πέτρῳ· ὅτι Σίμων μαθών σε ἐπιδημήσαντα τὴν ἐπὶ Συρίαν ὥρμησεν ὁδὸν, οἱ δὲ ὄχλοι τὴν μίαν ταύτην νύκτα ὡς ἐνιαυτοῦ χρόνον ἡγησάμενοι, καὶ ἀναμένειν τὴν δοθεῖσαν ὑπὸ σοῦ προθεσμίαν μὴ δυνάμενοι, πρὸ τῶν θυρῶν ἑστήκασιν, κατὰ συντάξεις [40] καὶ συλλόγους ἀλλήλοις περὶ τῆς τοῦ Σίμωνος διαβολῆς διαλαλοῦντες, ὅτι μετεωρίσας αὐτοὺς, καὶ ἐπὶ πολλοῖς κακοῖς σε ἐλέγξειν ἐλθόντα ὑποσχόμενος, ἐπιδημήσαντα γνοὺς νύκτωρ ἔφυγεν· πλὴν ἐπιθυμοῦσιν αὐτοὶ ἀκοῦσαί σου. Οὐκ οἶδα πόθεν φήμη τις ἐπέπεσεν, ὡς μέλλοντός σου σήμερον αὐτοῖς διαλέγεσθαι. B Ἵνα οὖν μὴ ἐπὶ πολὺ καμόντες ἀλόγως διαλύωνται, τί χρή σε ποιεῖν, αὐτὸς γινώσκεις.

IV. Καὶ ὁ Πέτρος, θαυμάσας τῶν ὄχλων τὴν σπουδὴν, ἀπεκρίνατο· Ὁρᾶτε, ἀδελφοὶ, πῶς οἱ τοῦ Κυρίου ἡμῶν λόγοι ἐμφανῶς τελοῦνται. Μέμνημαι γὰρ αὐτοῦ εἰπόντος· Πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ἄρκτου τε καὶ μεσημβρίας, καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ **184** Ἰσαὰκ καὶ Ἰακώβ. Ἀλλὰ καὶ πολλοὶ, φησὶν, κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. Τὸ μὴν οὖν ἐλθεῖν αὐτοὺς κληθέντας πεπλήρωται. Ἐπεὶ δὲ [41] οὐκ αὐτῶν ἐστι τοῦτο ἴδιον, ἀλλὰ τοῦ καλέσαντος αὐτοὺς Θεοῦ καὶ ἐλθεῖν πεποιηκότος, ἐπὶ τούτῳ μόνῳ μισθὸν οὐκ ἔχουσιν, ὅτι μὴ αὐτῶν ἴδιον, ἀλλὰ τοῦ ἐνεργήσαντος. Ἐὰν δὲ μετὰ τὸ [42] κληθῆναι καλὰ πράξωσιν, ὅπερ C ἐστὶν αὐτῶν ἴδιον, τότε ἐπὶ τούτῳ μισθὸν ἕξουσιν.

V. Οὐδὲ γὰρ Ἑβραῖοι Μωϋσεῖ [43] πιστεύοντες, καὶ τὰ δι' αὐτοῦ ῥηθέντα μὴ φυλάσσοντες, σώζονται, ἐὰν μὴ τὰ ῥηθέντα αὐτοῖς φυλάξωσιν. Ὅτι καὶ τὸ [44] Μωϋσεῖ πιστεῦσαι αὐτοὺς οὐχὶ τῆς αὐτῶν βουλῆς γέγονεν, ἀλλὰ τοῦ Θεοῦ τοῦ εἰρηκότος Μωϋσεῖ [45]· Ἰδοὺ παραγίνομαι ἐγὼ πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ, καί σοι πιστεύσωσιν εἰς τὸν αἰῶνα. Ἐπεὶ οὖν Ἑβραίοις τε καὶ τοῖς ἀπὰ ἐθνῶν κεκλημένοις τὸ διδασκάλοις ἀληθείας πιστεῦσαι ἐκ Θεοῦ γέγονεν, τῶν καλῶν πράξεων ἰδίᾳ κρίσει ἑκάστῳ ποιεῖν ἀπολελειμμένων, ὁ μισθὸς τοῖς εὖ πράσσουσι δικαίως ἀποδίδοται. Οὔτε γὰρ ἂν Μωϋσέως, οὔτε τῆς τοῦ Ἰησοῦ παρουσίας χρεία ἦν, εἴπερ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν ἐβούD λοντο, οὐδὲ ἐν τῷ πιστεύειν διδασκάλοις καὶ κυρίους αὐτοὺς λέγειν, ἡ σωτηρία γίνεται.

VI. Τούτου γὰρ (13) ἕνεκεν ἀπὸ μὲν Ἑβραίων τὸν

(*a*) Matth. VIII, 11; Luc. XIII, 29. (*b*) Matth. XX, 16. (*c*) Exod. XIX, 9.

VARIÆ LECTIONES.

[37] ἀπὸ τοῦ Τύρου C. [38] τε O, qui subinde ἐμοὶ τά c. S, τὰ ἐμοί C. Proximum καί non est in O. [39] διηγήσασθε O. [40] συστάσεις C. [41] ἐπεὶ δέ S, O, ἐπειδή C. Tum τοῦτο c. O, ut proponit S, τό C. [42] μετὰ τό O, ut *Epit.* c. 62, μετὰ τοῦ C in textu. Ad oram Ottoboniani : νόθα, et paulo post : νοθευόμενα, quod ad subsequentia spectat. [43] Μωϋσῇ O. [44] τό O, ut mavult S, τῷ C. Tum Μωϋσῇ O. [45] Μωϋσῇ O.

VARIORUM NOTÆ.

(13) Τούτου γὰρ κ. τ. λ. Vide ne nugatori Ebionæo fidem habeas. Cot.

Μωϋσῆν [46] διδάσκαλον **185** εἰληφότων καλύπτεται ὁ Ἰησοῦς, ἀπὸ [47] δὲ τῷ Ἰησοῦ πεπιστευκότων ὁ Μωϋσῆς ἀποκρύπτεται. Μιᾶς γὰρ δι' ἀμφοτέρων διδασκαλίας οὔσης τὸν τούτων τινὶ [48] πεπιστευκότα ὁ Θεὸς ἀποδέχεται. Ἀλλὰ τὸ πιστεύειν διδασκάλῳ ἕνεκα τοῦ ποιεῖν τὰ ὑπὸ τοῦ [49] Θεοῦ λεγόμενα γίνεται. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, αὐτὸς ὁ Κύριος ἡμῶν λέγει· Ἐξομολογοῦμαί [50] σοι, Πάτερ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν [51] καὶ πρεσβυτέρων, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν. Οὕτως αὐτὸς ὁ Θεὸς τοῖς μὲν ἔκρυψε διδάσκαλον, ὡς προεγνωκόσιν ἃ δεῖ πράττειν, τοῖς δὲ ἀπεκάλυψεν, ὡς ἀγνοοῦσιν ἃ χρὴ ποιεῖν.

A præceptorem acceperunt, absconditur Jesus: ab iis vero qui in Jesum crediderunt, Moses occultatur. Cum enim una sit per utrumque doctrina, eum qui alterutrui credit recipit Deus. Verum fides in magistrum ideo est, ut quæ a Deo dicta sunt peragantur. Quod autem hoc ita se habeat, ipse Dominus noster ait: *Confiteor tibi, Pater cœli et terræ, quia abscondisti hæc a sapientibus et senioribus, et revelasti ea parvulis lactentibus* (*a*). Sic Deus ipse illis quidem abscondit doctorem, ut quiscirent quæ essent facienda, his vero revelavit, ut qui quæ agere oporteat ignorarent.

VII. Οὔτε οὖν Ἑβραῖοι περὶ ἀγνοίας Ἰησοῦ καταδικάζονται, διὰ τὸν κρύψαντα, ἐάν γε πράττοντες τὰ διὰ Μωϋσέως [52], ὃν ἠγνόησαν μὴ μισήσωσιν· οὔτ' αὖ οἱ ἀπ' [53] ἐθνῶν ἀγνοήσαντες τὸν Μωϋσῆν διὰ τὸν καλύψαντα καταδικάζονται, ἐάν περ καὶ οὗτοι πράσσοντες τὰ διὰ τοῦ Ἰησοῦ ῥηθέντα μὴ μισήσωσιν ὃν ἠγνόησαν. Καὶ οὐκ ἐν τῷ τοὺς διδασκάλους κυρίους καλεῖν, τὰ δὲ δούλων μὴ ποιεῖν, ὠφελοῦνταί τινες. Τούτου γὰρ ἕνεκεν ὁ Ἰησοῦς ἡμῶν πρός τινα πυκνότερον Κύριον αὐτὸν λέγοντα, μηδὲν δὲ ποιοῦντα ὧν αὐτὸς προσέταξεν [54], ἔφη· Τί με λέγεις, Κύριε, Κύριε, καὶ οὐ ποιεῖς ἃ λέγω; Οὐ γὰρ ὠφελήσει τινὰ τὸ λέγειν, ἀλλὰ τὸ ποιεῖν. Ἐκ παντὸς **186** οὖν τρόπου καλῶν ἔργων χρεία. Πλὴν εἴ τις [55] καταξιωθείη τοὺς ἀμφοτέρους ἐπιγνῶναι ὡς μιᾶς διδασκαλίας ὑπ' αὐτῶν κεκηρυγμένης, οὗτος ἀνὴρ ἐν Θεῷ πλούσιος κατηρίθμηται, τά τε ἀρχαῖα νέα τῷ χρόνῳ, καὶ τὰ καινὰ παλαιὰ ὄντα νενοηκώς.

VII. Neque ergo Hebræi de ignoratione Jesu condemnantur, propter eum qui abscondit, si, facientes B a Moyse præscripta, quem nesciunt odio non habeant: neque rursum qui ex gentibus sunt, de ignorato Moyse condemnantur, propter eum qui occultavit, si et ipsi per Christum dicta facientes, quem ignorant odio non prosequantur. Nihilque cuipiam proderit, magistris nomen dominorum dare, non facere autem opera servorum. Nam idcirco Jesus noster ad quemdam, qui cum frequenter Dominum vocabat, nihil tamen ab eo mandatorum faciebat: *Quid*, inquit, *mihi dicis, Domine, Domine, et non facis quæ dico* (*b*)? Neminem quippe juvabit dicere, sed facere. Omni itaque modo opus est bonis operibus. Cæterum si cui donatum fuerit, et Jesum et Moysem cognoscere, tanquam una doctrina ab utroque prædicata, hic vir in Deo dives consebitur, qui vetera nova tempore, et nova, quæ vetera sunt, C intelligit (*c*).

VIII. Ταῦτα τοῦ Πέτρου λέγοντος, οἱ ὄχλοι, ὥσπερ ὑπό τινος κληθέντες, εἰσῄεσαν ἔνθα ὁ Πέτρος ἦν. Ὁ δὲ τὸν πολὺν ὄχλον ἰδὼν ὥσπερ ποταμοῦ ἥσυχον ῥεῦμα πράως προσρέοντα, ἔφη τῷ Μαροόνῃ· Ποῦ σοι τόπος ἐνταῦθα μᾶλλον τοὺς ὄχλους χωρεῖν δυνάμενος; τοῦ δὲ [56] Μαροόνου εἰς τόπον ὕπαιθρον κεκηπευμένον προάγοντος αὐτὸν, εἵποντο οἱ ὄχλοι. Ὁ δὲ Πέτρος ἐπί τινος βάσεως ἀνδριάντος οὐ πάνυ ὑψηλῆς [57], ἐπιστὰς, ἅμα τῷ τὸν ὄχλον θεοσεβεῖ ἔθει προσαγορεῦσαι, εἰδὼς πολλοὺς ἐκ τῶν παρεστώτων ὄχλων ὑπὸ δαιμόνων τε καὶ πολλῶν παθῶν ἐκ πολλῶν χρόνων ἐνοχλουμένους, βρύχοντάς τε μετ' οἰμωγῆς καὶ πίπτοντας μεθ' ἱκεσίας, ἐπιτιμήσας αὐτοῖς καὶ ἡσυχίαν ἔχειν προστάξας καὶ τὴν ἴασιν μετὰ τὸ διαλεχθῆναι ὑποσχόμενος, τοῦ λέγειν ἤρξατο οὕτως·

VIII. Hæc Petro dicente omnis multitudo, quasi ab aliquo evocata, ingressa est ubi erat Petrus. Ut autem ille vidit turbas, velut amnis placidum fluentum leniter commeantes, dixit Marooni: Ubi hic tibi locus est, qui magis possit capere hanc multitudinem? Et Maroone deducente eum in subdialem horto excultum locum, secutæ sunt turbæ. Petrus autem super basim statuæ non ad modum excelsam consistens, simul atque populum more religioso salutasset, videns multos astantis plebis a dæmonibus et pluribus morbis jam diu molestatos, ac stridere cum ululatu, et procidere cum supplicatione, increpitis iis, silentiumque tenere jussis, nec non pollicitus curationem post habitum sermo- D nem, ita loqui cœpit:

IX. Ἀρχόμενος τὸν ὑπὲρ θεοσεβείας λόγον ποιεῖσθαι τοῖς παντελῶς ἀγνοοῦσι τὰ [58] πάντα, καὶ ὑπὸ τῶν τοῦ ἀντικειμένου ἡμῖν Σίμωνος διαβολῶν ἐσπιλωμένοις τὸν νοῦν, ἀναγκαῖον ἡγησάμην πρῶτον, ὑπὲρ τοῦ μὴ δεῖν μέμφεσθαι τὸν τὰ πάντα πεποιη-

IX. Incipiens de vero Dei cultu facere sermonem ad eos qui penitus ignorant omnia, quorum mens per adversarii nostri Simonis calumnias fœdata est, necessarium duxi, primo sermonem habere de eo, quod non oporteat omnium creatorem Deum cul-

(*a*) Matth. xi, 25. (*b*) Matth. vii, 21. (*c*) Matth. xiii, 52.

VARIÆ LECTIONES.

[46] Nihil mutandum Cf. Lob. *Phryn.* p. 156. Habemus in *Clementinis* etiam dativum hom. xvii, 418. S. [47] ἀπό D, O, ὑπό C. Tum in O, τοῦ, man. sec. supra τῷ ante Ἰησοῦ, ap. C. τῶν [48] τινά C. [49] τοῦ om. O. [50] ἐξομολογοῦμεν O. [51] ἔκρυψας ταῦτα ἀπὸ σοφῶν C. καί copula etiam adest in l. c. N. T. [52] Μωϋσέος O. [53] ἀπό O. [54] προσέτασσεν C, [55] εἴτις O c. Cl., ἤ τις C. [56] δέ om. Tum τόπον *Epit.* c. 62, τόν C, O. Deinde αὐτόν om. O [57] Ita O c. S, ὑψιλῆς C. [58] τά deest in O.

pare, non aliunde incipiens, quam ab ista quæ providenter ab eo opportune subjecta fuit occasio, ut cognoscatur quod recta ratione complures a multis dæmonibus obsessi sunt et a diversis difficilibusque morbis comprehensi, ut per hoc quoque appareat justitia Dei. Et qui per ignorantiam illum accusarunt, si nunc, discentes quid sentiendum sit, per bonam prædicationem et bona opera a priori crimine se revocent, causam mali facinoris ignorantiæ, ut veniam consequantur, ascribentes.

X. Ita vero habet : Cum Deus, qui solus bonus est, cuncta bene creasset ac homini ad imaginem suam facto tradidisset, is homo conditoris sui spirans divinitatem, cum esset verus propheta et universa cognosceret, in honorem Patris qui omnia illi concesserat, et ob salutem ex se futurorum filiorum, tanquam germanus pater benevolentiam erga a se gignendos liberos conservans, quos cuperet ad eorum utilitatem diligere Deum et a Deo diligi, iter quod ad illius duceret amicitiam demonstravit, docuitque quibusnam hominum actionibus solus omniumque Dominus Deus delectetur: et ostensis, quæ illi placerent, legem æternam cunctis sanxit, quæ nec ab hostibus consumi posset, nec ab ullo impio interpolanda esset, nec uno in loco absconderetur, sed a cunctis posset legi. Erant ergo illis, ex obedientia legis, cuncta affatim, fruges pulcherrimæ, anni completi, sine tristitia, sine morbis, cum saluberrima aeris temperie tuto donati.

XI. At illi, quia nondum mala experti fuerant, ad ipsum bonorum donum sensu destituti, per ciborum et deliciarum abundantiam ad ingrati animi vitium declinaverunt, ut arbitrarentur non existere Providentiam, quod nullo præcedente justitiæ labore bona ut mercedem recepissent, utpote nullo ex ipsis in casum aliquem vel morbum aut ullam necessitatem delapso: adeo ut, quemadmodum solent homines a prava aberratione afflicti, Deum, qui eos poterat sanare, despicerent. Verum enimvero statim post contemptum, ex metus vacuitate et secura voluptate procedentem, velut ab harmonia quadam consequenter adaptata, justa eos invasit punitio, quæ bona quidem ut noxia expulit, mala vero ut adjutura contra induxit.

XII. Nam ex cœli incolis spiritibus ii, qui infimam regionem habitant angeli, offensi ingrato hominum erga Deum animo postulant, in vitam hominum venire liceat, ut vere homines facti, per

A κότα Θεὸν [59] τὸν λόγον ποιήσασθαι, τὸν **187** οὐκ ἄλλοθεν ἀρχόμενος, ἢ ἀα' αὐτῆς τῆς κατὰ πρόνοιαν ὑπ' αὐτοῦ εὐκαίρως ὑποβληθείσης προφάσεως· ἵνα γνωσθῇ, ὡς εὐλόγως οἱ πολλοὶ ὑπὸ πολλῶν δαιμὸνων συνεσχέθησαν καὶ ὑπὸ ἀλλοκότων παθῶν κατελήφθησαν, ὅπως καὶ ἐν τούτῳ τὸ τοῦ Θεοῦ δίκαιον φανῇ. Καὶ οἱ δι' ἄγνοιαν μεμφόμενοι αὐτὸν, κἂν [60] νῦν μαθόντες ὡς δεῖ φρονεῖν, δι' εὐφημίας τε καὶ εὐποιίας τοῦ προτέρου ἐγκλήματος ἑαυτοὺς ἀνακαλέσωνται [61], αἰτίαν τοῦ κακοῦ τολμήματος τὴν ἄγνοιαν εἰς τὴν συγγνώμην προθέμενοι.

X. Ἔχει δὲ οὕτως· Τοῦ μόνου ἀγαθοῦ Θεοῦ τὰ πάντα καλῶς πεποιηκότος καὶ παραδεδωκότος τῷ κατ' εἰκόνα αὐτοῦ γενομένῳ [62] ἀνθρώπῳ, ὁ γεγονὼς τῆς τοῦ πεποιηκότος αὐτὸν πνέων θειότητος, ἀληθὴς B Προφήτης ὢν καὶ εἰδὼς τὰ ὅλα, εἰς τιμὴν τοῦ πάντα αὐτῷ δωρησαμένου Πατρὸς καὶ εἰς σωτηρίαν τῶν ἐξ αὐτοῦ γενομένων υἱῶν, ὡς πατὴρ γνήσιος πρὸς τοὺς ὑπ' αὐτοῦ γενομένους παῖδας ἀποσώζων τὸ εὔνουν, βουλόμενος αὐτοὺς πρὸς τὸ συμφέρον αὐτοῖς φιλεῖν Θεὸν καὶ φιλεῖσθαι ὑπ' αὐτοῦ, τὴν πρὸς φιλίαν αὐτοῦ ἄγουσαν ἐξέφηνεν ὁδὸν, διδάξας ποίαις ἀνθρώπων πράξεσιν ὁ μόνος καὶ πάντων δεσπότης Θεὸς εὐφραίνεται, καὶ τὰ ἐκείνῳ δοκοῦντα ἐκφήνας νόμον αἰώνιον ὥρισε τοῖς [63] ὅλοις, μήθ' ὑπὸ πολεμίων [64] ἐμπρησθῆναι δυνάμενον, μήθ' ὑπὸ ἀσεβοῦς τινος ὑπονοθευόμενον, μήτε ἐνὶ τόπῳ ἀποκεκρυμμένον ἀλλὰ πᾶσιν ἀναγνωσθῆναι δυνάμενον. Ἦν οὖν αὐτοῖς ἐκ τῆς πειθαρχίας τοῦ νόμου πάντα ἄφθονα, τὰ τῶν καρπῶν κάλλιστα, τὰ **188** τῶν ἐτῶν τέλεια καὶ ἄλυπα καὶ ἄνοσα, μετὰ πάσης τῆς τῶν ἀέρων εὐ-C κρασίας ἀδεῶς δεδωρημένα.

XI. Οἱ δὲ ἐπεὶ μὴ πρῶτον τῶν κακῶν ἐπειράσθησαν, πρὸς αὐτὴν [65] τῶν ἀγαθῶν δωρεὰν ἀναισθήτως ἔχοντες, ὑπὸ τῆς ἀφθόνου τροφῆς καὶ τρυφῆς εἰς ἀχαριστίαν ἐξετρέποντο, ὡς νομίσαι, αὐτοὺς μηδ' εἶναι Πρόνοιαν, ἐπεὶ μὴ πρότερον καμόντες ἐπὶ δικαιοσύνης ὡς μισθὸν τὰ ἀγαθὰ εἰλήφεσαν, ἅτε μηδενὸς αὐτῶν ἢ πάθει τινὶ ἢ νόσῳ ἢ ἄλλῃ τινὶ ἀνάγκῃ ὑποπεσόντος· ἵνα, ὡς ἀνθρώποις φίλον ἐστὶν ὑπὸ τῆς κακῆς διαμαρτίας [66] κακωθεῖσιν, ἑαυτοῖς τὸν ἰᾶσθαι δυνάμενον περιβλέψωνται Θεόν. Ἀλλὰ γὰρ εὐθέως μετὰ τὴν ἐκ τῆς ἀφοβίας καὶ ἀδεοῦς τρυφῆς καταφρόνησιν, ὥσπερ ἐξ ἁρμονίας τινὸς ἀκολούθως ἐφηρμοσμένης, δικαία τις αὐτοῖς ἀπήντησε τιμωρία, τὰ μὲν γὰρ [67] ἀγαθὰ ὡς βλάψαντα ἀπωθοῦσα, τὰ δὲ κακὰ D ὡς ὠφελήσαντα ἀντεισφέρουσα.

XII. Τῶν γὰρ τὸν οὐρανὸν ἐνοικούντων [68] πνευμάτων οἱ τὴν κατωτάτω χώραν κατοικοῦντες ἄγγελοι ἀχθεσθέντες ἐπὶ τῇ τῶν ἀνθρώπων εἰς Θεὸν ἀχαριστίᾳ, αἰτοῦνται εἰς τὸν ἀνθρώπων ἐλθεῖν βίον, ἵνα ὄντως

VARIÆ LECTIONES.

[59] Θεόν O, ut legi jubet et C, in cuj. textu Θεοῦ. [60] καί C. [61] ἀνακαλέσονται C. [62] γενωμένῳ O. [63] τοῖς excidit ap. Cl (edd. 1698, 1724) et S. [64] μήτε πολέμων C, μήθ' ὑπὸ πολεμίων D, μήτε πολεμίοις conj. S, μήτε πολέμῳ O. [65] τήν C. [66] δι' ἁμαρτίας O S : Locus multifariam corruptus. Dativus ἑαυτοῖς offendit contra leges linguæ Græcæ, et quid ἰᾶσθαι sibi velit, difficile est intellectu ; denique περιβλέπεσθαι non idem significat, quod *despicere*. Conjectaverim esse scribendum ἀδεῶς τὸν τιμωρεῖσθαι δυνάμενον παραβλέψωνται Θεόν. [67] γάρ om. O, ad cuj. oram monetur : νοθεύεται. [68] ἐνοικούντων Cl. (1698 et 1724), ἐποικούντων S.

ἄνθρωποι γενόμενοι, ἐπὶ πολιτείᾳ πλείονι τοὺς εἰς αὐτὸν ἀχαριστήσαντας ἐλέγξαντες αὐτόθι τῇ κατ' ἀξίαν ἕκαστον ὑποβάλωσι τιμωρίᾳ. Ὁπότε οὖν **189** αἰτήσαντες ἔλαβον, πρὸς πᾶσαν ἑαυτοὺς μετέβαλλον [69] φύσιν, ἅτε θειωδεστέρας ὄντες οὐσίας καὶ ῥᾳδίως πρὸς πάντα μετατρέπεσθαι δυνάμενοι. Καὶ ἐγένοντο λίθος τίμιος, καὶ μαργαρίτης περίβλεπτος, πορφύρα τε εἰ τύχοι καλλίστη, καὶ χρυσὸς ἔνδοξος, καὶ πᾶσα [70] πολυτίμιος ὕλη. Καὶ τῶν μὲν εἰς χεῖρας, τῶν δὲ εἰς κόλπον ἐνέπιπτον, καὶ ὑπ' αὐτῶν ἑκόντες ἐκλέπτοντο. Μετεβάλλοντο δὲ καὶ εἰς τετράποδα καὶ εἰς ἑρπετὰ, νηκτά τε καὶ πτηνὰ, καὶ εἰς πᾶν ὅπερ ἤθελον. Ἅτινα [71] καὶ οἱ παρ' ὑμῖν ποιηταὶ ἀφοβίας αἰνίᾳ ὡς ἔτυχεν ᾄδουσιν, ἑνὶ [72] τοίνυν τὰς πάντων πολλὰς καὶ διαφόρους πράξεις ἀπονέμοντες.

XIII. Πλὴν ὅτε ταῦτα γενόμενοι τοὺς διαρπάσαντας αὐτοὺς πλεονέκτας ἤλεγξαν, καὶ εἰς τὴν ἀνθρώπων φύσιν ἑαυτοὺς μετέβαλλον, [73], ἵνα ὁσίως πολιτευσάμενοι καὶ τὸ δυνατὸν τοῦ πολιτεύεσθαι δείξαντες τοὺς ἀχαρίστους [74] εὐθύναις ὑποβάλωσιν, ἐπειδὴ ὄντως τὰ πάντα ἄνθρωποι ἐγίνοντο καὶ τὴν ἐπιθυμίαν ἔσχον τὴν ἀνθρωπίνην, ὑπὸ ταύτης κρατούμενοι εἰς γυναικῶν μῖξιν ὤλισθον, αἷς συμπλακέντες καὶ μιασμῷ παγέντες καὶ τῆς πρώτης δυνάμεως παντελῶς κενωθέντες τὰ ἐκ πυρὸς τραπέντα μέλη εἰς τὸ πρῶτον αὐτῶν τῆς [75] ἰδίας φύσεως ἀμίαντον μετασυγκρῖναι οὐκ ἐξίσχυσαν. Τῷ γὰρ βάρει τῷ ὑπὸ τῆς ἐπιθυμίας εἰς σάρκα, τελευτήσαντος αὐτοῦ τοῦ [76] πυρὸς, τὴν ἀσεβοῦσαν ὥδευσαν ὁδὸν κάτω· σαρκὸς γὰρ αὐτοὶ δεσμοῖς πεπεδημένοι **190** κατέσχηνται [77] καὶ ἰσχυρῶς δέδενται, οὗ ἕνεκεν εἰς οὐρανοὺς ἀνελθεῖν οὐκέτι ἐδυνήθησαν.

XIV. Μετὰ γὰρ συνουσίαν, ὃ [78] τὸ πρῶτον ἐγίνοντο ἀπαιτηθέντες καὶ παρασχεῖν μηκέτι δυνηθέντες, διὰ τὸ ἄλλο τι μετὰ μιασμὸν ἑαυτοὺς [79] ποιῆσαι μὴ δύνασθαι, ἀρέσκειν τε ταῖς ἐρωμέναις βουλόμενοι, ἀνθ' ἑαυτῶν τοὺς τῆς γῆς μυελοὺς ὑπέδειξαν, λέγω δὲ τὰ ἐκ μετάλλων ἄνθη, χρυσὸν, χαλκὸν, ἄργυρον σίδηρον καὶ τὰ ὅμοια, σὺν τοῖς τιμιωτάτοις ἅπασιν λίθοις. Σὺν τούτοις δὲ τοῖς μαγευθεῖσιν [80] λίθοις καὶ τὰς τέχνας τῶν πρὸς ἕκαστα πραγμάτων παρέδοσαν [81], καὶ μαγείαν συνυπέδειξαν [82] καὶ ἀστρονομίαν ἐδίδαξαν, δυνάμεις τε ῥιζῶν καὶ ὅσα ποτὲ ὑπὸ ἀνθρωπίνης ἐννοίας εὑρεθῆναι ἀδύνατον, ἔτι δὲ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ὁμοίων χύσιν, τάς τε τῶν ἐσθητῶν [83] ποικίλας βαφάς. Καὶ πάνθ' ἁπλῶς, ὅσαπερ πρὸς κόσμου καὶ τέρψεώς ἐστι γυναικῶν, τῶν ἐν σαρκὶ δεθέντων δαιμόνων ἐστὶν εὑρήματα [84].

XV. Ἐκ δὲ τῆς νόθου μίξεως αὐτῶν ἄνθρωποι ἐγένοντο νόθοι, πολλῷ γε τῶν ἀνθρώπων κατὰ κορυφὴν μείζους, οὓς οἱ [85] μετὰ ταῦτα γίγαντας ὠνόμασαν, οὐ ῥακοντόποδες ὄντες καὶ πρὸς Θεὸν πόλεμον ἀράμενοι, ὡς οἱ βλάσφημοι τῶν Ἑλλήνων ᾄδουσι μῦθοι, ἀλλὰ θηριώδεις τὸν τρόπον, καὶ μείζους μὲν

A multam conversationem redargutis qui in Deum ingrati fuerant, confestim unumquemque merito afficerent supplicio. Quando igitur quod petierant acceperunt, in omnem se mutarunt naturam, ut qui divinioris essent substantiæ, facileque in omnia possent converti. Et facti sunt lapis pretiosus, et margarita conspicua, et purpura si quæ pulcherrima, et aurum insigne, ac omnis magnifica materia. Atque in aliorum quidem manus, in aliorum vero sinum inciderunt, et ab iis sponte rapiebantur. Sed et tranformati sunt in quadrupedes et serpentes, pisces et aves, ac in quodcunque volebant. Quæ vestri etiam poetæ, quod nihil timeant, pro libito canunt, uni nempe omnium multa et varia opera tribuentes.

XX. Ὁ δὲ μὴ ἔχων τὸ ἀπαράβλητον καὶ ἀνυπέρβλητον καὶ πάντη πάντοθεν ἀνενδεὲς αὐτὸς εἶναι οὐ δύναται. Εἰ δὲ ὁ πᾶς κόσμος τοῦτο εἶναι οὐ δύναται, καθὸ γεγένηται, πόσῳ [18] γε μᾶλλον τὰ μόρια αὐτοῦ οὐκ ἂν εὐλόγως κληθείη θεός; Μόρια δὲ λέγω τοὺς ὑφ' B ὑμῶν λεγομένους θεοὺς, ἐκ [19] χρυσοῦ καὶ ἀργύρου, χαλκοῦ τε καὶ λίθου ἢ καὶ ἐξ ἄλλης ὕλης ἡστινοσοῦν [20] γεγονότα, καὶ ταῦτα ὑπὸ θνητῆς χειρὸς δεδημιουργημένα. Ὅμως δὲ πρὸς ταῦτα ἴδωμεν [21], οἷα δι' ἀνθρώπου στόματος ὁ δεινὸς ὄφις φαρμάσσει τοῖς ἐπειγμοῖς [22] τοὺς ἐξαπατωμένους.

XXI. Λέγουσι γὰρ οἱ πολλοί. Τῶν σεβασμάτων ἡμῶν σέβομεν οὐ τὸν χρυσὸν οὐδὲ τὸν ἄργυρον οὐδὲ ξύλον ἢ λίθον· ἴσμεν γὰρ καὶ ἡμεῖς ὅτι ταῦτα οὐδέν ἐστιν ἢ ἄψυχος ὕλη καὶ ἀνθρώπου θνητοῦ τέχνη· ἀλλὰ τὸ κατοικοῦν ἐν αὐτοῖς πνεῦμα, τοῦτο θεὸν λέγομεν. Ὅρα τῶν ταῦτα λεγόντων τὴν κακοήθειαν. Ἐπεὶ γὰρ τὸ φαινόμενον εὐέλεγκτόν ἐστιν, ὅτι οὐδέν **226** ἐστιν, κατέφυγον ἐπὶ τὸ ἀόρατον, ὡς ἐπ' ἀδήλῳ τινὶ ἐλεγχθῆναι μὴ δυνάμενοι. Πλὴν συνομολογοῦσιν ἡμῖν οἱ τοιοῦτοι ἐπὶ μέρους, ὅτι τὸ ἥμισυ τῶν παρ' C αὐτοῖς ἱδρυμάτων θεὸς οὐκ ἔστιν, ἀλλ' ἀναίσθητος ὕλη. Λοιπὸν δὲ περιλείπεται δεῖξαι αὐτοὺς [23], πῶς πιστεύομεν ὅτι θεῖον ἔχει πνεῦμα. Ἀλλ' ἐπιδεῖξαι [24] ἡμῖν οὐ δύνανται ὅτι ἐστὶν, ἐπεὶ μή ἐστιν. Καὶ αὐτοῖς ἑωρακέναι οὐ πιστεύομεν. Ἡμεῖς αὐτοῖς ὅτι θεῖον οὐκ ἔχει πνεῦμα [25], τὰς ἀποδείξεις παρέξομεν, ὅπως τοῦ δοκεῖν αὐτὰ ἔμπνοα εἶναι οἱ φιλαλήθεις [26] τὸν ἔλεγχον ἀκούσαντες τῆς λυσσώδους ὑπονοίας [27] ἀποτραπῶνται.

XXII. Τὸ μὲν δὴ πρῶτον, εἰ ὡς ἔμπνοα ὄντα σέβεσθε αὐτὰ, καὶ [28] αἰωνίων ἀρχαίων τάφους προσκυνεῖτε, τῶν ὁμολογουμένως οὐδὲν [29] πνεῦμα θεῖον ἐσχηκότων. Οὕτως οὐδὲ κατὰ τοῦτο ἀληθεύετε. Πλὴν εἰ ὄντως ἔμπνοα ἦν τὰ σεβάσματα ὑμῶν, ἀφ' ἑαυτῶν ἂν ἐκινεῖτο, φωνὴν ἂν εἶχεν, τὴν ἐπ' αὐτοῖς D ἀράχνην ἀπεσείετο, τοὺς αὐτοῖς ἐπιβουλεῦσαι θέλοντας καὶ κλέπτοντας ἀπεωθεῖτο ἂν, τοὺς τὰ ἀναθήματα ἀποσυλῶντας συνελάμβανεν ἂν ῥᾳδίως. Νῦν δὲ τούτων οὐδὲν ποιοῦσιν, ἀλλ' [30] ὡς κατάδικοι, καὶ μάλιστα οἱ τιμιώτεροι αὐτῶν, φρουροῦνται, ὡς καὶ

VARIÆ LECTIONES.

[14] κρείττων ἐστὶν μὲν δυνάμει τοῦ ποιεῖν τοῦ λοιποῦ C, κρεῖττόν ἐστι μὲν δυνάμει τὸ ποιοῦν τοῦ ποιητοῦ D, κρεῖττόν ἐστι δυνάμει μὲν τὸ ποιοῦν τοῦ ποιοῦντος O, quam ultimam vocem converti in ποιουμένου. Tum περαινασμένου p. πεπερασμένου C, περαινομένου S c. Cl. [15] τελειώτατον C. [16] αὐτό S. [17] Vbb. ὑπ' αὐτοῦ δὲ ὁ πάντα περιέχων γέγονε κόσμος, ἀνάγκη πᾶσα λέγειν, μηδέν non exstant in O. [18] ἀνενδεὲς θεὸς εἶναι οὐ δύναται, καθ' ὃ γεγένηται πόσῳ C. [19] ἐκ om. O. [20] Ita scripsi duce Ottob., qui habet τινοσοῦν. Ap. C τινὸς οὖν. Nostrum jam vidit S. [21] ἴδωμεν O c. S, ειδωμεν C. [22] ὑπειγμοῖς C. [23] αὐτοῖς O. [24] ἐπειδεῖξαι O. [25] πνεῦμα ascripsi ex O. [26] φιλαληθεῖς C. [27] ἀπονοίας conj. D. Subinde ἀποτράπονται O. [28] Leg. τί καί (cur etiam). S. Subinde ἀνθρώπων p. αἰωνίων conj. C. [29] ὁμολογουμένως ὡς οὐδὲ C. [30] ἀλλά O.

τὴν ἀρχὴν εἰρήκαμεν. Τί δὲ οὐ φόρους καὶ τέλη ὑπὲρ αὐτῶν ἀπαιτοῦσιν ὑμᾶς οἱ δυνάσται, ὡς πολλὰ καρπιζομένους τῶν ἐκεῖ; τί δὲ οὐ πολλάκις ὑπὸ πολεμίων [31] διηρπάγησαν **227** καὶ συντριβέντες διενεμήθησαν; Οὐχὶ καὶ τῶν ἔξω θρησκευόντων αὐτοὶ πλέον οἱ ἱερεῖς, ἐπὶ τῇ ἀχρήστῳ θρησκείᾳ ἑαυτῶν κατεγνωκότες, τῶν ἀναθημάτων πολλὰ ὑφαιροῦνται;

XXIII. Ναὶ, φησὶν, ἀλλὰ προνοίᾳ αὐτῶν ἐφωράθησαν. Ψεῦδός ἐστιν. Πόσοι γὰρ οὐκ ἐφωράθησαν αὐτῶν; Εἰ δὲ διὰ τὸ ἐνίους συνειλῆφθαι δύναμιν αὐτοὺς [32] ἔχειν λέγουσιν, πεπλάνηται. Καὶ γὰρ τῶν τυμβωρύχων τινὲς μὲν εὑρίσκονται, τινὲς δὲ λανθάνουσιν, καὶ οὐ δήπου γε τῇ τῶν νεκρῶν δυνάμει [33] οἱ συλληφθέντες ἐφωράθησαν. Τοιοῦτόν τι καὶ περὶ τοὺς κλεπτομένους καὶ συλωμένους θεοὺς ἔστιν ἡμῖν νοεῖν. Ἀλλὰ, φησὶν, οὐ πεφροντίκασιν τῶν ξοάνων αὐτῶν οἱ ἐν αὐτοῖς ὄντες θεοί. Τί οὖν αὐτὰ ὑμεῖς τημελεῖτε σμήχοντες καὶ πλύνοντες καὶ καθαίροντες, στεφανοῦντες, ἐπιθύοντες; Διόπερ ἐντεῦθεν συννοήσατε μηδὲν [34] ὀρθῷ λογισμῷ ποιοῦντες. Ὡς γὰρ τοῖς νεκροῖς ἐπικλαίετε, οὕτω καὶ τοῖς θεοῖς ὑμῶν ἐπιθύετε καὶ σπένδετε.

XXIV. Οὐκέτι μέν τοι τοῦτο οὐδὲ τῷ τοῦ Καίσαρος καὶ τῶν ὑπ' αὐτὸν ἐξουσιῶν συμφωνεῖ παραδείγματι, διοικητὰς αὐτοὺς λέγειν, ὁπότε ὑμεῖς αὐτῶν τὴν πᾶσαν ποιεῖσθε πρόνοιαν, ὡς προεῖπον, κατὰ πάντα τημελοῦντες ὑμῖν [35] τὰ ἱδρύματα. Αὐτὰ γὰρ οὐδὲν δυνάμενα οὐδὲν ποιεῖ. Ἐπεὶ εἴπατε ἡμῖν, τί διοικοῦσιν, τί ποιοῦσι τοιοῦτον, ὁποῖόν τι οἱ κατὰ τόπον ἡγούμενοι; τί δὲ ἐνεργοῦσι τοιοῦτον, ὁποῖον οἱ τοῦ θεοῦ ἀστέρες; εἰ μὴ **228** τι φαίνουσιν, ὡς ὁ ἥλιος, οἷς λύχνους ὑμεῖς ἅπτετε; Μὴ [36], ὥσπερ τὰ νέφη ὑετοὺς φέρει, καὶ αὐτοὶ φέρειν ὄμβρους δύνανται, οἱ μηδὲ ἑαυτοὺς κινεῖν δυνάμενοι, ἐὰν μὴ ἄνθρωποι ἐπιλάβωνται; Ἢ καρποὺς παρέχονται τοὺς αὐτοὺς τῇ γῇ τοῖς πόνοις ὑμῶν, οἷς θυσίας [37] χορηγεῖτε; οὐδὲν δύνανται.

XXV. Εἰ δὲ καὶ ποιεῖν τι ἐδύναντο, οὐκ ἂν αὐτοὺς ὀρθῶς θεοὺς ἐλέγετε, ὁπότε οὐδὲ τὰ στοιχεῖα ὀνομάζειν ἔξεστι θεοὺς, δι' ὧν τὰ ἀγαθὰ χορηγεῖται. Ἀλλὰ τὸν μόνον τάξαντα αὐτὰ, πρὸς τὴν ἡμετέραν χρῆσιν ἐκτελεῖν τὰ πάντα, καὶ κελεύσαντα ἀνθρώπῳ ὑπηρετεῖν, μόνον ὀρθῷ λόγῳ Θεὸν ὀνομάζομεν. Οὗ [38] τῆς εὐεργεσίας ὑμεῖς μὴ αἰσθανόμενοι τὰ ὑμῖν δοῦλα ἀπονεμηθέντα στοιχεῖα καθ' αὐτῶν δεσπόζειν ἀνηγορεύσατε. Καὶ τί περὶ στοιχείων δεῖ λέγειν; Ὁπότε καὶ ἄψυχα ἀγάλματα πεποιηκότες οὐ μόνον προσκυνεῖτε, ἀλλ' ὡς δοῦλοι κατὰ πάντα αὐτοῖς ὑποτετάχθαι ἀξιοῦτε. Διὰ τοῦτο, δι' ὧν παρεφρονήσατε [39], δαίμοσιν ὑποχείριοι γεγόνατε. Πλὴν διὰ τῆς εἰς αὐτὸν τὸν θεὸν ἐπιγνώσεως ἐκ τῶν καλῶν πράξεων δύνασθε

principes a vobis tributa et vectigalia pro iis exigunt, quod multum inde emolumenti capitis? Nonne sæpe ab hostibus rapti sunt, et post fracturam distributi? Nonne plusquam cultores, qui extra sunt, ipsi plerumque sacerdotes, se de inutili cultu damnantes, subripiunt multa donaria?

XXIII. Ita est, dicet aliquis, sed deorum providentia isti homines deprehensi sunt. Falsum est. Quot enim eorum non sunt deprehensi? Quod si ex quorumdam comprehensione deos potestatem habere concludunt, errant. Etenim ex sepulcrorum effossoribus nonnulli inveniuntur et nonnulli latent, neutiquam tamen mortuorum potestatis est, quod illi capiantur. Pari modo de furibus deorum debemus censere. Sed, dicetur, curam non gerunt simulacrorum suorum, qui in eis resident dii. Cur ergo vos ea curatis, abstergentes, lavantes, purgantes, coronantes et sacrificiis colentes? Quocirca inde reputate, vos recta ratione non agere. Quemadmodum enim mortuos defletis, ita et diis vestris sacrificatis et libatis.

XXIV. Equidem non amplius illud convenit cum exemplo Cæsaris et potestatum sub illo positarum, deos dicere administratores, quandoquidem iis omnem curam impenditiis, sicut jam dixi, in omnibus vobis foventes simulacra. Ipsa enim cum nihil possint, nihil faciunt. Alioquin dicite nobis, quidnam administrent, quid hujusmodi agant, quale agunt locorum præfecti? Quid vero tale operentur, quale Dei astra? An lucent sicut sol, quibus lucernas accenditis? Possuntne ut nubes imbrem ferunt ita et ipsi pluviam dare, qui ne ipsos quidem se movere valent, nisi ab hominibus prehendantur? Num terræ pro laboribus vertris eos ipsos præbent fructus, quibus ei sacrificia exhibetis? Sic nihil possunt.

XXV. Sed etsi valerent aliquid facere, non recte eos diceretis deos, quoniam nec licet elementa deos appellare, per quæ suppeditantur bona. Sed eum solum recta ratione Deum nominamus, qui unus elementa ordinavit, ut ad nostrum usum cuncta perficerent, quique præcepit inservire homini. Cujus vos beneficium non sentientes, quæ vobis serva tributa sunt clementa, dominos vestros renuntiastis. Et quid de elementis loquor? Cum inanima quoque signa, quæ fabricastis, non modo adoretis, sed et velut servi omnino illis subjici cupiatis. Ideo per dementiam vestram redacti estis in dæmonum potestatem. Verum per agnitionem Dei et bona opera potestis iterum heri effici, et dæmo-

VARIÆ LECTIONES.

[31] Ita C. in marg., πολέμων in textu, ut O. [32] αὐτούς S. O., ἑαυτούς C. [33] δύναμιν, O mendose [34] μηδέ C. [35] ὑμῶν C. [36] Leg. ἤ S. [37] παρέχονται; τὸν αὐτὸν πρόπον τῆς γῆς τοῖς πόνοις ὑμεῖς θυσίας conjecit et versione expressit C., παρέχονται, ὃν τρόπον ἡ γῆ; τοῖς πόνοις, κ. τ. λ. D. παρέχονται, οἷς αὐτοῖς τῆς γῆς τοὺς (vel πόρους), κ. τ. λ. proposuerit S. [38] οὗ add. c. O. [39] διὰ τοῦτο ἑαυτοὺς δι' ὧν π. C. Si ἑαυτούς retineri velis, legendum esse videtur auctore S.: ὑποχειρίους πεποιήκατε, ut accusativus ἑαυτούς habeat, unde pendeat, aut etiam καθ' ἑαυτούς corrigendum.

nibus velut servis imperare, ac sicut filii Dei constitui æterni regni hæredes.

XXVI. His dictis, jussit dæmoniacos et morbis occupatos ad se adduci, quibus oblatis manus imponens ac precatus incolumes eos dimisit, admonens illos reliquamque turbam, ut hoc in loco assidui essent, per dies quibus immoratus dissereret. Postquam ergo alii abscessere, Petrus ubi in aquis quæ ibi fluebant corpus diluisset, una cum volentibus humi sterni jussit sub arborum densa fronde propter umbram, et unumquemque ordine fecit recumbere: atque ita cibum sumpsimus. Cum ergo juxta Hebræorum solitam fidem benedixisset et gratias egisset Deo pro sumpta recreatione, quia multum adhuc diei supererat, percontari de quibus vellemus permisit. Et vero nostrum, qui viginti eramus, unicuique specatim interroganti dedit solutionem. Vespere autem jam facto, in latissimam hospitii ædem ingressi cum ipso illic omnes dormivimus.

A δεσπόται γενέσθαι πάλιν, καὶ δαίμοσιν ὡς δούλοις ἐπιτάξαι, καὶ ὡς υἱοὶ Θεοῦ αἰωνίου βασιλείας κληρονόμοι καταστῆναι.

XXVI. Ταῦτα εἰπὼν ἐκέλευσε τοὺς δαιμονῶντας καὶ νόσοις ἐγκατειλημμένους **229** αὐτῷ προσφέρεσθαι, προσενεχθεῖσι δὲ τὰς χεῖρας ἐπιθεὶς καὶ προσευξάμενος ἀπέλυσεν αὐτοὺς ὑγιαίνοντας, ὑπομιμνήσκων αὐτοὺς καὶ τοὺς λοιποὺς ὄχλους ἐνταῦθα παρεδρεύειν, ὅσων ἂν ἡμερῶν ἐπιδημῶν διαλέγηται [40]. Τῶν οὖν ἄλλων ἀναχωρησάντων ὁ Πέτρος ἐν τῷ ἐκεῖ ὑδροχοείῳ [41] λουσάμενος σὺν τοῖς θελήσασι, χαμαὶ στρωθῆναι κελεύσας ὑπό τινα πυκὴν τῶν δένδρων κόμην διὰ τὴν σκιὰν, κατ' ἀξίαν ἕκαστον κατακλιθῆναι ἐποίησεν· καὶ οὕτως τροφῆς μετελάβομεν. Εὐλογήσας οὖν καὶ ἐπευχαριστήσας τῷ Θεῷ ἐπὶ τῷ εὐ-B φρανθῆναι κατὰ τὴν Ἑβραίων συνήθη πίστιν [42], ἔτι πολλῆς οὔσης ὥρας πυνθάνεσθαι ἡμᾶς περὶ ὧν θέλομεν ἐπέτρεψεν. Καὶ ὅμως εἴκοσιν [43] οὖσιν ἡμῖν ἐν μέρει ἑκάστῳ πυθομένῳ ἐπέλυσεν. Ἤδη δὲ ἑσπέρας ἐπικαταλαβούσης εἰς τὸν εὐρύτατον τῆς ξενίας οἶκον εἰσελθόννες ἅμα αὐτῷ ἐκεῖ οἱ πάντες ὑπνώσαμεν.

HOMILIA XI.

I. Itaque quarto apud Tripolim die Petrus surgens nosque inveniens vigilantes, ubi salutasset, abiit ad aquæ fluentis locum, ut lotus oraret. Idem nos quoque consequenter fecimus. Post communes vero preces, cum sedissemus, de castitate disseruit. Et postquam dies illuxif, plebi ingressum permisit. At, multitudine ingressa atque pro more salutata, cœpit dicere:

II. Quandoquidem multa adversum vos a vobis profecta incuria mens plurimas et noxias superstitionum opiniones germinavit, et facti estis velut terra defectu agricolæ silvescens, multo ad purgationem indigetis tempore, ut traditum vobis sermonem verum tanquam præclaram sementem mens suscipiens pravis sollicitudinibus non suffocet, nec ad salutifera opera reddat infructuosum. Quare oportet, ut qui salutis suæ curam suscipiunt, frequentissime audiant quo peccata ex multo tempore aucta brevi quod restat tempore per continuam diligentiam ad expiationem possint referri. Cum ergo nnicuique incertus sit suæ vitæ terminus, festinate multas e cordibus vestris extrahere spinas, non vero paulatim, neque enim repurgari poteritis, quia estis ager spinis horrens.

III. Non aliter vero multum studium suscipere ad purgationem vestram sustinebitis, nisi vobis irati increpetis vos ob ea in quibus, velut inutiles servi, insidiis petiti estis et malis vestris cupiditatibus consensistis, ad jusdam iracundiam in men-

ΌΜΙΛΙΑ ΙΑ'.

I. Τῇ μὲν οὖν τετάρτῃ ἐν Τριπόλει ἡμέρᾳ ὁ Πέτρος ἐγερθεὶς καὶ ἐγρηγορότας ἡμᾶς [44] εὑρὼν, προσαγορεύσας ἐξῄει εἰς τὸ ὑδροχοεῖον, ὅπως λουσάμενος εὔξηται. Ὁμοίως τε καὶ ἡμεῖς ἀκολούθως ἐποιήσαμεν. Συνευξαμένοις οὖν καὶ προκαθεσθεῖσι τὸν περὶ τοῦ δεῖν ἁγνεύειν ἐποιεῖτο **230** λόγον. Καὶ ἐπειδὴ λοιπὸν ἡμέρα ἐγεγόνει, τοῖς ὄχλοις εἰσελθεῖν ἐπέτρεψεν. Εἰσελθόντος δὲ τοῦ ὄχλου πολλοῦ [45], συν-C ήθως προσαγορεύσας λέγειν ἤρξατο·

II. Ἐπειδὴ πολλῇ τῇ καθ' ὑμῶν ὑφ' ὑμῶν γενομένῃ ἀμελείᾳ ὁ νοῦς τὰς πολλὰς καὶ βλαβερὰς τῶν θρησκειῶν ὑπονοίας ἐξέφυσεν, καὶ γεγόνατε ὥσπερ γῆ [46] ἀπορίᾳ γεωργοῦ χερσεύσασα, πολλοῦ πρὸς κάθαρσιν δεῖσθε χρόνου, ἵνα τὸν μεταδιδόμενον [47] ὑμῖν λόγον ἀληθῆ ὥσπερ καλὸν σπόρον ὁ νοῦς λαβὼν μὴ κακαῖς φροντίσι συμπνίξας ἄκαρπον καταστήσῃ [48] πρὸς τὰ σώζειν δυνάμενα ἔργα. Διὸ χρὴ τοὺς πεφροντικότας τῆς ἑαυτῶν σωτηρίας συνεχέστερον ἐπακούειν, ὅπως τὰ [49] ἐκ μακρῶν χρόνων ἀτοπήματα πληθυνθέντα βραχεῖ τῷ περιλειπομένῳ χρόνῳ συνεχεῖ σπουδῇ πρὸς κάθαρσιν ἀναλογῆσαι δυνηθῇ. Ἐπειδὴ [50] οὖν ἕκαστος ἄδηλον ἔχει τοῦ ἰδίου χρόνου τὸ τέλος, σπεύσατε τὰς πολλὰς τῶν καρδιῶν ὑμῶν D ἐξελεῖν ἀκάνθας· μὴ κατ' ὀλίγον· οὐ γὰρ δυνήσεσθε καθαρθῆναι, ἐπὶ πολὺ γὰρ ἐχερσεύσατε.

III. Οὐκ ἄλλως δὲ τὸ πολὺ τῆς σπουδῆς πρὸς κάθαρσιν ὑμῶν ἀναδέξασθαι ὑπομενεῖτε [51], ἐὰν μή γε αὐτοῖς ὀργισθέντες ἐπιπλήξητε περὶ ὧν ὡς ἀχρεῖοι δοῦλοι [52] ἐνηδρεύθητε συνθέμενοι ταῖς κακαῖς ὑμῶν ἐπιθυμίαις, ἵνα τὴν δικαίαν [53] ὑμῶν ὀργὴν τῷ νῷ

VAVIÆ LECTIONES.

[40] διαλέγεθαι O. [41] Ita O c. S., ὑδροχοίῳ C. [42] πίστιν om. O. [43] εἴκοσι C. [44] ἡμᾶς S. O., ὑμᾶς C. Tum ἐξῄει S. O. ἐξίει C Dein ὑδροχοεῖον S., ὑδροχόϊον C., ὑδρηχοεῖον O. [45] Ita O., et ex conject. D. πολλούς C. [46] γῆ Cl.: errat S. de lectione Ci. [47] In O prius erat διδόμενον p. μεταδιδόμενον. [48] καταστήσει C. [49] τα om, O. [50] ἐπεί C. [51] Ita et S. leg. censet, quanquam dedit ὑπομένετε c. C. [52] δοῦλοι flagitante sensu add. c. O. [53] κακίαν O. Deinceps ὀργήν add. S. ex conject. Ci. Tum χερσευσούσῃ C., χερσευούσῃ S.

ὡς πῦρ χερσευσάσῃ ἀρούρῃ ἐπαφεῖναι **231** δυνηθῆτε. Εἰ μὲν οην οὐκ ἔχετε δίκαιον πῦρ, τὴν κατὰ τῶν κακῶν ἐπιθυμιῶν ὀργὴν λέγω, μάθετε ἀπό ποίων καλῶν [54] ἐνηδρεύθητε, καὶ πρὸς ποίαν κόλασιν κατηρτίσθητε, καὶ ὑπὸ τίνος ἠπατήθητε, καὶ οὕτως ὑμῶν ὁ νοῦς νήψας, καὶ ὥσπερ πῦρ ὑπὸ τῆς τοῦ πέμψαντος ἡμᾶς διδασκαλίας ἐξαφθεὶς εἰς ὀργὴν, τὰ κακὰ [55] τῆς ἐπιθυμίας ἀναλῶσαι δυνηθῇ. Πιστεύσατέ μοι, ὅτι θελήσαντες πάντα κατορθῶσαι δυνήσεσθε.

IV. Θεοῦ τοῦ ἀοράτου ἐστὲ εἰκών. Ὅθεν οἱ εὐσεβεῖν βουλόμενοι μὴ τὰ εἴδωλα λεγέτωσαν Θεοῦ εἰκόνα [56] εἶναι, καὶ διὰ τοῦτο δεῖν αὐτὰ σέβειν. Εἰκὼν γὰρ Θεοῦ ὁ ἄνθρωπος. Ὁ εἰς Θεὸν εὐσεβεῖν θέλων ἄνθρωπον εὐεργετεῖ, ὅτι εἰκόνα Θεοῦ τὸ ἀνθρώπου βαστάζει σῶμα. Τὴν δὲ ὁμοιότητα οὐκέτι πάντες, ἀλλ' [57], ἀγαθῆς ψυχῆς ὁ καθαρὸς νοῦς. Πλὴν ὡς ἡμεῖς οἴδαμεν τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν γεγονότα τοῦ Θεοῦ, εἰς τοῦτον ὑμᾶς εὐσεβεῖν [58] λέγομεν, ἵνα εἰς Θεὸν, οὗπέρ ἐστιν εἰκὼν, ἡ χάρις λογισθῇ. Τιμὴν οὖν τῇ τοῦ Θεοῦ εἰκόνι, ὅπερ ἐστὶν ἄνθρωπος, προσφέρειν δεῖ οὕτως, πεινῶντι τροφὴν, διψῶντι ποτὸν, γυμνητεύοντι [59] ἔνδυμα, νοσοῦντι πρόνοιαν, ξένῳ στέγην, καὶ τῷ ἐν εἱρκτῇ ὄντι ἐπιφαινόμενον [60] βοηθεῖν ὡς δυνατόν ἐστιν. Καὶ ἵνα μὴ τὸ κατ' εἶδος λέγω, πάντα ὅσα ἑαυτῷ τις θέλει καλὰ, ὡσαύτως ἄλλῳ χρῄζοντι παρεχέτω, καὶ **232** τότε αὐτῷ εἰς τὴν τοῦ Θεοῦ εἰκόνα εὐσεβήσαντι δύναται ἀγαθὸς λογισθῆναι μισθός· ᾧ λόγῳ εἰ καὶ ταῦτα ποιεῖν μὴ ἀναδέξηται [61], ὡς ἀμελήσας τῆς εἰκόνος κολασθήσεται.

V. Οἷον οὖν ἔστι λέγειν ποτὲ, ὅτι εὐσεβείας τῆς εἰς Θεὸν χάριν πᾶσαν μορφὴν [62] σεβόμενοι, τὸν ἄνθρωπον τὴν ὄντως εἰκόνα Θεοῦ ὄντα ἐν πᾶσιν ἐνυβρίζετε [63], φονεύοντες, μοιχεύοντες, κλέπτοντες καὶ κατὰ πολλὰ ἄλλα ἀτιμάζοντες; Ἐχρῆν δὲ μηδ' ἓν [64] κακὸν πράτττιν, δι' ὃ ἄνθρωπος λυπεῖται [65]· νῦν δὲ πάντα πράττετε, δι' ἃ [66] ἄνθρωπος ἀθυμεῖ, ἀδικία γὰρ καὶ ἀθυμία γίνεται. Διὰ τοῦτο φονεύετε [67] καὶ ἀφαιρεῖσθε τὰ αὐτοῦ, καὶ ὅσα ἄλλα ἴστε, ἅπερ παθεῖν οὐ θέλετε. Ὑμεῖς δὲ ἑρπετῷ τινι κακούργῳ πρὸς κακίαν ἀπατηθέντες ὑπονοίᾳ πολυθέου γνώσεως, εἰς μὲν τὴν ὄντως εἰκόνα, ὅπερ ἐστὶν ἄνθρωπος, ἀσεβεῖτε, εἰς δὲ τὰ ἀναίσθητα εὐσεβεῖν δοκεῖτε.

VI. Τινὲς δὲ λέγουσιν, εἰ μὴ ἤθελεν αὐτὰ εἶναι, οὐκ ἂν ἦν, ἀλλ' ἀνῃρεῖτο [68] ἄν. Φημὶ κἀγὼ, τοῦτο πάντως ἔσται, ὅταν πάντες τὴν αὐτῶν πρὸς αὐτὸν δείξωσι προαίρεσιν, καὶ οὕτως ἀλλαγὴ τοῦ νῦν γενήσεται κόσμου. Πλὴν εἰ καὶ οὕτως ἠθέλετε [69] αὐτὸν ποιῆσαι, ἵνα μηδὲν τῶν προσκυνουμένων **233** ὑπῆρ-

A tem vestram, quasi ignem in arvum silvescens positis immittere. Si ergo non habetis justum ignem, iram dico adversus cupiditates malas, animadvertite a qualibus bonis per insidias abstracti fueritis, ad quale supplicium præparati et a qua re seducti. Atque ita mens vestra sobria facta, et quasi ignis a doctrina ejus qui misit nos incensus ad iracundiam, poterit cupiditatem consumere. Mihi credite, modo velitis, poteritis emendare cuncta.

IV. Dei qui cerni nequit imago estis. Unde qui pie vivere cupiunt, ne dicant idola esse Dei imaginem, ideoque coli ea oportere. Nam Dei imago homo est. Qui in Deum pie se gerere vult, homini benefacit, quia Dei imaginem portat hominis cor-

B pus; similitudinem vero non omnes gerunt, sed bonæ animæ pura mens. Attamen, quia nos scimus hominem factum fuisse ad imaginem et ad similitudinem Dei, hortamur sitis erga illum pii, ut in Deum, cujus est imago, gratia referatur. Honorem ergo, imagini Dei, id est homini, deferre oportet hunc in modum, præbendo esurienti cibum, sitienti potum, nudo indumentum, ægro providentiam, peregrino tectum, in carcere posito visitationem ac pro viribus auxilium. Et ne singula recenseam: quæcunque aliquis sibi desiderat bona, alteri indigenti pariter tribuat. Tuncque ipsi, in Dei imaginem pietatem exercenti, bona potest imputari merces: qua ratione, si ista facere recuset, quasi qui contempserit imaginem, punietur.

V. An igitur dici potest, propter pietatem erga

C Deum coli omnem formam, si hominem, veram Dei imaginem, in omnibus contumelia afficitis, occidendo, adulterando, furando, in multis aliis indigne accipiendo? Oportebat autem ne unum quidem malum committere, per quod homo contristetur; nunc vero cuncta facitis quibus homo angitur. Injuria enim etiam anxietas fit. Ideo interficitis et res illius aufertis et quæcunque alia scitis, quæ non vultis pati. Vos autem a maligno quodam serpente ad malitiam decepti, per suspicionem sententiæ multos deos inducentis, in vera quidem imagine seu homine impii estis, in rebus vero sensu destitutis pii vobis videmini.

VI. Nonnulli autem dicunt, si noluisset Deus ea esse, utique non exstitissent, sed fuissent sublata.

D Ego quoque fateor, id omnino futurum, quando omnes suam erga Deum ostenderint voluntatem, tumque hujus mundi fore mutationem. Verumtamen, etiamsi vultis illum ita facere ut nihil eorum

VARIÆ LECTIONES.

[54] Haud male D. corrigit ὑπὸ ποίων κακῶν ut infra hom. XI, 11. [55] Ita conj. C., qui exh. κατά in textu, ut O. [56] εἰκόνας leg. censet S. [57] ἀλλά O. [58] ἀσεβεῖν ὑμᾶς p. ὑμᾶς εὐσεβεῖν O. [59] γυμνιτεύοντι O. [60] Ita O c. S. (cfr. hom. XII, 32), ἐπιφαινόμενοι C. [61] ἀναδέξητε O. [62] Addendum ἐστε post μορφήν. S. Tum τοῦ p. τήν O Forsan scribendum est τὴν τοῦ ὄντως Θεοῦ εἰκόνα ὄντα. [63] ἐνυβρίζοντες C. [64] μηδέν p. μηδ' ἕν O. [65] λυπεῖτε O. [66] ἃ S. O., ὅ C. Tum καὶ ἂν p. καί idem. Dein. τοῦ p. τοῦτο O. [67] Ita S., φονεύεσθε C., O. Tum ἀφαιρεῖσθαι O. Deinde ἐστίν p. ἴστε conj. D. [68] ἀνήρητο O. Postea ascripsi πάντες c. eodem [69] οὕτως, εἰ θέλετε C. Ac. D. scribendum putabat πλὴν εἰ καὶ οὑτωσὶ θέλετε αὐτὸν ποιῆσαι· *Verumtamen si sic vultis eum facere* S. Meea quidem sententia delendum εἰ post πλήν.

quæ adorantur supersit, dicite nobis quid rerum non adorastis? Nonne alii ex vobis solum, alii lunam, alii aquam, terram alii, vel montes, vel arbores, vel semina, alii etiam hominem, ut in Ægypto, adorant? Oportuit ergo Deum nihil relinquere, sed neque vos ipsos, ut nihil esset quod coleretur, neque quod coleret. Vere hoc fieri optat qui intra vos latet pessimus serpens, nec parcit vobis. Sed non ita erit. Nihil enim peccat illud, quod adoratur, vim quippe patitur ab adoratore. Nam licet ab omnibus hominibus injustum feratur judicium, at non a Deo. Siquidem æquum non est, ut idem supplicium recipiat, qui patitur et qui facit, præterquam si ille ultro admittat solius honore dignissimi honorem.

A χεν, ε'πατε ἡμῖν, τί τῶν ὄντων οὐκ ἐθρησκεύσατε, Οὐχ οἱ μὲν ὑμῶν τὸν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ὕδωρ, οἱ δὲ γῆν, οἱ δὲ τὰ ὄρη, οἱ δὲ φυτὰ, οἱ δὲ τὰ σπέρματα, οἱ δὲ καὶ ἄνθρωπον, ὡς ἐν Αἰγύπτῳ, προσκυνοῦσιν; Ἐχρῆν οὖν τὸν Θεὸν μηδὲν ἐᾶσαι, ἀλλὰ μηδὲ ὑμᾶς [70], ἵνα μηδὲν ἂν ἦν τὸ προσκυνούμενον, μήτε τὸ προσκυνοῦν. Ἀληθῶς τοῦτο γενέσθαι βούλεται [71] ὁ ἐν ὑμῖν δεινὸς ἐνδομυχῶν [72] ὄφις, ὃς οὐ φείδεται ὑμῶν. Ἀλλ' οὐχ οὕτως ἔσται [73]. Οὐδὲν γὰρ ἁμαρτάνει τὸ προσκυνούμενον· βίαν γὰρ πάσχει ὑπὸ τοῦ προσκυνεῖν αὐτὸ θέλοντος· Εἰ γὰρ ὑπὸ πάντων ἀνθρώπων ἄδικος γίνεται κρίσις, ἀλλ' οὐχ ὑπὸ Θεοῦ. Οὐ γὰρ δίκαιόν ἐστι τὴν αὐτὴν τιμωρίαν ἀναδέξασθαι τὸν πάσχοντα καὶ τὸν διαθέμενον, ἐκτὸς εἰ μὴ αὐτὸς ἑκὼν ἀναδέξηται [74] τὴν τοῦ μόνου τιμιωτάτου τιμήν.

VII. Sed, inquit, oportebat eos qui adorant a vero Deo perimi, ne alius hoc faceret. Verum an es Deo sapientior, ut ei, tanquam prudentior, consilium des? Novit quid faciat. Tolerat enim omnes impios, velut misericors et benignus pater, sciens, ex impiis pios fieri. Et multi e cultoribus rerum impurarum ac sensu carentium, conversi, eo colere cessarunt et delinquere, atque apud verum Deum per preces Græcorum quoque multi salvati sunt.

B VII. Ἀλλὰ, φησὶν, ἐχρῆν αὐτοὺς τοὺς προσκυνοῦντας ἀναιρεῖσθαι ὑπὸ τοῦ ὄντως Θεοῦ, ἵνα ἄλλος τοῦτο μὴ ποιῇ. Ἀλλ' οὐκ [75] εἶ σοφώτερος τοῦ Θεοῦ, ἵνα αὐτῷ ὡς φρονιμώτερος γνώμην δῷς. Οἶδεν ὃ ποιεῖ. Πᾶσι γὰρ ἐν ἀσεβείᾳ οὖσι μακροθυμεῖ, ὡς ἐλεήμων καὶ φιλάνθρωπος πατὴρ, εἰδὼς ὅτι καὶ ἐξ ἀσεβῶν εὐσεβεῖς γίνονται. Καὶ αὐτῶν τῶν σεβόντων τὰ αἰσχρὰ καὶ ἀναίσθητα πολλοὶ νήψαντες τὰ μὲν [76] αὐτὰ σέβειν καὶ ἁμαρτάνειν ἐπαύσαντο, τῷ δὲ ὄντως Θεῷ πρὸς ταῖς εὐχαῖς [ἐχόμενοι πολλοὶ] [77] καὶ Ἕλληνες ἐσώθησαν.

VIII. At Deus principio oportebat efficere, ut nullatenus de talibus cogitaremus. Hæc dicentes ignoratis, quid sit libertas arbitrii, et qua ratione sit possibile vere bonos esse. Quia qui suo proposito bonus est, vere est bonus, qui vero ab alio coactus fit bonus, vere non est, quoniam non propria electione est quod est. Cum ergo uniuscujusque libertas perficiat vere bonum, et vere malum perpetret, in unoquoque fieri quod inimicum vel quod amicum est, per rerum operumque occasiones molitus est Deus. Non, inquit, sed quidquid cogitamus ipse nos facit cogitare. Desinite. Cur amplius blasphematis, qui hoc dicitis? Si enim omne, quod cogitamus, ab ipso menti nostræ inspiratur, ipsum dicitis causam fornicationum, libidinum, avaritiæ omnisque blasphemiæ. Cessate maledicere, qui debetis benedicere, eique omnem impertiri honorem. Nec dicatis: Deus honore non indiget. Quamvis enim ille nullius indigeat, attamen debuistis, respiciendo

234 VIII. Ἀλλὰ τὴν [78] ἀρχὴν ἔδει ποιῆσαι ἡμᾶς μηδὲ ὅλως περὶ τοιούτων ἐνθυμεῖσθαι [79]. Ταῦτα λέγοντες ἀγνοεῖτε τί ἐστι τὸ αὐτεξούσιον, καὶ πῶς δυνατόν (28) ἐστιν ἀγαθοὺς τῷ ὄντι εἶναι. Ὅτι ὁ ἰδίᾳ προαιρέσει ὢν ἀγαθὸς ὄντως ἀγαθός ἐστιν, ὁ δὲ ὑφ' ἑτέρου C ἀνάγκῃ [80] ἀγαθὸς γενόμενος ὄντως οὐκ ἔστιν, ὅτι μὴ ἰδίᾳ προαιρέσει ἐστὶν ὅ ἐστιν. Ἐπεὶ οὖν τὸ ἑκάστου ἐλεύθερον ἀποτελεῖ τὸ ὄντως ἀγαθὸν, καὶ δεικνύει τὸ ὄντως κακὸν, ἐν ἑκάστῳ γενέσθαι ἐχθρὸν ἢ φίλον διὰ τῶν ὑποθέσεων ὁ Θεὸς ἐμηχανήσατο. Οὔ, φησὶν, ἀλλὰ πᾶν ὃ ἐνθυμούμεθα, αὐτὸς ἡμᾶς ποιεῖ νοεῖν. Παύσασθε. Τί πλεῖον βλασφημεῖτε οἱ τοῦτο λέγοντες; Εἰ γὰρ πᾶν ὅ τι ἂν [81] ἐνθυμηθῶμεν, ἀπ' αὐτοῦ ἐνεργούμεθα, αὐτὸν αἴτιον λέγετε πορνειῶν, ἀσελγειῶν, πλεονεξιῶν καὶ πάσης βλασφημίας. Παύσασθε δυσφημοῦντες, οἱ εὐφημεῖν καὶ πᾶσαν τιμὴν αὐτῷ ἀπονέμειν ὀφείλοντες. Καὶ μὴ λέγετε. Οὐκ ἐπιδικάζεται ὁ Θεὸς τιμῆς. Εἰ γὰρ αὐτὸς οὐδενὸς ἐπιδικάζεται, ἀλλ' οὖν γε ὑμᾶς [82] ἐχρῆν εἰς τὸ δίκαιον ἀφορῶντας

VARIÆ LECTIONES.

[70] μὴ δὲ ἡμᾶς O. [71] βούλεται γενέσθαι C. [72] Ita O et ex conject. C., in cuj. textu ἐνδομοιχῶν. [73] ἔστι O. [74] ἀναδέξητε O. [75] Ita O c. S, ἀλλὰ οὐκ C. [76] τὸ μέν C. Tum ὄντες p. ὄντως Cl. Falsus est S. de C. [77] Lacuna cod. Ottoboniani ita expleta, sententiarum nexus, ap. C. perturbatus, jam logices rationi respondet. [78] ἀλλ' οὐ O., qui signum interrogandi habet post ἡμᾶς. [79] ἐνθυμεῖσθε O. [80] Ita S., ἀνάγκης C., O., [81] ἂν excidit ex utraque Clerici editione et ap. S. [82] Ita Cl. ἡμᾶς O. c. C. Idem deinde πᾶσιν ἡμᾶς, Cl. πᾶσιν ὑμᾶς.

VARIORUM NOTÆ.

(28) Καὶ πῶς δυνατόν. Ista Clementis sic apud Maximum proferuntur: Οὐ δυνατόν τινα ἀγαθὸν εἶναι βεβαίως, εἰ μὴ κατὰ προαίρεσιν οἰκείαν. Ὁ γὰρ ὑφ' ἑτέρου ἀνάγκης ἀγαθὸς γενόμενος, οὐκ ἀγαθός. Ὅτι μὴ ἰδίᾳ προαιρέσει ἐστὶν, ὅ ἐστιν. Τὸ γὰρ ἑκάστου ἐλεύθερον, ἀποτελεῖ τὸ ὄντως ἀγαθὸν, καὶ δεικνύει τὸ ὄντως κακόν. Ὅθεν διὰ τῶν ὑποθέσεων τούτων, ἐμηχανήσατο ὁ Θεὸς φανερῶσαι τὴν ἑκάστου διάθεσιν. *Fieri non potest ut quisquam sit constanter bonus, nisi ex animi sui proposito proprio. Qui enim ab altero ex necessitate factus est bonus, bonus non est; quia non ex instituto sit, quod est. Libera enim cujusque voluntas, quod revera bonum est efficit, et revera malum ostendit; unde Deus per istas occasiones voluit cujusque affectionem patefacere.* Quæ, inter Clementis Romani alia, leguntur in Eclogis Jo. Damasceni mss. collegii Claromontani cap. *De homine et libertate*. Cot.

τὸν ἐν πᾶσιν ὑμᾶς εὐεργετήσαντα εὐχαρίστῳ ἀμείψασθαι φωνῇ.

IX. Ἀλλὰ, φησίν, κρεῖττον ποιοῦμεν, ἅμα αὐτῷ καὶ πᾶσιν εὐχαριστοῦντες. Ἀλλὰ ταῦτα λέγοντες οὐχ ἴστε τὴν καθ' ὑμῶν ἐπιβουλήν. Ὡς γὰρ, ὁπόταν ἕνα κάμνοντα πολλοὶ ἰατροὶ θεραπεύειν ἐπαγγέλλωνται [83] μηδὲν **285** δυνάμενοι, εἷς δέ τις ὄντως ἰᾶσθαι δυνάμενος τὴν αὐτοῦ ἀντίδοτον μὴ προσφέρει, λογισάμενος ὅτι, ἂν αὐτὸς θεραπεύσῃ, ἄλλοι ἐπιγράφονται, οὕτω καὶ ὁ Θεὸς, μετὰ πολλῶν ἀξιούμενος τῶν μηδὲν δυναμένων, οὐκ εὐεργετεῖ. Τί οὖν, φησὶν, ὁ Θεὸς ἐπὶ τούτῳ ἀγανακτεῖ, ἐάν γε αὐτοῦ θεραπεύοντος ἄλλος ἐπιγράφηται [84]; Φημὶ, εἰ καὶ μὴ ἀγανακτεῖ, ἀλλ' οὖν γε οὐ θέλει [85] τῆς ἀπάτης συνεργὸς γενέσθαι. Αὐτοῦ γὰρ εὐεργετήσαντος καὶ τὸ μηδὲν ποιῆσαν εἴδωλον ὡς δυνηθὲν πιστοῦται. Ἀλλὰ κἀγώ φημί σοι, εἰ [86] μὴ φυσικῶς ἠδίκητο πρὸς ἀναίσθητα ἐπτοημένος (29), ἴσως ἂν καὶ τοῦτο ὑπομεμενήκει· διὸ νήψατε (30) ὑπὲρ τῆς σωτηρίας τὰ εὔλογα νοεῖν. Ὁ Θεὸς γὰρ ἀνενδεὴς ὢν αὐτὸς οὐδενὸς δεῖται, οὔτε βλάπτεται. Ἡμῶν γάρ ἐστι τὸ ὠφελεῖσθαι ἢ βλάπτεσθαι. Ὅνπερ γὰρ τρόπον Καῖσαρ [87] (31) οὔτε βλασφημούμενος βλάπτεται, οὔτε εὐχαριστούμενος ὠφελεῖται, ἀλλὰ τοῦ εὐχαριστοῦντος μὲν γίνεται τὸ ἀκίνδυνον, τοῦ δὲ βλασφημοῦντος ὄλεθρος, οὕτως οἱ Θεὸν εὐφημοῦντες αὐτὸν μὲν οὐδὲν ὠφελοῦσιν, ἑαυτοὺς δὲ σώζουσιν· ὁμοίως καὶ οἱ βλασφημοῦντες αὐτὸν μὲν οὐκ ἀδικοῦσιν, αὐτοὶ δὲ ὀλοθρεύονται.

X. Ἀλλὰ, φησὶν, οὐχ ὁμοίως ἐπ' ἀνθρώπου καὶ Θεοῦ. Σύμφημι κἀγὼ, **286** ὅτι οὐχ ὁμοίως. Μείζων γὰρ ἡ κόλασις ὡς μεῖζον [88] ἀσεβήσαντι, ἥττων δὲ τῷ εἰς τὸν ἥττονα ἁμαρτήσαντι. Ὡς οὖν πάντων μείζων ὁ Θεὸς, οὕτως μείζονα ὑφέξει κόλασιν ὁ εἰς αὐτὸν ἀσεβήσας, ὡς εἰς μείζονα ἁμαρτήσας, οὐκ αὐτοῦ αὐτόχειρος ἀμυνομένου, ἀλλὰ πάσης τῆς κτίσεως ἐπὶ τούτῳ ἀγανακτούσης καὶ φυσικῶς ἐπεξερχομένης. Οὐ γὰρ δώσει τῷ βλασφήμῳ οὐχ ἥλιος τὸ φῶς, οὐ γῆ τοὺς καρποὺς, οὐ πηγὴ τὸ ὕδωρ, οὐκ ἐν ᾅδῃ τῇ ψυχῇ ὁ ἐκεῖ καθεστὼς ἄρχων τὴν ἀνάπαυσιν, ὁπότε καὶ νῦν ἐπὶ [89] τῆς τοῦ κόσμου προθεσμίας ὑφεστώσης παραγανακτεῖ πᾶσα ἡ κτίσις. Διὸ οὔτε [90] τελείους

æquitatem, eum, qui omnibus vos eumulavit beneficiis, grata remunerari voce.

IX. Sed, inquit, melius facimus, qui ei omnibusque simul gratias agimus. Verum hæc dicendo non intelligitis structas vobis insidias. Quemadmodum enim, quando unum ægrum multi medici, qui nihil possunt, promittunt curare, unus, qui revera potest mederi, remedium suum non porrigit, secum reputans, quod, etsi ipse sanaverit, attribuetur aliis : ita et Deus, una cum multis qui nihil possunt rogatus, non præstat beneficium. Quid ergo, inquit, Deus ideone indignatur, si, cum ipse curet, ascribatur alteri? Respondeo, licet non indignetur, attamen non vult esse erroris adjutor. Postquam enim ipse beneficit, etiam idolum, quod nihil egit, tanquam efficax fidem accipit. Sed et ego tibi dico, nisi propria et naturali injuria afficeretur, quando una cum sensum non habentibus timetur ac adoratur, forte hoc etiam sustineret; quapropter curæ sit vobis, ut rationi consentanea pro salute vestra intelligatis. Deus enim sibi sufficiens nullo indiget, neque læditur. Nostrum quippe est juvari aut lædi. Nam sicut Cæsar neque maledictis læditur, neque gratiarum actionibus juvatur, sed, qui gratias agit, securitatem habet, qui maledicit interitum : ita qui Deum laudibus prosequuntur, ipsum nequaquam adjuvant, sibi vero ipsis salutem afferunt, parique modo, qui conviciis appetunt, ei quidem non faciunt injuriam, ipsi vero pereunt.

X. Sed, inquit, non similiter in homine et Deo. Et ego fateor, quod non similiter. Majus enim supplicium ut magis impio : minus autem ei, qui in minorem peccavit. Sicut ergo maximus omnium est Deus, ita maximas dabit pœnas, qui in eum impius exstiterit, quoniam adversus maximum deliquit. Neque Deus propria manu ulciscetur, at omnis creatura in ea re indignabitur et naturaliter vindicabit. Non enim blasphemo dabit lucem sol, non fructus terra, non aquam fontes, non tribuit animæ in inferis requiem, qui ibi constitutus est princeps : quando nunc quoque, adhuc subsistente præfinito mundi tempore, ægre fert universa creatura. Ideo-

VARIÆ LECTIONES.

[83] Ita O. c. S., ἐπαγγέλλονται C. Particulam δέ sep. utriusque hom. codd. auctoritas tuetur : quapropter non delenda ut censet S. [84] ἐπιγραφῇ C. [85] λέγει Cl. et S. contra codd. auctoritatem. Schwegleri conjectura θέλει vulgata lectio est ap. C. [86] εἰ O et ex conject. C. in cuj. textu ἤ. [87] Καῖσαρ O. [88] τῷ εἰς μείζονα conj. D., τῷ μεῖζον scr. Schliemannus *Clement.* p. 250, 569. [89] ἔτι conj. C. [90] Cotelerio post διὸ οὔτε deesse videtur οὐρανός. Forte tamen scripsit noster διὸ οὔτε νέφη τοὺς ὑετοὺς παρέχει. Videsis Eustathium in *Hexaem.* p. 5. Ego sane, quid sibi velint τέλει ὑετοί, non capio D.

VARIORUM NOTÆ.

(29) Per me licet sensu activo sumere ἐπτοημένος ac vertere : *Nisi naturaliter injuria afficeretur, qui ad sensu destituta attonitus stupet.* C. Recte : nam alias non intelligitur: quid sibi velit φυσικῶς ἠδίκητο. C. fr. C. 10. S. DRESSEL.

(30) Ὑπομεμενήκει, δι' ὃ ἥψατε C. Lectio ex O. allata locum nimia corruptela prius laborantem ita dilucidat, ut conjecturis non amplius opus sit. ID.

(31) Ὅνπερ γὰρ τρόπον Καῖσαρ. Sæpe dictæ *Eclogæ* cap. Περὶ βλασφημούντων καὶ μεγαχορρημονούντων καὶ πταιόντων εἰς τὸν Θεὸν ἐξ ἀνοίας. Τοῦ ἁγίου Κλήμεντος Ῥώμης. Ὅν τρόπον ὁ βασιλεὺς, οὔτε βλασφημούμενος βλάπτεται, οὔτε εὐχαριστούμενος ὑπὲρ τὸ ἀξίωμα μεγαλύνεται· ἀλλὰ τοῦ εὐχαριστοῦντος μὲν γίνεται τὸ ἀκίνδυνον, τοῦ δὲ βλασφημοῦντος ὁ ὄλεθρος· οὕτως οἱ Θεὸν μὲν εὐφημοῦντες, αὐτὸν μὲν οὐ μεγαλύνουσιν ὑπὲρ τὴν οἰκείαν δόξαν, ἑαυτοὺς δὲ σώζουσιν· οἱ δὲ βλασφημοῦντες, αὐτὸν μὲν οὐ βλάπτουσιν, ἑαυτοὺς δὲ. ὀλοθρεύουσι. Καὶ μείζων ἡ κόλασις, ὅσῳ μείζων ἡ ἀσέβεια, ὡς καὶ πάντων κρείττων ὁ Θεὸς, ὑπὲρ οὗ πᾶσα ἡ κτίσις ἀγανακτεῖ. COT.

que nec cœlum sufficientem mittit imbrem, neque terra fructus dat, unde plurimi pereunt. Ipse etiam aer furore accensus ad pestem producendam convertit se. In bonis tamen, quibus fruimur, misericordia sua Deus ad benignitatem erga nos cogit creaturam. Ita vobis, qui cunctorum opificem inhonestatis, omnis creatura succenset.

XI. Nam etsi per solutionem a corpore effugiatis pœnam, quo modo animam vestram, quæ immortalis est, per mortem poteritis fugere? Immortalis enim est etiam impiorum anima, quibus melius esset, non immortalem eam habere. Nam per ignem inexstinctum cruciata perpetuo supplicio, neque moriens, in malo suo finem non habet accipere. Sed forsan dicet vestrum aliquis : Terres nos, Petre. Docete igitur nos, quo pacto tacentes proferamus vobis res quemadmodum sunt, aliter enim vobis eas non possumus indicare. Quod si tacuerimus, decipiemini a malis per ignorantiam ; sin vero loquimur, suspecti sumus, quasi vos falsam ob causam terreamus. Quo pacto igitur malum eum incantabimus, qui intra animam vestram latet, callideque vobis inimicas Deo subserit opiniones prætextu amicitiæ erga Deum? Reconciliemini vobiscum; namque pro vestra salute fit ad eum cum bonis operibus perfugium. Inimicitia quædam ad Deum est, quæ in vobis cum ratione pugnat cupiditas ; quia suspicione prudentiæ corroborat inscitiam.

XII. Alii vero dicunt : Deus nostri curam non gerit. Hoc quoque falsum est. Nam si vere curam non gereret, neque solem suum oriri faceret super bonos et malos, neque pluviam suam demitteret super justos et injustos (*a*). Dicunt alii : Magis pii sumus, qui et ipsum et simulacra colimus. Non puto, ei, qui ita loquitur, si diceret regi : Eumdem tibi tribuo honorem, quem mortuis et abjecto fimo: non puto, inquam, ei bene cessurum. Sed inquiet aliquis, fimum vocas nostra numina? Ita aio. Inutilia enim vobis ea reddidistis, dum in deos ascribitis. Cum forsan illorum materia ad aliquid aliud,

δετοὺς παρέχει, οὔτε γῆ τοὺς καρποὺς, διὸ οἱ πλείονες λυμαίνονται. Ἀλλὰ καὶ αὐτὸς ὁ [91] ἀὴρ θυμῷ ὑπεκκαιόμενος πρὸς λοιμώδη πρᾶξιν [92] μεταβάλλεται. Πλὴν ὅσων ἀπολαύομεν ἀγαθῶν, τῷ αὐτοῦ ἐλέῳ εἰς τὴν ἡμετέραν φιλανθρωπίαν βιάζεται τὴν κτίσιν. Οἵ τως ὑμῖν τοῖς ἀτιμάζουσι τὸν τῶν ὅλων δημιουργὸν ἡ πᾶσα κτίσις χαλεπαίνει.

XI. Κἂν γὰρ τῇ τοῦ σώματος λύσει τὴν κόλασιν ἐκφύγητε, πῶς τὴν ψυχὴν ὑμῶν ἄφθαρτον οὖσαν διὰ τῆς φθορᾶς φυγεῖν δυνήσεσθε ; ἀθάνατος γὰρ ἡ ψυχὴ (32) καὶ τῶν ἀσεβῶν, οἷς ἄμεινον ἦν μὴ ἄφθαρτον αὐτὴν ἔχειν. Κολαζομένη γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ, καὶ μὴ θνήσκουσα, ἐπὶ κακῷ τῷ αὐτῆς τέλος λαβεῖν οὐκ ἔχει. Ἀλλ' ἴσως ἐρεῖ **287** τις ὑμῶν· Φοβεῖς ἡμᾶς, Πέτρε. Διδάξατε οὖν ἡμᾶς, σιγῶντες ἐροῦμεν τὰ ὄντα ὡς ἔστιν, ἄλλως γὰρ αὐτὰ ὑμῖν σημαίνειν οὐ δυνάμεθα. Ἐάν τε σιγήσωμεν, ἐνεδρεύεσθε ὑπὸ τῶν κακῶν διὰ τὴν ἄγνοιαν· ἐάν τε λαλήσωμεν, ὡς ἐπὶ ψευδεῖ ὑποθέσει φοβοῦντες ὑμᾶς ὑποπτευόμεθα. Πῶς οὖν ἐπᾴσωμεν [93] τῷ εἰς τὴν ὑμετέραν κακῷ ἐνδομυχοῦντι καὶ πανούργως ὑποσπείροντι ὑμῖν τὰς Θεῷ ἐχθραινούσας ὑπονοίας προφάσει τῆς πρὸς Θεὸν φιλίας [94] ; Διαλλάγητε ἑαυτοῖς· ὑπὲρ γὰρ τῆς ὑμῶν σωτηρίας γίνεται [95] ἡ μετὰ εὐποιίας πρὸς αὐτὸν καταφυγή. Ἔχθρα [96] ἔστι Θεῷ ἐν ὑμῖν ἄλογος ἐπιθυμία, ὑπονοίᾳ γὰρ φρονήσεως τὴν ἄγνοιαν κρατύνει.

XII. Ἄλλοι δὲ λέγουσιν· Οὐ πεφρόντικεν ἡμῶν ὁ Θεός. Καὶ τοῦτο ψεῦδός ἐστιν. Εἰ γὰρ ὄντως οὐκ ἐφρόντιζεν, οὐκ ἂν οὐδὲ τὸν ἥλιον αὐτοῦ ἀνέτελλεν ἐπὶ ἀγαθοὺς καὶ πονηρούς, οὔτε τὸν ὑετὸν αὐτοῦ ἔφερεν ἐπὶ δικαίους καὶ ἀδίκους. Ἕτεροι δὲ λέγουσιν· Εὐσεβέστεροί ἐσμεν, καὶ αὐτὸν καὶ τὰ ἀγάλματα σέβοντες. Οὐκ οἶμαι, εἰ τοῦτο λέγων τις [97] ἐρεῖ βασιλεῖ· Τὴν ἴσην σοι ἀπονέμω τιμὴν, οἵαν καὶ τοῖς νεκροῖς καὶ τῇ [98] ἐρριμμένῃ κοπρίᾳ· οὐκ οἴομαι εἰ καλῶς ἀπαλλαγήσεται [99]. Ἀλλ' ἐρεῖ τις· Κοπρίαν λέγεις τὰ σεβάσματα ἡμῶν Ναί φημι, ἄχρηστα γὰρ ὑμῖν αὐτὰ ἐποιήσατε, εἰς τὸ σέβειν καταριθμήσαντες, τῆς οὐ-

(*a*) Matth. v, 45.

VARIÆ LECTIONES.

[91] ὁ inserui c. O. [92] ἕξιν conj. D. Ego malim κρᾶσιν, quod propius accedit ad lectionem vulgatam, et fidem accipit ex Rufini interpretatione hac : *aeris temperies temeratur*. S. [93] ἐπάσομεν O. [94] Ita C., τῇ... φιλίᾳ C., O. [95] γίνεται om. O. [96] Fort. scribendum ἐχθρά, vel addendum ἡ post Θεῷ S. [97] τις add. c. O. [98] τῇ reposui, postquam exciderat ap. Cl. et S. Subinde ἐρριμένῃ O. [99] ἀπαλλάξει C.

VARIORUM NOTÆ.

(32) Ἀθάνατος γὰρ ἡ ψυχή. Ut Clementis sententia citatur a Maximo, *Locorum communium* sermone 53, ut Clementis Romani, in Damasceno ms. cap. Περὶ ψυχῆς καὶ νοῦ, ad hunc modum : Ἀθάνατοι πᾶσαι αἱ ψυχαὶ, καὶ τῶν ἀσεβῶν, αἷς ἄμεινον ἦν μὴ ἀφθάρτους εἶναι. Κολαζόμεναι γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ, καὶ μὴ θνήσκουσαι, ἐπὶ κακῷ τῷ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσιν. *Immortales omnes animæ sunt, etiam impiorum, quibus melius esset non esse corruptioni non obnoxias. Nam per ignem inexstinctum cruciatæ perpetuo supplicio, nec morientes, suo ipsarum malo sui finem accipere non possunt.* Recognitionum lib. v, cap. 28 : *Immortales namque sunt etiam impiorum animæ, quas ipsi fortasse velint pariter cum corporibus finiri: sed non ita est ; perferunt enim ignis æterni sine fine supplicia, et ad perniciem sui naturam non habent moriendi.* Cum *Clementinis* loquitur Justinus Martyr *Apologia* II, p. 64, et *Dialogo cum Tryphone*, p. 223, dicitque improbis lucrum, fore, ἕρμαιον, animas mori, et finem habere in statum sensus vacuum, εἰς ἀναισθησίαν. Ad sensum vero *Recognitionum* Minucius Felix, quem eo loco citavi. Ac ex philosophis Hierocles in carmina Pythagorica ad vers. 29 : Οὐ βούλεται ὁ κακὸς ἀθάνατον εἶναι τὴν αὐτοῦ ψυχὴν, ἵνα μὴ ὑπομείνῃ τιμωρούμενος *Non enim vult qui malus est, esse sibi animum immortalem, ne scelerum ultionem patiatur.* Cot.

σίας αὐτῶν ἴσως εἰς [100] ἄλλο τι ἢ εἰς **238** χρῆσιν κόπρου, εὐχρηστησάσης. Νῦν δὲ οὐδὲ [1] εἰς τοῦτο χρησιμεύει, ὅτε μετασχηματίσαντες προσκυνεῖτε. Πῶς δὲ καὶ [2] εὐσεβέστεροι εἶναί φατε, οἱ πάντων ἀσεβέστατοι, ταύτῃ αὐτῇ τῇ μιᾷ καὶ ἀσυγκρίτῳ ἁμαρτίᾳ ψυχῆς ὄλεθρον ὀφείλοντες τῷ ἀληθεῖ [3], ἐὰν ἐπιμείνητε; Ὡς γὰρ εἴ τις υἱὸς πολλὰ εὐεργετούμενος ὑπὸ τοῦ πατρὸς ἑτέρῳ τινὶ τῷ μὴ πατρὶ τὴν ὀφειλομένην τῷ πατρὶ ἀποδῴη [4] τιμὴν, πάντως ἀποκληρονόμος γίνεται· ἐπὰν δὲ κατὰ γνώμην τοῦ πατρὸς βιοὺς εὐχαριστῇ ἐπὶ ταῖς εὐεργεσίαις, εὐλόγως κληρονόμος γίνεται.

XIII. Ἄλλοι δὲ λέγουσιν· Ἀσεβεῖν μέλλομεν, ἐὰν τὰ παραδοθέντα ἡμῖν ἐκ πατέρων σεβάσματα καταλείψωμεν [5]· ὅμοιον γάρ ἐστι τῷ παραθήκην φυλάξαι. Οὐκοῦν τούτῳ τῷ λόγῳ κἂν ληστοῦ τις ᾖ πατρὸς ἢ αἰσχροβίου, οὐκ ὀφείλει ὁ υἱὸς νήψας τὸ κρεῖττον ἑλέσθαι, ἵνα μὴ ἀσεβήσῃ, καὶ μὴ τὰ ἴσα τοῖς γονεῦσι ποιῶν ἁμαρτάνῃ [6]. Πῶς δὴ ἀνόητοι οἱ λέγοντες· Ταῦτα προσκυνοῦμεν, ἵνα μὴ αὐτῷ ὀχλῶμεν; ὡς ὀχλουμένου Θεοῦ ἐφ' οἷς εὐφημεῖται. μὴ ὀχλουμένου δὲ ἐφ' οἷς ἀχαριστούμενος βλασφημεῖται. Διὰ τί οὖν, ὁπόταν ἐποχὴ ὑετοῦ γένηται, πρὸς οὐρανὸν τὰ πάντα ἀφορῶντες εὐχὰς καὶ λιτὰς ἀπονέμετε; καὶ ὅταν ἐπιτύχητε, τάχιον ἐπιλανθάνεσθε; ἀμήσαντες γὰρ ἢ τρυγήσαντες εὐθέως τοῖς μηδὲν [7] οὖσιν εἰδώλοις τὰς ἀπαρχὰς **239** ἀπονέμετε, τάχιον ἐπιλανθανόμενοι τοῦ εὐεργετήσαντος Θεοῦ. Καὶ οὕτως εἰς ἄλση [8] καὶ εἰς τοὺς ναοὺς γενόμενοι θυσίας ἐπιτελοῦντες εὐωχεῖσθε. Διὰ τοῦτο οἱ μὲν ὑμῶν λέγουσιν· Παρηγορίας καὶ τοῦ εὐωχεῖσθαι χάριν καλῶς ταῦτα ἐπινενόηται.

XIV. Ὦ ἀνόητοι! ὑμεῖς τοῦ λεγομένου γίνεσθε [9] δίκαιοι κριταί. Εἴπερ γὰρ καὶ ἐχρῆν ἐνταῦθα εἰς εὐφρασίαν σώματος ἑαυτὸν δοῦναι ποίᾳ εὐωχίᾳ, ἀμείνων ἦν ἡ ἐν ποταμοῖς [10] καὶ ὕλαις καὶ ἄλσεσιν, ἔνθα εἰλαπίναι καὶ συμπόσια καὶ κατάσκιοι τόποι, ἢ ὅπου ἀπόνοια δαιμόνων, καὶ χειρῶν τομαὶ, καὶ αἰδοίων ἀποκοπαὶ, καὶ οἶστροι, καὶ μανίαι, καὶ τριχῶν κόμαι, καὶ κόμποι, καὶ ἐνθουσιασμοὶ, καὶ ὀλολυγαὶ, καὶ πάντα ἐκεῖνα τὰ μεθ' ὑποκρίσεως εἰς κατάπληξιν τῶν ἀνοήτων γινόμενα, ὅπως τὰς ὑμῶν [11] ὀφειλομένας εὐχὰς καὶ εὐχαριστίας καὶ νεκρῶν νεκροτέροις προσενέγκητε;

XV. Καὶ διὰ τί χαίροντες ταῦτα ποιεῖτε; Ἐπεὶ οὐ θέλει ὑμῖν ὁ ἐμφωλεύων εἰπεῖν ὄφις [12], ὃς ἐνέσπειρεν ὑμῖν τὴν ἄκαρπον ἐπιθυμίαν, λέγων ὑπομνήσω. Ἔχει δὲ οὕτως· Παρὰ τῇ τοῦ Θεοῦ θρησκείᾳ κηρύσσεται νήφειν, σωφρονεῖν, ὀργῆς κρατεῖν, ἀλλότρια μὴ νοσφίζεσθαι, δικαίως βιοῦν, ἐπιεικῶς [13], εὐσταθῶς, πράως, κολάζειν ἑαυτὸν μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ **240** μὴ ἔχοντα ἑτέρου, ἀδίκως ἀφελόμε-

A vel ad fimum, fuisset utilis. Nunc vero neque ad hoc prodest, quando a vobis transfiguratam colitis. Qua autem ratione vos et magis pios dicitis, qui omnium estis impiissimi, hoc ipso una et incomparabili peccato interitum animæ merentes coram illo, qui verus est, si perseveretis. Exempli gratia si quis filius, plurima beneficia a patre consecutus, alteri qui pater non sit debitum patri honorem deferat, plane exhæredabitur. Cum vero ex sententia patris vivens gratias de beneficiis egerit, merito hæres relinquetur.

XIII. Alii vero dicunt, impii erimus, si nobis a patribus tradita numina dereliquerimus: idem enim est ac depositum servare. Igitur hac ratione, si aliquis ortus sit ex patre latrone aut obscœno, non
B debet filius frugi esse melioremque vitam amplecti, ne impius evadat, peccetque eadem cum parentibus non agendo. Quam stulti autem sunt, qui dicunt: Hæc adoramus, ne Deo simus molesti! Quasi Deo molesta sint ea quibus laudatur, non molesta vero, quibus ingrate accipitur et inflammatur. Cur ergo, cum imbris acciderit remora, in cœlum omnino intuiti preces ac supplicationes assignatis? et quando obtinuistis, cito obliviscimini. Facta enim messe aut vindemia, statim ad idola, quæ nihil sunt, primitias defertis, celeriter Dei immemores, beneficii auctoris. Sicque in nemoribus et in templis positi sacrificia celebratis, atque genio indulgetis. Quapropter nonnulli ex vobis dicunt: Solatii et bonæ tractationis causa præclara ista excogitata sunt.

C XIV. O stolidi! Vos hujus dicti estote justi judices. Si enim oportebat hic se ad corporis voluptatem alicui tradere oblectationi, melior erat ea, quæ in fluviis et silvis et lucis, ubi compotationes et convivia et loci umbrosi, quam ubi dæmoniaca amentia, et manuum sectiones, abscissiones verendorum, rabidus furor, insania, sparsi crines, strepitus stridoresque, afflatus fanatici, ululatus, omniaque illa quæ cum simulatione ad terrorem amentium fiunt, ut debitas illis preces et gratiarum actiones offeratis, idque iis, qui mortuis magis sunt mortui.

XV. Et cur læti ista facitis? Quoniam intus latens serpens vobis non vult edicere, qui infructuosam inseruit cupiditatem, dicam ego atque memorabo. Ita autem habet: Apud religionem Dei præ-
D dicatur agere sobrie, sibi temperare, iram tenere, non subripere aliena, juste vivere, cum bono jure, tranquille, leniter, se in in indigentia potius continere ac reprimere, quam cum non habeas, alterius bonis

VARIÆ LECTIONES.

[100] εἰς, quod deest in utroque Hom. cod., addidit D. Subinde scripsi ἄλλο τι ἢ εἰς c. O ut conj. D, ἄλλο τι, εἰς C, quod mutari voluit in ἄλλοτε, εἰς. Tum εὐχριστησάσης O. [1] οὐδέ om. O. [2] καί inserui c. O. [3] τὰ ἀληθῆ C. Subinde ἐὰν μὴ ἐπιμείνητε O. [4] ἀποδῷ C. [5] λείψωμεν C. [6] Vbb. καὶ μὴ τὰ ἴσα τοῖς γονεῦσι ποιῶν ἁμαρτάνῃ textui reddidi, cum prætermissa essent in ed. Schwegleriana. Subinde πῶς δέ S. [7] μηθέν O. [8] Ita O, ut conj. S, καὶ οὕτως εἰς ἀεί. Καί C. ex conject., εἴσασι cod. ipsius, in cuj. marg. ἴσασι. Ruf. *Rec.* v, 30: *In templis aut lucis.* [9] γίνεσθε S, γένεσθε C, O. [10] Ita explicandum esse videtur Ottoboniani ἀμείνων ἦν· οἱ ἐν ποταμοῖς, ap. C ἄμεινον ἡ ἐν ποταμοῖς. [11] ὑμῶν S, αὐτῶν C, O. [12] ὄφις om. O. [13] ἐπεικῶς O.

injuste ablatis expleri. Apud vocatos autem deos contraria peraguntur. Et nonnulla in admirationem justitiæ denuntiatis, quæ licet omnia præcepta exsequeremini, una Dei ignorantio sufficit ad punitionem vestram. Cæterum convenientes ad loca quæ vos iis assignatis, alacriter inebriamini, et aras accenditis, quarum nidor vagatus cæcos surdosque spiritus vi sua ad odoratus locum ducit. Sicque ibi alii fanaticis furoribus, alii absurdis cibis replentur, ad libidinem vertuntur alii, ad furta alii et adulteria. Nam fusi illic sanguinis vapor et vini libatio etiam satiat impuros spiritus, qui intra vos occultati omnia hæc reddunt suavia, atque per somnia vos falsis spectris irretiunt, innumerisque perpessionibus puniunt. Eam occasione sacrarum, ut vocant, hostiarum repleti estis truculentis dæmonibus, qui caute vos inscios perimunt, ut non sentiatis factas insidias. Prætextu siquidem cujuspiam injuriæ vel calamitatis, amoris, iræ, mœstitiæ, aut laqueo aut aqua suffocant, e loco præcipiti dejiciunt, homicidio sui, aut apoplexia, aut alio morbo e vita cogunt migrare.

XVI. Ex nobis autem nullus tale quid potest pati, sed a nobis dæmones torquentur, quandoquidem in aliquem ingressi, ut tardius egrediantur, rogant nos. Sed licet aliquis : In has perpessiones incidunt interdum etiam quidam Dei cultores. Aio id fieri non posse. Ille enim, de quo loquor, cultor Dei est, qui vere est Dei cultor, non qui duntaxat dicitur. Qui autem vere est, traditæ sibi legis perficit opera. Si quis impie egerit, pius non est. Quemadmodum si alienigena legem servet, Judæus est; qui vero non servat, est gentilis. Judæus enim, Deo credens, legem implet, per quam fidem etiam alia mala montibus similia et gravissima transfert (*a*). Qui vero non exsequitur legem, clarum est, quod non credendo in Deum fit transfuga, ideoque peccator velut nequaquam Judæus propter peccatum a calamitatibus subigitur, quæ ad puniendos peccatores constitutæ sunt. Nam consilio Dei, quod ad initio sancitum fuit, illius cultores juste propter delicta pœna consequitur. Quod fit, ut, postquam pœna de peccato velut debito per vexationem rationem repetierit, conversos homines in cunctorum judicio puros repræsentet. Sicut enim improbis præsentes deliciæ in damnum futurorum bonorum cedunt, ita supplicia lapsis in peccatum Judæis mittuntur ad exactionem, ut recepta hic delicti pœna a futura illic æterna damnatipne liberentur.

A νον χορεσθῆναι. Παρὰ δὲ τοῖς λεγομένοις θεοῖς τὰ ἐναντία γίνεται. Καὶ ἔνια εἰς κατάπληξιν δικαιοσύνης παραγγέλλετε [14], ἅπερ εἰ καὶ πάντα ποιεῖτε τὰ παραγγέλματα, μία ἡ πρὸς Θεὸν ἄγνοια ἱκανὴ τυγχάνει πρὸς τὴν καθ' ὑμῶν τιμωρίαν. Πλὴν συνερχόμενοι εἰς τοὺς ὑφ' ὑμῶν αὐτοῖς δοθέντας τόπους ἡδέως μεθύσκεσθε καὶ βωμοὺς ἀνάπτετε, ὧν ἡ κνίσσα ῥεμβομένη καὶ τὰ τυφλὰ καὶ κωφὰ πνεύματα διὰ τῆς ἐξουσίας ἄγει εἰς τὸν τῆς ὀσφρήσεως αὐτῶν τόπον, Καὶ οὕτως τῶν ἐκεῖ οἱ μὲν ἐνθουσιασμῶν [15], οἱ δὲ βρωτῶν ἀλλοκότων ἐμπίμπλανται, οἱ δὲ ἐπὶ τὸ ἀσελγαίνειν τρέπονται, οἱ δὲ ἐπὶ κλοπὰς καὶ φόνους. Ἡ γὰρ τοῦ ἐκεῖ αἵματος ἀναθυμίασις καὶ ἡ τῶν οἴνων σπονδὴ καὶ αὐτὰ [16] χορεῖ τὰ ἀκάθαρτα πνεύματα, ἅτινα ἐνδομυχοῦντα [17] εἰς ὑμᾶς φιληδόνως ἔχειν τὰ B ἐκεῖ ποιοῦσιν, καὶ δι' ὀνείρων ὑμᾶς φαντασίαις ψευδέσι περιβάλλουσιν, καὶ μυρίοις παθήμασι τιμωροῦσιν. Προφάσει γὰρ τῶν λεγομένων ἱεροθύτων χαλεπῶν δαιμόνων ἐμπίπλασθε. οἳ καὶ φρονίμως ὑμᾶς λανθάνοντες ἀναιροῦσιν, ἵνα μὴ συνῆτε ὑμῶν τὴν ἐπιβουλήν. Προφάσει γάρ τινος ἐπηρείας ἢ ἔρωτος ἢ ὀργῆς ἢ λύπης ἢ ἀγχόνῃ ἢ ὕδατι πνίξαντες ἢ ἀπὸ κρημνοῦ ῥίψαντες ἢ αὐτοχειρίᾳ ἢ ἀποπληξίᾳ ἢ ἑτέρῳ τινὶ πάθει τοῦ ζῆν μεθιστᾶσιν.

XVI. Ἡμῶν δὲ οὐδεὶς τοιοῦτόν τι παθεῖν δύναται, ἀλλ' αὐτοὶ ὑφ' ἡμῶν κολάζονται, ὁπόταν εἴς τινα εἰσιόντες βραδέως ἐξιέναι ἡμᾶς παρακαλῶσιν [18]. **241** Ἀλλ' ἐρεῖ τις· Ἴσως τοιούτοις πάθεσιν καὶ θεοσεβῶν τινες ὑποπίπτουσιν. Φημὶ ὅτι τοῦτο ἀδύνατον. Θεοσεβὴς γὰρ οὗτός ἐστιν, ὃν [19] ἐγώ φημι, ὁ ὄντως θεοσεβὴς, οὐχ ὃς ἂν μόνον λέγηται, ὁ δὲ ὄντως ὢν τοῦ δο- C θέντος αὐτῷ νόμου ἐκτελεῖ τὰς πράξεις. Ἐάν τις ἀσεβήσῃ, εὐσεβὴς οὐκ ἔστιν. Ὅνπερ τρόπον ἐὰν ὁ ἀλλόφυλος τὸν νόμον πράξῃ, Ἰουδαῖός ἐστιν· μὴ πράξας δὲ, Ἕλλην. Ὁ γὰρ Ἰουδαῖος πιστεύων Θεῷ ποιεῖ τὸν νόμον [20], δι' ἧς πίστεως καὶ τὰ ἄλλα τὰ ὄρεσιν ἐοικότα καὶ βαροῦντα μεθίστησι πάθη. Ὁ δὲ μὴ ποιῶν τὸν νόμον δηλονότι [21] ἐκ τοῦ μὴ πιστεύειν Θεῷ λιποτακτεῖ, καὶ οὕτως ὡς οὐχὶ [22] Ἰουδαῖος ἁμαρτωλὸς διὰ τὴν ἁμαρτίαν ἐπικρατεῖται ὑπὸ τῶν εἰς τὸ τιμωρεῖν τοὺς ἁμαρτάνοντας καθεστώτων παθῶν. Βουλῇ Θεοῦ τῇ ἀπαρχῆς ὁρισθείσῃ δικαίως τοῖς σέβουσιν αὐτὸν παραπτωμάτων χάριν ἡ τιμωρία ἕπεται, ὃ γίνεται, ἵνα ὡς ὀφείλημα διὰ τῆς βασάνου ἀπαιτήσασα τὴν ἁμαρτίαν τοὺς ἐπιστρέψαντας καθαροὺς ἐν τῇ τῶν ὅλων παραστήσῃ [23] κρίσει. Ὡς γὰρ τοῖς κακοῖς ἡ D ἐνταῦθα τρυφὴ εἰς ζημίαν αἰωνίων ἀγαθῶν γίνεται, οὕτως αἱ τιμωρίαι τοῖς παραπίπτουσιν Ἰουδαίοις πέμπονται εἰς ἔκπραξιν, ἵνα ἐνταῦθα ἀπολαύοντες [24] τὸ παράπτωμα τῆς ἐκεῖ ἀπαλλαγῶσιν αἰωνίας κολάσεως.

(*a*) Matth. XVII, 19.

VARIÆ LECTIONES.

[14] παραγγέλλεται O. [15] ἐνθουσιασμῷ C, ἐνθουσιασμοῦ D. [16] αὐτή C. Lectionem Ottoboniani præsagivit S. [17] ἐνδομογιοῦντα O. [18] παρακαλοῦσιν C. [19] ὃν prætermisit S c. Cl. [20] Sede vocabuli mutata lego : Ἐὰν ὁ ἀλλ. τ. ν. πρ. Ἰ. ἐστ. μὴ πράξας δὲ Ἰουδαῖος, Ἕλλην· Ὁ γὰρ πιστεύων Θεῷ ποιεῖ τὸν νόμον. Hoc modo elegans nasci videtur antithesis D. [21] δῆλον ὅτι C. Tum λειποτακτεῖ O. [22] οὐκ O. [23] Ita O c. S, παραστήσει C. [24] ἀπολαύοντες D., qui insuper exemplis comprobavit, vocem ἀπολαύειν conjungi posse cum casu accusativo, atque haud raro sumi in malam partem. S. ἀπολαυόντες C, O.

242 XVII. Ὑμεῖς δὲ ταῦτα εἰπεῖν οὐ δύνασθε, οὐ γὰρ πιστεύετε τὰ ἐκεῖ εἶναι ὡς ἡμεῖς λέγομεν, λέγω δὴ, ὅπου πᾶσιν ἡ ἀνταπόδοσις γίνεται. Οὗ ἕνεκεν ἀγνοοῦντες τὸ συμφέρον ὑπὸ τῶν προσκαίρων ἡδονῶν μὴ λαβεῖν τὰ αἰώνια ἐνεδρεύεσθε. Διὸ ἡμεῖς τοῦ συμφέροντος ὑμῖν τὰς ἀποδείξεις ποιεῖν πειρώμεθα, ἵνα πληροφορηθέντες περὶ τῶν τῆς θεοσεβείας ἐπαγγελμάτων διὰ τῶν ἀγαθῶν πράξεων δυνηθῆτε σὺν ἡμῖν τὸ ἄλυπον αἰῶνα κληρονομῆσαι. Μέχρι μὲν οὖν γνωρίσετε [25] ἡμὰς, μὴ χαλεπαίνετε ἡμῖν [26] ὡς ψευδομένοις περὶ ὧν ὑμῖν θέλομεν καλῶν. Τὰ γὰρ ἡμῖν νομισθέντα ἀληθῆ τε καὶ ἀγαθὰ, ταῦτα ὑμῖν φέρειν οὐκ ἐφθονήσαμεν, ἀλλὰ τοὐναντίον ἐσπεύσαμεν συγκληρονόμους ὑμᾶς ποιῆσαι ἀγαθῶν, ὧν ἡμεῖς νενομίκαμεν [27]. Οὕτω γὰρ χρὴ πρὸς τοὺς ἀπίστους λέγειν. Ὅτι δὲ ἀληθεύομεν ὄντως περὶ ὧν λέγομεν, οὐκ ἄλλως δυνήσεσθε εἰδέναι, ἐὰν μὴ πρότερον φιλαληθῶς ὑπακούσητε.

XVIII. Διὸ ἐπὶ τοῦ παρόντος, κἂν τὰ μυρία ὑμᾶς ὁ ἐν ὑμῖν ἐνδομυχῶν [28] ὄφις, κακοὺς ὑποβαλὼν λογισμοὺς καὶ ἀσχολίας, ἐνεδρεύειν θέλῃ [29], ἀλλ' οὖν γε ὑμεῖς ὀφείλετε ταύτῃ μᾶλλον προσφιλονεικοῦντες αὐτῷ συνεχῶς ἡμῶν [30] ἐπακούειν. Δεῖ γὰρ συνεδρεύοντας ὑμᾶς τούς σφόδρα ἠπατημένους εἰδέναι, πῶς χρὴ ἐπᾴδειν αὐτῷ. Ἄλλως δὲ ἀδύνατον. Ἐπᾴδειν δὲ [31] λέγω, τῷ λογισμῷ ἀντιτάσσεσθαι ταῖς κακαῖς αὐτῶν συμβουλίαις **243** μεμνημένους, ὅτι ὑποσχέσει γνώσεως ἀπ' ἀρχῆς τῷ κόσμῳ θάνατον ἐξειργάσατο [32].

XIX. Ὅθεν ὁ τῆς ἀληθείας προφήτης πολὺ τὸν κόσμον πεπλανημένον εἰδὼς καὶ τῇ κακίᾳ συνθέμενον ἰδὼν οὐκ ἠγάπησε τὴν πρὸς αὐτὸν εἰρήνην, ὡς ἐκ πλάνης συνοῦσαν [33]· ὅτι εἰς τέλος ἐπιφέρει πᾶσι τοῖς πρὸς κακίαν ὁμογνωμονοῦσιν, παραθεὶς [34] ἀντὶ πλάνης, τοῖς νήψασιν ὥσπερ πῦρ ἐμβαλὼν τὴν κατὰ τοῦ ἐνεδρεύσαντος ὀργὴν μαχαίρᾳ ἐοικυῖαν, προτείνρς δὲ [35] λόγον ἀναιρεῖ τὴν ἄγνοιαν τῇ γνώσει, ὥσπερ τέμνων καὶ χωρίζων ζῶντας ἀπὸ τῶν νεκρῶν. Τῆς μὲν οὖν κακίας ὑπὸ τῆς νομίμου γνώσεως νικωμένης πόλεμος συνεῖχε τὸ πᾶν. Σωτηρίας γὰρ χάριν υἱὸς ὑπείξας ἀπειθοῦς ἐχωρίζετο πατρὸς, ἢ καὶ πατὴρ τέκνου, ἡ τεκοῦσα θυγατρὸς, ἡ θυγάτηρ μητρὸς, ναὶ ἅπαξ οἱ [36] συγγενεῖς συγγενῶν καὶ φίλοι συνήθων.

XX. Καὶ μή τις λεγέτω· Πῶς τοῦτο δίκαιον, χωρίζεσθαι γονεῖς τέκνων καὶ τέκνα γονέων; Δίκαιον καὶ πάνυ. Εἰ γὰρ συνόντες, μετὰ τοῦ μηδὲν αὐτοὺς ὠφελεῖν, καὶ συναπώλλυντο αὐτοῖς, πῶς οὐ δίκαιον, καὶ [37] χωρισθῆναι τὸν σώζεσθαι θέλοντα ἀπὸ τοῦ μὴ θέλοντος, συναπολέσθαι δὲ [38] βουλομένου; πρὸς τούτοις οὐδὲ αὐτοὶ οἱ τὸ κρεῖττον νενοηκότες χωρισθῆ-

A XVII. Vos vero hæc dicere non potestis, quia non creditis, quæ illic sunt esse quemadmodum dicimus, dico autem, ubi cunctis fiat retributio. Quocirca quod est utile ignorantes, a temporariis voluptatibus, ne æterna accipiatis, decipimini. Quare nos conamur, commodi vobis probationes afferre, ut plene certi de pietatis promissionibus per bona opera possitis nobiscum sæculi quod tristitia vacat hæredes existere. Donec igitur cognoscatis nos, ne nobis succenseatis, tanquam mentiamur circa bona quæ vobis cupimus. Quæ enim putavimus vera et bona, ea ad vos afferre non invidimus; sed contra festinavimus, reddere vos bonorum, quæ novimus, cohæredes. Ita quippe ad infideles loquendum est. Quod autem plene veros B proferamus sermones, non aliter poteritis scire, nisi prius cum veritatis studio audiatis.

XVIII. Quapropter nunc, licet serpens, quem intus habetis latentem, mille vobis tendat insidias, pravas subjiciendo cogitationes et impedimenta, attamen eo magis obsistere et debetis, et assiduo nos audire. Oportet enim, ut vos, qui fuistis valde decepti, convenientes cognoscatis, quo modo ille incantandus sit. Aliter vero fieri nequit. Incantare autem dico, mente repugnare pravis dæmonum consiliis memores, cum promissione scientiæ mundo ab initio mortem procreasse.

XIX. Unde veritatis propheta, sciens mundum errasse plurimum, et maliti æconsensisse intuitus, non expetivit pacem cum illo, ut ex errore consi- C stentem; sed usque ad finem cunctos in malitia consentientes oppugnat, et veritatem in locum erroris proponit, ac resipiscentibus velut ignem immittit iram adversus insidiatorem, quæ gladio similis est (*a*), objectoque sermone ignorantiam cognitione interimit, quasi scindens ac separans vivos a mortuis. Itaque dum malitia per legitimam cognitionem vincebatur, bellum cuncta tenuit. Nam propter salutem filius credens a patre incredulo separavit se, vel pater a filio, genitrix a filia, filia a matre, atque omnino propinqui a propinquis et amici a familiaribus.

XX. Neque dicat aliquis: Quomodo id justum fuerit, separari parentes a liberis, liberos a parentibus. Justum est, et valde. Nam si una morati, D præterquam quod nihil eis proderant, etiam cum illis peribant, quo pacto æquum non est separari eum, qui salvari vult, ab eo qui non vult, sed una perire cupit. Ad hæc, non illi, qui quod præstat

(*a*) Matth. x, 34.

VARIÆ LECTIONES.

[25] γνωρίζετε C. [26] ὁμῖν Cl. Fallitur S. de lectione Ci. [27] νενοήκαμεν C. [28] Ita O et ex conject. C., in cuj. textu ἐνδομοιχῶν. [29] Ita S., θέλει C. Ambigo de scriptura libri Ottob. non plena. [30] ὑμῶν O. [31] δέ om O. [32] Vbb. μεμνημένους, ὅτι ὑποσχέσει γνώσεως ἀπ' ἀρχῆς τῷ κόσμῳ θάνατον ἐξειργάσατο largitus est O. [33] *Non continuo pacem mundo in erroribus posito dedit*, *Recogn*. vi, 4. Unde conjectaverim esse scribendum συνεστῶτα S. [34] Post παραθεὶς deest aliquid, supple ἀλήθειαν vel similem aliquam vocem. Cfr. *Recogn*. vi, 4: *Sed ignorantiæ ejus ruinis scientiam veritatis opposuit* Deinde ego post πλάνης commate distinxi, non, ut C., post νήψασιν S. [35] δέ add. c. O. [36] αἱ O. [37] καὶ accessit ex O [38] καί O.

intelligunt, vellent separari, imo simul manere, alioaque meliorum expositione juvare. Unde increduli, dum nolebant audire, ipsi contra eos pugnabant per separationem, persecutionem, odium. Qui vero ista sustinebant, miserati eos, qui ipsis per ignorantiam insidiabantur, doctrina prudentiæ orabant pro vexatoribus suis, scientes causam delicti esse ignorantiam. Ipse enim Magister clavis confixus orabat Patrem, ut ejus interfectoribus dimitteret peccatum, dicens: ***Pater, dimitte illis peccata sua. Non enim sciunt quæ faciunt*** (a). Imitantes ergo Magistrum et ipsi in iis quæ patiebantur orabant pro afflictoribus, quemadmodum edocti fuerant. Sic non odio parentum separabantur, quandoquidem et pro iis, qui nec erant parentes, nec propinqui, sed inimici, preces continuas fundebant, eosque, prout jussi erant, nitebantur diligere.

XXI. Mihi autem dicite vos, quo modo parentes diligatis? Equidem si velut justitiam semper intuiti, bene est: sin vero temere, non amplius bene. Potestis enim parvam ob causam eorum hostes fieri. Quod si gnari diligitis, dicite, quid sint parentes. Respondebitis: originis auctores. Cur ergo cunctarum rerum originem Deum non amatis, si justo judicio hoc suscepistis facere? Sed et jam dicetis, illum non novimus. Quare igitur non percontati colitis sensu destituta? Quid vero? et si difficile erat vobis cognoscere quid sit Deus, at quid non sit Deus, non potuistis non scire, ut reputaretis, neque lignum, neque lapidem, neque æs, neque aliud quid ex corruptibili constans materia Deum esse.

XXII. Nonne enim ferro cælata sunt simulacra, et ferrum quod sculpsit igne emollitum est, et ignis aqua exstinguitur? An non vero aqua per spiritum movetur, atque spiritus a Deo cunctorum opifice initium exstantiæ habet? Sic enim dixit Moyses propheta: ***In principio creavit Deus cœlum et terram: terra autem erat invisibilis et incomposita et tenebræ erant super abyssum, et spiritus Dei ferebatur super aquas.*** Qui spiritus, dicente Deo, velut manus ipsius cuncta fecit, lucem separavit a tenebris, et post cœlum invisibile visibile expandit, ut superiora ab angelis lucis habitarentur, inferiora vero ab homine una cum omnibus propter ipsum factis administrarentur.

XXIII. Nam propter te hominem Deus aquam quæ supra faciem terræ erat jussit secedere ut tibi terra fructus posset producere: et fecit meatus, quo fontes tibi præberet, ac apparerent fluminum

A ναι **244** ἤθελον, ἀλλὰ συνεῖναι καὶ ὠφελεῖν αὐτοὺς τῇ τῶν κρειττόνων ὑφηγήσει, ὅθεν οἱ ἀπειθεῖς ἐπακούειν αὐτῶν μὴ θέλοντες αὐτοὶ αὐτοὺς ἐπολέμουν, χωρίζοντες, διώκοντες, μισοῦντες. Οἱ δὲ ταῦτα πάσχοντες, ἐλεοῦντες αὐτοὺς [39] ὑπὸ ἀγνοίας ἐνεδρευομένους, διδασκαλίᾳ φρονήσεως ηὔχοντο ὑπὲρ τῶν τὰ [40] κακὰ αὐτοὺς διατιθεμένων, τὴν ἄγνοιαν τοῦ ἁμαρτήματος αἰτίαν εἶναι μεμαθηκότες. Αὐτὸς γὰρ ὁ Διδάσκαλος προσηλωθεὶς ηὔχετο τῷ Πατρὶ, τοῖς αὐτὸν ἀναιροῦσιν ἀφεθῆναι τὸ ἁμάρτημα, εἰπών· Πάτερ, ἄφες αὐτοῖς τὰς ἁμαρτίας αὐτῶν, οὐ γὰρ οἴδασιν ἃ ποιοῦσιν. Μιμηταὶ οὖν γινόμενοι τοῦ Διδασκάλου καὶ αὐτοὶ, ἐν οἷς ἔπασχον, ὑπὲρ τῶν διατιθεμένων ηὔχοντο, ὡς ἐδιδάχθησαν. Οὕτως οὐ γονεῖς μισοῦντες ἐχωρίζοντο, ὁπότε καὶ ὑπὲρ τῶν μὴ B γονέων μηδὲ συγγενῶν, ἐχθρῶν δὲ γενομένων, ἐποίουν συνεχεῖς εὐχὰς [41] καὶ ἀγαπᾷν πειρῶνται [42] ὡς ἐκελεύσθησαν.

XXI. Εἴπατε δέ μοι ὑμεῖς, πῶς τοὺς γονεῖς ἀγαπᾶτε; εἰ μὲν ὡς τὸ δίκαιον ἀεὶ σκοποῦντες, συνεύχομαι, εἰ δὲ ὡς ἔτυχεν, οὐκέτι, δύνασθε γὰρ καὶ μικρᾷ προφάσει τούτων γενέσθαι ἐχθροί. Εἰ δὲ εἰδότες ἀγαπᾶτε, εἴπατε ὑμεῖς, τί εἰσι [43] γονεῖς. Ἐρεῖτε· Γένους ἀρχηγέται. Διὰ τί οὖν τὸ τῶν ὅλων γένος οὐκ ἠγαπήσατε, εἴπερ δικαίῳ φρονήματι τοῦτο ποιεῖν ἐπανείλεσθε; Ἀλλ' ἔτι καὶ νῦν ἐρεῖτε· Οὐχ ἑωράκαμεν αὐτόν. Διὰ τί οὖν μὴ ζητήσαντες τὰ ἀναίσθητα κολακεύετε; Τί δέ; εἰ καὶ δύσκολον ἦν ὑμῖν **245** γνῶναι τί Θεὸς, τὸ μέντοι τί οὐ Θεὸς μὴ εἰδέναι οὐκ ἐδύνασθε, ἵνα λογίσησθε ὅτι Θεός ἐστιν οὐ ξύλον, οὐ λίθος, οὐ χαλκὸς, οὐκ ἄλλο τι ἐκ φθαρτῆς γεγονὸς ὕλης.

C

XXII. Ἢ γὰρ οὐχ ὑπὸ σιδήρου ἐτορεύθησαν καὶ ὁ τορεύσας [44] σίδηρος ὑπὸ πυρὸς ἐμαλάχθη, καὶ τὸ πῦρ αὐτὸ [45] σβέννυται ὑπὸ ὕδατος; τὸ δὲ ὕδωρ οὐχ ὑπὸ πνεύματος τὴν κίνησιν ἔχει, καὶ τὸ πνεῦμα ἀπὸ τοῦ τὰ ὅλα πεποιηκότος Θεοῦ τὴν ἀρχὴν τῆς ἐκτάσεως [46] ἔχει; Οὕτως γὰρ ὁ προφήτης εἴρηκε Μωϋσῆς. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Ὅπερ καὶ λέγοντος τοῦ Θεοῦ, τὸ πνεῦμα, ὥσπερ χεὶρ αὐτοῦ τὰ πάντα δημιουργεῖ φῶς ἀπὸ σκότους χωρίζον [47], καὶ μετὰ τὸν ἀόρατον οὐρανὸν τὸν φαινόμενον ἐφαπλῶσαν [48], ἵνα τὰ ἄνω τοῖς τοῦ φωτὸς ἀγγέλοις οἰκηθῇ, τὰ δὲ κάτω D ὑπὸ ἀνθρώπου ἅμα τοῖς δι' αὐτὸν γενομένοις πᾶσι διοικηθῇ.

XXIII. Διὰ γὰρ σὲ τὸν ἄνθρωπον ὁ Θεὸς ἐκέλευσε τὸ ἐπὶ προσώπου τῆς γῆς ὑποχωρῆσαι ὕδωρ, ἵνα καρποὺς ἡ γῆ σοι προσενέγκαι δυνηθῇ, καὶ τρηδόνας ἐποίησεν, ἵνα σοι παράσχῃ [49] πηγὰς καὶ ποταμῶν ῥεῖθρα

(a) Luc. XXIII. 34.

VARIÆ LECTIONES.

[39] ἐλεῶντες, ἑαυτούς C., ἐλεοῦντες ἑαυτούς S. [40] τά transcripsi ex O. [41] γονέων μὲν ὄντων ἐχθρῶν δὲ γενομένων ἐποιοῦντο τὰς εὐχάς O. [42] πείρωνται O. [43] ἡμῖν, τί ἐστιν C. [44] ἐτορνεύθησαν, καὶ ὁ τορνεύσας C. Cfr. Turrian. *Pro epist. pontif.* lib. v, cap. ult. [45] αὐτό om. O. [46] ἐκστάσεως C. [47] χωρίζων O. [48] ἐφαπλώσας O. [49] παράσχοι O.

φανῇ καὶ ζῶα ἐκβρασθῇ [60], συνελὼν ἐρῶ, ἵνα πάντα σοι παραστῆναι δυνηθῇ. Ἢ γὰρ οὐ διὰ σὲ ἄνεμοι πρὸς καρπῶν ἐπιγονὴν πνέουσι [61] καὶ ὑετοὶ φέρονται **246** καὶ τροπαὶ γίνονται; Αὐτίκα γοῦν ἥλιος καὶ σελήνη ἅμα τοῖς ἄλλοις ἄστροις [62] διὰ σὲ τὰς ἀνατολὰς καὶ δύσεις ἐκτελοῦσιν, καὶ ποταμοὶ καὶ λίμναι ἅμα ταῖς πάσαις πηγαῖς [63] ὑπηρετοῦσιν. Ὅθεν σοι τῷ ἀναισθήτῳ ὥσπερ ἡ μείζων ἐδόθη τιμή, οὕτως ἀχαριστήσαντι ἡ μείζων διὰ πυρὸς κόλασις προητοίμασται, ὅτι γνῶναι οὐκ ἠθέλησας ὃν πρὸ πάντων ἔδει γνῶναι.

XXIV. Καὶ [64] νῦν δὲ ἐκ τῶν ἡττόνων ἐπίγνωθι τὴν τῶν ὅλων αἰτίαν, λογισάμενος ὅτι τὰ πάντα τὸ ὕδωρ ποιεῖ, τὸ δὲ ὕδωρ ὑπὸ πνεύματος κινήσεως τὴν γένεσιν λαμβάνει, τὸ δὲ πνεῦμα ἀπὸ τοῦ τῶν ὅλων Θεοῦ τὴν ἀρχὴν ἔχει. Καὶ οὕτως ἔδει λογίσασθαι, ἵνα ἐπὶ λόγῳ εἰς Θεὸν καταντῆσαι δυνηθῇς, ὅπως ἐπιγνούς σου τὸ γένος [65], καὶ πρωτογόνῳ ἀναγεννηθεὶς ὕδατι καὶ [66] κληρονόμος καταστῇς τῶν πρὸς ἀφθαρσίαν γεννησάντων σε γονέων.

XXV. Διὸ ἑτοίμως πρόσελθε ὡς υἱὸς πατρί, ἵνα τῶν ἁμαρτημάτων σου ὁ Θεὸς τὴν ἄγνοιαν αἰτίαν θῇ. Εἰ δὲ καὶ μετὰ τὸ κληθῆναι οὐ θέλεις ἢ βραδύνεις, δικαίᾳ Θεοῦ ἀπολῇ κρίσει, τῷ μὴ θελῆσαι μὴ θεληθείς· καὶ μή τοι νομίσῃς, ὅτι ἐὰν [67] πάντων τῶν ποτε γενομένων εὐσεβῶν εὐσεβέστερος γένῃ, ἀβάπτιστος δὲ ἧς, ἐλπίδος τυχεῖν δυνήσῃ ποτέ. Ταύτῃ γὰρ μᾶλλον πλείονα ὀφέξεις κόλασιν, ὅτι καλὰ ἔργα οὐκ ἐποίησας καλῶς. Καλὴ γὰρ εὐποιία, ὁπόταν ὡς Θεὸς ἐκέλευσε γίνηται. Σὺ δὲ εἰ οὐ θέλεις, **247** ὡς ἐκείνῳ ἔδοξεν, βαπτισθῆναι, τῷ σῷ θελήματι ὑπηρετῶν ἐχθραίνεις τῇ ἐκείνου βουλῇ.

XXVI. Ἀλλ' ἴσως ἐρεῖ τις· Τί συμβάλλεται πρὸς εὐσέβειαν τὸ βαπτισθῆναι ὕδατι; Πρῶτον μὲν, ὅτι τὸ δόξαν Θεῷ πράττεις· δεύτερον δὲ, ἐξ ὕδατος ἀναγεννηθεὶς Θεῷ, αἰτίᾳ φόβου [68], τὴν ἐξ ἐπιθυμίας πρώτην σοι γενομένην καταλλάσσεις [69] γένεσιν, καὶ οὕτως σωτηρίας τυχεῖν δύνῃ· ἄλλως δὲ ἀδύνατον. Οὕτως γὰρ ἡμῖν ὤμοσεν ὁ προφήτης εἰπών [70]· Ἀμὴν ὑμῖν λέγω, ἐὰν μὴ ἀναγεννηθῆτε ὕδατι ζῶντι, εἰς ὄνομα Πατρὸς, Υἱοῦ, ἁγίου Πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διὸ προσέλθετε. Ἔστι γάρ τι ἐκεῖ ἀπαρχῆς ἐλεῆμον, ἐπιφερόμενον τῷ ὕδατι, καὶ [71] τοὺς βαπτιζομένους ἐπὶ τῇ τρισμακαρίᾳ ἐπονομασίᾳ καὶ [72] ῥύεται τῆς ἐσομένης κολάσεως, ὥσπερ δῶρα προσφέρον τῷ Θεῷ ὡς ἂν [73] ἀπὸ τοῦ βαπτίσματος αὐτῶν τῶν βα-

A undæ, et animalia exirent, uno verbo ut omnia se tibi possent offerre. Aut non propter te venti spirant, ad fructuum productionem, et imbres deteruntur et anni tempestates fiunt? Jam vero sol et luna cum aliis stellis propter te oriuntur et occidunt, fluvii et stagna cum omnibus fontibus tibi subserviunt. Unde tibi sensu carenti quemadmodum major præstitus est honor, ita ingrato major præparata est ignis pœna, quod scire nolueris, quem ante omnia oportuit cognoscere.

XXIV. Sed vel nunc ex minoribus agnosce cunctorum causam, considerans, quod omnia aqua producit, aqua vero a spiritu accipit motus originem, spiritus autem ab universorum Deo initium habet. Atque B ita oportet reputare quo per rationem ad Deum possis pervenire, ut agnoscens tuum genus et regeneratus aqua primigenita etiam hæres efficiaris parentum qui te ad incorruptionem genuerunt.

XXV. Propter quod prompte, tanquam filius ad patrem, accede, ut Deus causam peccatorum tuorum ponat ignorantiam. Quod si postquam vocatus es, non vis, aut cunctaris, justo Dei judicio peribis, et quia tu noluisti, nolet te Deus. Nec vero putes, quod et si omnium, qui unquam fuerunt pii, piissimus sis, non fueris autem baptizatus, spem adipisci aliquando poteris. Eo enim majores dabis pœnas, quod bona opera non bene feceris. Præclara enim res est, bona operari, quando juxta mandatum Dei fit. Tu vero, si, ut illi placet, nolis C baptizari, tuæ voluntati obsequens illius consilio repugnas.

XXVI. Sed aliquis forsan dicet: Quid confert ad pietatem, aqua baptizari? Primo quidem, quia id quod Deo placuit facis. Secundo vero per aquam Deo renatus, timoris causam primam nativitatem quam ex concupiscentia traxisti permutas, sicque salutem consequi potes: aliter autem impossibile est. Ita enim nobis juravit propheta dicens: *Amen dico vobis, nisi renati fueritis aqua viva, in nomine Patris, Filii, Spiritus sancti, non introibitis in regnum cœlorum* (a). Quocirca accedite. Ibi namque est aliquid ab initio misericors: quod fertur super aquam, et eos qui in ter beata invocatione baptizati sunt eripit de futuris suppliciis, et quæ post baD ptismum facta sunt a baptizatis bona opera Deo offert quasi donum. Quare confugite ad aquam.

(a) Joan. III, 5.

VARIÆ LECTIONES.

[60] Ita O et ex conject. C, cuj. textus ἐκβασθῇ. [61] πνέουσι ascripsi c. O. [62] ἄστροις om. O. [63] πάσαις p. πάσαις πηγαῖς C, qui conj. θαλάσσαις. Lectio Ottoboniani quamlibet conjecturam reddit superfluam. [64] Κἂν C. [65] ἐπιγνῷς αὐτό γ. C, ἐπιγνῷς σαυτοῦ γ. D. [66] καί om. O. [67] κἂν scr. Schliemannus *Clem.*, p. 226, 569. S. [68] Ita O c. S, αἰτίᾳ φόβῳ C. Hæc vbb. non sunt in codice Turriani, neque agnoscuntur a Rufino; quare ea D esse putat a mala manu. S. [69] ἀποτέμνῃ alia man. O. Ita et Turrianus; Ruf. *Rec.* VI, 9: *amputatur.* [70] Cfr. Schw. Mont. p. 184; Nachap. *Zeitalter* I, 218 sq.; Zeller: *Ann. Theol.* Tubing. 1845, p. 613; 1847, p. 132; Frank. *Wurtemb. St.* tom. XVIII, p. 71 sq., XIX p. 179; Hilgenfeld: D *Clem. Rec. u. Rom.* p. 166; D. Ev. Joh. p. 151; *Krit. Unters.*, p. 358; Ritschl: *Ann: Theol. Tub.* 1851, p. 514. [71] καί O c. D, qui locum ita vult restitui: Καὶ τοὺς βαπτ. ἐπὶ τῇ τρ. ἐπον. ῥύεται καὶ τῆς ἐσ. κολ. Apud C καί deest ante τοὺς βαπτιζομένους, S ὃ τοὺς βαπτιζομένους. [72] καί om. O. [73] ὡς ἄν D, ὅτ' ἄν C, ὅταν O.

hæc enim sola vim ignis potest exstinguere. Ad quam qui nondum vult venire, adhuc rabidum gerit spiritum, cujus gratia non vult pro sua salute adire aquam vivam.

XXVII. Accede igitur, sive justus sis, sive injustus. Nam tibi, si justus es, solum deerat baptizari in salutem, sin injustus in remissionem eorum, quæ in ignorantia prius perpetrasti. Si vero injustus, relinquitur, ut baptismatis bona opereris juxta impietatis proportionem. Quapropter, sive justus es sive iniquus, festina nasci Deo, quia dilatio affert periculum; nam incertum est præstitutum morti nostræ tempus. Patri, qui te ex aqua genuit, similitudinem per bona opera ostende. Tanquam veri studiosus verum Deum honora ut patrem. Honor autem ejus est, ut ita vivas, sicut ipse, qui justus est, desirat. Porro justi voluntas est, injustitiam non facias. Et est injustitia, occidere, adulterare, odisse, fraudare, cæteraque his similia, quorum multæ sunt species.

XXVIII. Verumtamen istis adjiciendum est aliquid, quod quidem cum reliquis hominibus non est commune, sed proprie competit religioni Dei. Dico autem, in puritate degere, ad uxorem suam quando in purgatione est non accedere: hoc quippe jubet Dei lex. Quid vero? Nisi puritas in religione Dei esset consecrata, vos ut canthari cum voluptate volveremini. Quare, tanquam homines aliquid amplius brutis animantibus habentes, nimirum esse rationales, cor quidem a malis purgate per cœlestem intellectum, lavacro autem corpus diluite. Nam inter vere bona est mundities. Non quasi cordis puritatem præcedat castitas corporis, sed quia post bonum sequitur quod mundum est. Etenim magister noster quosdam nostrorum Pharisæorum et scribarum, qui sunt separati, et legis instituta, ut Scribæ, plus cæteris cognoscunt, redarguebat tamen velut hypocritas, quod ea sola quæ ab hominibus videntur purificarent, cordis vero puritatem quam solus Deus aspicit relinquerent.

XXIX. Hac ergo ipsa voce usus est, revera ad hypocritas inter eos loquens, non vero ad omnes Nam præcepit, ut quibusdam obediretur, quod iis commissa fuisset Moysis cathedra (*a*). Verum ac hypocritas dixit: *Væ vobis Scribæ et Pharisæi hypocritæ, quia mundatis calicis et parapsidis quod exterius est, intus autem ea plena sunt squaloris Pharisæe cæce, munda prius calicis et paropsidis*

A πτισθέντων τὰς εὐποιίας. Διὸ προσφεύγετε τῷ ὕδατι, τοῦτο γὰρ μόνον τὴν τοῦ πυρὸς ὁρμὴν σβέσαι δύναται. Τούτῳ ὁ μήπω προσελθεῖν θέλων ἔτι τὸ τῆς λύσσης φέρει πνεῦμα, οὗ ἕνεκα ἐπὶ τῇ αὐτοῦ [64] σωτηρίᾳ ὕδατι ζῶντι προσελθεῖν οὐ θέλει.

XXVII. Πρόσελθε οὖν, κἂν δίκαιος ᾖς, κἂν ἄδικος. Δικαίῳ γὰρ ὄντι **248** σοι μόνον ἔλειπε τὸ πρὸς σωτηρίαν βαπτισθῆναι, ἀδίκῳ δὲ πρὸς τὸ βαπτισθῆναι [65] εἰς ἄφεσιν τῶν ἐν ἀγνοίᾳ προπεπραγμένων [66]. Ἀδίκῳ δ' ὑποκαταλείπεται κατ' ἀναλογίαν τῆς ἀσεβείας ἡ ἐπὶ τὸ βάπτισμα εὐποιία. Διὸ εἴ τε δίκαιος εἶ, εἴτε ἄδικος, σπεῦσον γεννηθῆναι Θεῷ, ὅτι ἡ ἀναβολὴ κίνδυνον φέρει διὰ τὸ ἄδηλον [67] εἶναι τοῦ θανάτου τὴν προθεσμίαν, τῷ ἐξ ὕδατος [68] γεννῶντί σε πατρὶ διὰ τῆς εὐποιίας τὴν ὁμοιότητα δείξας. Ὡς B φιλαλήθης τὸν ἀληθῆ Θεὸν τιμῶν ὡς πατέρα. Τιμὴ δὲ αὐτῷ τὸ ζῆν σε ὡς αὐτὸς δίκαιος ὢν θέλει. Δικαίου δὲ θέλημα τὸ μὴ ἀδικεῖν. Ἀδικία δέ ἐστιν φονεύειν, μισεῖν, πλεονεκτεῖν, καὶ τὰ τούτοις ὅμοια· τούτων δὲ εἴδη πολλά.

XXVIII. Πλὴν τούτοις συνεισφέρειν δεῖ τί ποτε, ὃ κοινότητα πρὸς [ἀνθρώπους μὲν οὐκ ἔχει, ἴδιον δὲ θρησκείας Θεοῦ τυγχάνει. Λέγω δὴ τὸ καθαρεύειν, τὸ ἐν ἀφέδρῳ οὔσῃ τῇ ἰδίᾳ γαμετῇ μὴ κοινωνεῖν, ὅτι τοῦτο ὁ Θεοῦ κελεύει νόμος. Τί δέ; εἰ μὴ καὶ τῇ τοῦ Θεοῦ θρησκείᾳ τὸ καθαρεύειν ἀνέκειτο, ὑμεῖς ὡς οἱ κάνθαροι [69] ἡδέως ἂν ἐκυλίασθε. Διὸ ὡς ἄνθρωποι ἔχοντές τι πλεῖον τῶν ἀλόγων ζώων, τὸ λογικοὶ [70] εἶναι, τὴν μὲν καρδίαν τῶν κακῶν οὐρανίῳ καθάρατε λογισμῷ, λουτρῷ δὲ πλύνετε [71] τὸ σῶμα. **249** Κατὰ γὰρ τὰ ἀληθῆ τὸ καθαρεύειν, οὐχ ὡς ὅτι προηC γεῖται τῆς κατὰ τὴν καρδιαν καθάρσεως ἡ τοῦ σώματος ἁγνεία, ἀλλ' ὡς [72] ὅτι ἕπεται τῷ ἀγαθῷ τὸ καθάριον. Καὶ γὰρ ὁ διδάσκαλος ἡμῶν ἐνίους τῶν ἐν ἡμῖν [73] Φαρισαίων καὶ γραμματέων, οἵ εἰσιν ἀφωρισμένοι (33) καὶ τὰ νόμιμα ὡς γραμματεῖς τῶν ἄλλων πλεῖον εἰδότες, ὅμως διήλεγχεν αὐτοὺς ὡς ὑποκριτὰς, ὅτι, μόνα τὰ ἀνθρώποις φαινόμενα ἁγνεύοντες, τὰ τῆς καρδίας καθαρὰ καὶ Θεῷ μόνῳ ὁρώμενα παρελίμπανον.

XXIX. Ῥητῇ οὖν ταύτῃ φωνῇ ἐχρήσατο, τὰ ἀληθῆ πρὸς τοὺς ὑποκριτὰς αὐτῶν λέγων [74], οὐ πρὸς πάντας. Ἐνίων γὰρ καὶ ἐπακούειν ἔλεγεν, ὅτι τὴν Μωϋσέως ἐπιστεύθησαν καθέδραν. Πλὴν πρὸς τοὺς ὑποκριτὰς ἔλεγεν· Οὐαὶ ὑμῖν [75], γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταὶ, ὅτι καθαρίζετε τοῦ ποτηρίου D καὶ τῆς παροψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ γέμει ῥύπου [76]. Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τοῦ

(*a*) Matth. XXIII, 2.

VARIÆ LECTIONES.

[64] Ita S, αὐτοῦ C, O. [65] Vbb. ἀδίκῳ δὲ πρὸς τὸ βαπτισθῆναι accesserunt ex O, in cuj. marg. man. rec. τῷ pro τό. [66] πεπραγμένων C. Subinde ἀδίκῳ δ' add. S. c. Rufino *Rec.* VI, 9: *injusto vero*. [67] ἄδειλον O. [68] ὕδατι O. [69] Arist. *Hist. anim.* V, 19, 552, a, 17: Οἱ δὲ κάνθαροι ἣν κυλίουσι κόπρον, ἐν ταύτῃ φωλεύουσί τε τὸν χειμῶνα. S. Tum ἀνεκυλίεσθε p. ἂν ἐκυλίεσθε C. [70] λογικόν C, τῷ λογικοὶ εἶναι conj. S. [71] πλύνατε C. Tum τὸ ἀληθές O. Deinceps fuit lacuna in O inter καθαρεύειν et ὅτι, quam. al. man. partim explevit verbis οὐχ ὡς inscriptis. [72] ἀλλὰ ὡς C. [73] ὑμῖν C. Ottoboniani lect. præsagivit S. [74] λέγων add. c. O. Idem p. ἔλεγεν lacunam præbet. [75] ὑμεῖς O. [76] ῥύπους. C.

VARIORUM NOTÆ.

(33) Ἀφωρισμένοι. Id significat nomen Φαρισαῖοι. Suspecta autem Ebionismi et Judaismi sunt quæ his capitibus dicuntur de lavatione. Cot.

ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὰ ἔξω αὐτῶν [77] καθαρά. Καὶ ἀληθῶς· φωτισθέντος γὰρ τοῦ νοῦ τῇ γνώσει, ὁ μαθὼν δύναται ἀγαθὸς εἶναι, ᾧ παρέπεται τὸ καθαρὸν γενέσθαι· ἐκ τῆς ἔσω γὰρ διανοίας ἡ τοῦ ἔξω σώματος ἀγαθὴ γίνεται πρόνοια. Ὡς ἀπό γε τῆς κατὰ τὸ σῶμα ἀναισθησίας τῆς διανοίας πρόνοια γενέσθαι οὐ δύναται, οὕτως ὁ καθαρὸς καὶ τὸ ἔξω καὶ τὸ ἔσω καθᾶραι **250** δύναται· ὁ δὲ τὰ ἔξω καθαίρων πρὸς ἀνθρώπων [78] τὸν ἔπαινον ἀφορῶν τοῦτο ποιεῖ, καὶ ἐπαίνῳ τῶν ἱστορούντων παρὰ τῷ Θεῷ οὐδὲν ἔχει.

XXX. Τίνι δὲ οὐ φαίνεται, ὅτι κρεῖττόν ἐστι γυναικὶ ἐν γυναικείοις οὔσῃ μὴ συνελθεῖν, ἀλλὰ καθαρθείσῃ καὶ βαπτισθείσῃ; Ἀλλὰ καὶ μετὰ κοινωνίαν βαπτίζεσθαι δεῖ. Εἰ δὲ τοῦτο ποιεῖν ὀκνεῖτε, ἀναπολήσατε πῶς τὰ τῆς ἁγνείας μέρη μετεδιώκετε, ὅτε ἀναισθήτοις εἰδώλοις ἐθρησκεύετε [79]. Αἰσχύνθητε ὅτι ἐνταῦθα, ὅπου ἐχρῆν, οὐ τὸ πλεῖον λέγω, ἀλλὰ μόνον καὶ ὅλον τὸ τῆς ἁγνείας ἀναδέξασθαι, ὀκνηρότεροι γίνεσθε. Νοήσατε οὖν τὸν ἐκεῖ ὑμᾶς πεποιηκότα, καὶ διανοηθήσεσθε τίς ἐστιν ὁ ἐνταῦθα ὄκνον πρὸς ἁγνείαν, ὑμῖν ἐμβάλλων.

XXXI. Ἀλλ' ἐρεῖ τις ὑμῶν. Χρὴ οὖν ἡμᾶς ποιεῖν ὅσα ἐν εἰδώλοις ἐποιοῦμεν; Φημί σοι, οὐχ ὅλα, ἀλλ' ὅσα καλῶς ἐποιεῖτε, καὶ ἐνταῦθα πλεῖον. Ὅ τι γὰρ ἂν καλῶς γίνηται ἐν τῇ πλάνῃ, ἀπὸ τῆς ἀληθείας ἤρτηται, ὡς, εἰ καί τι ἐν τῇ ἀληθείᾳ κακῶς γένοιτο, ἀπὸ τῆς πλάνης ἐστίν. Ἀπολάβετε οὖν ὑμῶν πανταχόθεν τὰ ἴδια, μὴ τὰ ἀλλότρια, καὶ μὴ λέγετε· Εἴ τι ποιοῦσιν οἱ πεπλανημένοι καλὸν, ποιεῖν οὐκ ὀφείλομεν. Τούτῳ γὰρ τῷ λόγῳ, ἐὰν μὴ φονεύῃ τις εἴδωλα σέβων, φονεύειν ὀφείλομεν, ὅτι ὁ ἐν πλάνῃ ὢν οὐ φονεύει [80];

XXXII. Οὐχί· ἀλλά [81] τὸ πλεῖον, ἐὰν οἱ ἐν πλάνῃ μὴ φονεύωσιν, **251** ἡμεῖς μὴ [82] ὀργιζώμεθα· ἐὰν ὁ ἐν πλάνῃ μὴ μοιχεύῃ, ἡμεῖς τὴν ἀρχὴν μηδὲ ἐνθυμηθῶμεν [83]· ἐὰν ὁ ἐν πλάνῃ τὸν ἀγαπῶντα ἀγαπᾷ, ἡμεῖς καὶ τοὺς μισοῦντας· ἐὰν ὁ ἐν πλάνῃ δανείζῃ τοῖς ἔχουσιν, ἡμεῖς καὶ τοῖς μὴ ἔχουσιν. Ἁπαξαπλῶς ὀφείλομεν οἱ τὸν ἄπειρον αἰῶνα ἐλπίζοντες κληρονομεῖν, τῶν τὸν παρόντα μόνον εἰδότων, τῶν ὑπ' αὐτῶν γενομένων καλῶν κρείττω [84] ποιεῖν, εἰδότες, ὅτι, ἐὰν αὐτῶν τὰ ἔργα τοῖς ἡμετέροις ἐν ἡμέρᾳ κρίσεως ἀνακριθέντα ἴσα [85] τῇ εὐποιίᾳ εὑρεθῇ, καὶ ἡμεῖς ἐναισχυνθῆναι ἔχομεν, αὐτοὶ δὲ, διὰ πλάνην τὰ κατ' αὐτὸν [86] ποιήσαντες, ἀπολέσθαι. Τὸ δὲ αἰσχυνθῆναι κατὰ τοῦτο εἴρηκα, ὅτι μὴ πλεῖον ἐποιήσαμεν αὐτῶν ὧν καὶ πλεῖον ἐγνώκαμεν. Εἰ δὲ αἰσχυνθῆναι ἔστιν, τὴν εὐποιίαν αὐτοῖς ἴσην δείξαντας [87] καὶ οὐ πλεῖον, πόσῳ γε [88] μᾶλλον, ἐὰν αὐτῶν τῆς εὐποιίας τὸ ἧττον δείξωμεν;

interius, ut et illorum exteriora munda fiant (a). Et vere. Nam mente per scientiam illustrata, qui didicit potest esse bonus; quam rem consequitur puritas quia ex interiori intellectu fit exterioris corporis bona provisio. Quemadmodum ex corporis neglectu mentis provisio fieri nequit, ita qui purus est, et quod exterius est et quod interius potest purgare: qui vero exteriora purgat, ad hominum laudes aspiciens, id agit, ac propter cernentium laudes nihil a Deo recipit.

XXX. Cui vero non apparet, melius esse ad mulierem menstrua patientem non accedere, sed ad purificatam et lotam? Oportet etiam post concubitum lavari. Quod si hoc facere vos piget, animo repetite, quo pacto castimoniæ munia prosequebamini, quando sensus expertia idola colebatis. Erubescite, quod hic, ubi oportuit, non dico majorem, sed singularem et integram amplecti castitatem, segniores estis. Cogitate igitur eum, qui vos illic constituerat, et intelligetis quis hic vobis segnitiem ad castimoniam immittat.

XXXI. Sed dicet aliquis vestrum: Oportet ergo nos facere quæcunque apud idola egimus. Aio tibi: Non omnia, sed quæcunque bene faciebatis, atque hic majorem in modum. Quidquid enim bene fit in errore, a veritate pendet, sicut et si quid male fiat in veritate, ex errore venit. Recipite igitur quæ undique ad vos pertinent, non quæ sunt aliena, et ne dicatis: Si quid boni faciunt qui errant, facere nos non debemus. Hac siquidem ratione, si non occidat idolorum cultor, debemus occidere, quia qui in errore versatur non occidit?

XXXII. Minime: imo potius, si illi qui erant homicidium non faciunt, nos ne irascamur: si, errans non mœchatur, nos primitus ne quidem concupiscamus: si ille amantem amat, nos etiam inimicos diligamus; si ille mutuum dat iis qui habent, nos etiam non habentibus. Omnino sane debemus, qui æterni sæculi hæreditatem speramus, in bonis operibus superare eos, qui præsens tantum sæculum norunt: gnari quod, si opera illorum cum nostris operibus in die judicii collata paris meriti reperiantur, confusio nobis erit, et illi per errorem quod ad futurum sæculum operati interibunt. Fore autem nobis confusionem, in eo dixi, quod non amplius fecerimus quam illi, quibus amplius intelleximus. Quod si confusio erit, si in operibus bonis nos illis æquales ostendemus, non superiores, quanto magis, si in iisdem operibus nos inferiores exhibuerimus?

(a) Matth. xxiii, 25.

VARIÆ LECTIONES.

[77] αὐτοῦ O. [78] Ita O c. S, ἀνθρώπους C. [79] ἐθρησκεύετε S, O, θρησκεύετε C. [80] Post φονεύει puncto distinguit C. [81] Οὐχὶ ἄλλο C, Οὐχὶ ἀλλὰ S, et Ruf. *Rec.* vi, 13 *non ita est, sed*. Dein ἐάν S, ἵνα O c. C, qui conj. ἵνα εἰ οἱ. [82] μή O et ex conject. C, in cuj. cod. deest. Tum μὴ μοιχεύῃ O, μοιχεύει C, qui quidem recte μή deesse vidit. [83] ἐπιθυμηθῶμεν conj. C., quod non Græcum est. Lectio vulg. recte se habet. S. [84] κρεῖττον C. [85] Ita O et in marg. C, ὅσα in textu. [86] καθ' αὐτῶν C. καθ' αὐτούς leg. putat S. [87] Ita scripsi ratione habita lect. Ottob. δείξαντα, ap. C δείξαντες. Verum jam vidit S. [88] πῶς γε C.

XXXIII. Quod autem vere in die judicii cum bonis operibus errantium comparentur actiones cognoscentium veritatem, nos docuit qui nescit mentiri, dicens ad eos quidem qui negligebant venire et audire illum : *Regina Austri surget cum generatione ista, et condemnabit eam, quia venit a finibus terræ audire sapientiam Salomonis, et ecce plusquam Salomon hic, et non creditis* (*a*). Ad eos vero e populo, qui nolebant ad illius prædicationem agere pœnitentiam, dixit : *Viri Ninivitæ surgent cum generatione hac et condemnabunt illam, quia audientes egerunt pœnitentiam ad prædicationem Jonæ, et ecce plus hic, et nemo credit* (*b*). Sicque ad omnem eorum impietatem opponens ethnicorum bene operantes, in condemnationem eorum qui in vera religione bonorum operum æqualia non faciebant errantibus, admonebat cordatos, ut non solum bonitatem gentilium æquarent operibus, sed etiam vincerent. Mihi autem fluxit hic sermo, occasione accepta ex eo, quod oportet servare tempus purgationis et post concubitum corpus abluere, nec inficiari hanc castimoniam, licet qui a veritate aberrant, illam exsequantur : quandoquidem qui in errore bene agunt, et vere religionis homines condemnant, et non salvantur, quia castitatem colunt propter errorem, non vero propter pietatem in verum Patrem ac Deum cunctorum.

XXXIV. Quod cum dixisset, turbas dimisit, et ex more cum familiaribus cibo sumpto quievit. Ita ergo faciens et quotidie disserens, accessiones firmas legi Dei adduxit, putatos deos cum credita genesi confutans, ostendensque temerarium rerum casum nequaquam esse, sed mundum ex Providentia gubernari.

XXXV. Completis ergo tribus mensibus, cum per dies jussisset me jejunare, ducens ad fontes maris vicinos ut in perenni aqua baptizavit. Sic igitur fratribus nostris feriatis ac lætis pro mihi a Deo concessa secunda nativitate, Petrus paucis post diebus conversus ad presbyteros coram omni Ecclesia præcepit, dicens : Qui misit nos Dominus noster et propheta, narravit nobis, quemadmodum diabolus quadraginta diebus cum eo collocutus, nihilque contra valens, promiserit se ex suis sectatoribus apostolos ad fraudem faciendam missurum. Quare ante omnia memores estote illum apostolum vel magistrum vel prophetam fugere, qui

XXXIII. Ὅτι δὲ ὄντως ἐν ἡμέρᾳ κρίσεως ταῖς τῶν πεπλανημένων εὐποιίαις αἱ τῶν ἀλήθειαν ἐγνωκότων ἰσάζονται πράξεις, αὐτὸς ἡμᾶς ὁ ἀψευδὴς ἐδίδαξεν, εἰπὼν πρὸς μὲν τοὺς ἀμελοῦντας ἐλθεῖν καὶ ἐπακούειν αὐτοῦ· Βασίλισσα νότου ἐγερθήσεται μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτὴν, ὅτι [89] ἦλθεν ἀπὸ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε, καὶ οὐ πιστεύετε. Πρὸς δὲ **252** τοὺς ἐν τῷ λαῷ μὴ θέλοντας μετανοῆσαι ἐπὶ τῷ κηρύγματι αὐτοῦ εἶπεν· Ἄνδρες Νινευῖται [90] ἐγερθήσονται μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι ἀκούσαντες μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον ὧδε, καὶ οὐδεὶς πιστεύει. Καὶ οὕτως πρὸς πᾶσαν ἀσέβειαν αὐτῶν ἀντιπαραθεὶς τοὺς ἀπὸ τῶν ἐθνῶν [91] πεποιηκότας, εἰς κατάκρισιν τῶν ἐν θεοσεβείᾳ μηδὲ τὸ ἴσον καλὸν τοῖς πεπλανημένοις πεποιηκότων, τοὺς ἔχοντας λογισμὸν ἐνουθέτει, μὴ μόνον ὅσα τοῖς ἔθνεσι τὰ καλὰ ἴσως ποιεῖν, ἀλλὰ τὸ πλεῖον. Ὁ δὲ λόγος μοι ἐῤῥύη, πρόφασιν λαβὼν ἐκ τοῦ δεῖν φυλάσσειν τὴν ἄφεδρον, καὶ ἀπὸ κοινωνίας βαπτίζεσθαι, μὴ ἀρνεῖσθαι τὴν τοιαύτην ἁγνείαν, κἂν οἱ πεπλανημένοι αὐτὴν πράττωσιν [92], ὅτε εἰς κατάκρισιν τῶν ἐν θεοσεβείᾳ εἰσὶν οἱ ἐν πλάνῃ ποιοῦντες καλῶς μετὰ τοῦ μὴ σώζεσθαι· ὅτι ἡ τιμὴ τῆς ἁγνείας αὐτῶν ἐστι διὰ τὴν πλάνην, καὶ οὐ διὰ θρησκείαν τοῦ ὄντως Πατρὸς καὶ Θεοῦ τῶν ὅλων.

XXXIV. Τοῦτο δὲ εἰπὼν, ἀπέλυσε τοὺς ὄχλους, καὶ συνήθως ἁλῶν σὺν τοῖς φιλτάτοις μεταλαβὼν, ἡσύχασεν. Οὕτως οὖν ποιῶν καὶ διαλεγόμενος ἑκάστοτε, προσαγωγὰς (34) κατὰ τὸ βέβαιον προσέφερε τῷ τοῦ Θεοῦ νόμῳ, τοὺς νομιζομένους μετὰ τῆς νομιζομένης γενέσεως ἐλέγχων, καὶ ὅτι αὐτοματισμὸς μὲν οὐκ ἔστιν, ἀλλὰ κατὰ Πρόνοιαν διοικεῖται ὁ κόσμος.

XXXV. Τριῶν οὖν μηνῶν πληρωθέντων, νηστεῦσαί μοι κελεύσας ἡμερῶν, **253** ἀγαγών με εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγὰς, ὡς εἰς ἀέναον [93] ἐβάπτισεν ὕδωρ. Οὕτως οὖν εὐωχηθέντων τῶν ἀδελφῶν ἡμῶν ἐπὶ τῇ θεοδωρήτῳ μου ἀναγεννήσει, μετ' οὐ πολλὰς ἡμέρας τοῖς πρεσβυτέροις ἐπιστρέφων ἐπὶ πάσης τῆς Ἐκκλησίας ἐνετείλατο λέγων· Ὁ ἀποστείλας ἡμᾶς Κύριος ἡμῶν καὶ προφήτης ὑφηγήσατο ἡμῖν, ὡς ὁ πονηρὸς τεσσαράκοντα ἡμέρας διαλεχθεὶς αὐτῷ καὶ μηδὲν δυνηθεὶς πρὸς αὐτὸν, ἐκ τῶν αὐτοῦ ἐπηκόων [94] ἐπηγγέλλετο πρὸς ἀπάτην ἀποστόλους πέμψαι. Διὸ πρὸ πάντων μέμνησθε ἀπόστολον [95] ἢ διδάσκαλον ἢ προφήτην φεύγειν

(*a*) Matth. XII, 42. (*b*) Luc, XI, 32.

VARIÆ LECTIONES.

[89] ὅτι om. O. [90] Νινευῖτα O. [91] Post ἐθνῶν addendum fort. εὖ vel καλῶς post πεποιηκότας S. [92] πράττωσιν S O, πράττουσιν C. [93] Ita O c. S, ἀέναον C. [94] Leg. ὑπηκόων S. [95] ἀποστόλους O. Tum addidi φεύγειν ex conjectura, inscripsique lacunæ in O obviæ voc. [ἀκριβῶς]. Tacet C de cod. Parisiensi.

VARIORUM NOTÆ.

(34) Προσαγωγάς προσέφερεν. Ad verbum sic verte : *Divinæ legi firmas adduxit accessiones ;* hoc est, homines nonnullos ita convertit, ut in posterum divinæ revelationi ex animo crederent et adhærerent. DAVIS.

μὴ πρότερον [ἀκριβῶς] ἀντιβάλλοντα αὐτοῦ τὸ κήρυγμα Ἰακώβῳ τῷ λεχθέντι ἀδελφῷ τοῦ Κυρίου μου καὶ πεπιστευμένῳ ἐν Ἱερουσαλὴμ τὴν Ἑβραίων διέπειν Ἐκκλησίαν, καὶ μετὰ [96] μαρτύρων προσεληλυθότα πρὸς ὑμᾶς, ἵνα μὴ ἡ κακία ἡ τῷ Κυρίῳ προσδιαλεχθεῖσα [97] ἡμέρας τεσσαράκοντα, μηδὲν δυνηθεῖσα, ὕστερον, ὡς ἀστραπὴ ἐξ οὐρανοῦ ἐπὶ γῆς πεσοῦσα, καθ' ὑμῶν ἐκπέμψῃ κήρυκα, ὡς οὖν [98] ἡμῖν τὸν Σίμωνα ὑπέβαλε προφάσει ἀληθείας ἐπ' ὀνόματι [99] τοῦ Κυρίου ὑμῶν κηρύσσοντα, πλάνην τε ἐνσπείροντα [100]. Οὗ χάριν ὁ ἀποστείλας ἡμᾶς ἔφη· Πολλοὶ ἐλεύσονται πρός με ἐν ἐνδύμασι [1] **254** προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε [2] αὐτούς.

XXXVI. Καὶ ταῦτα εἰπὼν τοὺς μὲν προπομποὺς [3] ἐξέπεμψεν εἰς Ἀντιόχειαν τῆς Συρίας, ἐκεῖ τὴν ἐπομένην ἐπιμένειν εἰπών. Τῶν οὖν πορευθέντων ὁ Πέτρος πολλῶν πεπεισμένων ὄχλων νόσους, πάθη, δαίμονας ἀπελάσας, καὶ εἰς τὰς ἐν τῇ [4] θαλάσσῃ πλησίον οὔσας πηγὰς βαπτίσας, καὶ εὐχαριστίαν κλάσας [5], Μαροόνην τὸν ἀποδεξάμενον αὐτὸν, ἤδη λοιπὸν τέλειον ὄντα, ἐπίσκοπον καταστήσας καὶ πρεσβυτέρους δώδεκα ὁρίσας καὶ διακόνους δείξας καὶ χηρικὰ συστησάμενος, ὑπέρ τε τοῦ κοινοῦ καὶ [6] συμφέροντος τῆς Ἐκκλησίας τῇ τάξει προσομιλήσας, καὶ τῷ ἐπισκόπῳ Μαροόνῃ πείθεσθαι συμβουλεύσας, ἤδη τριῶν μηνῶν πληρωθέντων τοῖς ἐν Τριπόλει τῆς Φοινίκης ἀποταξάμενος, τὴν ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐπορεύετο ὁδὸν, πάντων ἡμᾶς προπεμπόντων μετὰ τῆς προσηκούσης τιμῆς [7].

ΟΜΙΛΙΑ ΙΒ'.

I. Ἐκβάντες οὖν τὴν Τρίπολιν τῆς Φοινίκης, ὡς ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐλθεῖν, αὐτῆς ἡμέρας ἐν Ὀρθωσίᾳ ἐμείναμεν ἐλθόντες. Καὶ **255** διὰ τὸ πλησίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων τοῦ κηρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες, ἀπήραμεν εἰς Ἀντάραδον [8]. Πολλῶν δὲ τῶν συνοδοιπορούντων ἡμῖν ὄντων, ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσωμίλει λέγων· Ἐπειδὴ πολὺς ὄχλος τῶν συνοδοιπορούντων οὐ μικρὸν φθόνον ἡμῖν εἰσιοῦσι κατὰ πόλιν ἐπισπᾶται, ἀναγκαίως ἐσκεψάμην φροντίσαι, πῶς μήτε οὗτοι λυπηθῶσι κωλυθέντες συνεῖναι ἡμῖν, μήτε ἡμεῖς, περίβλεπτοι γινόμενοι, φθόνῳ τῷ τῆς κακίας ὑποπέσωμεν. Τούτου ἕνεκεν βούλομαί σε τὸν Νικήτην καὶ Ἀκύλαν προοδεύειν μου κατὰ συστήματα δύο σποράδην, μανθάνοντες [9] τὰς τῶν ἐθνῶν εἰσέρχεσθαι πόλεις.

II. Οἶδα δὲ ὅτι ἀθυμεῖτε, τοῦτο ποιεῖν ἀκηκοότες,

A non prius prædicationem suam doctrinamque accurate contulerit cum Jacobo, dicto Domini mei fratre, cui creditum est Ecclesiæ Hebræorum Hierosolymitanæ regimen, nec ad vos venerit cum testibus. Ne forte malitia, quæ cum Domino per quadraginta dies disceptavit, nec quidquam potuit, deinceps velut fulgur e cœlo in terras delapsa contra vos mittat præconem, sicut nobis immisit Simonem, prætextu veritatis in nomine Domini nostri prædicantem atque errorem seminantem. Qua de causa qui misit nos, dixit: ***Multi venient adversus me in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces: a fructibus eorum cognoscetis eos*** *(a)*.

XXXVI. Atque his dictis, eos qui ad præcedendum B fuerant ordinati, in Antiochiam Syriæ emisit, jubens ut ibi tempus secuturum exspectarent. Iis itaque profectis, Petrus ingenti hominum multitudine ad fidem adducta, morbos, ægritudines, dæmones expulit, in fontibus maris vicinis baptizavit, et eucharistiam fregit: cumque Maroonem hospitem suum, jam omnino perfectum, in episcopum constituisset, duodecim presbyteros designasset, fecisset diaconos, quæ ad ordinem viduarum pertinent statuisset, pro communi bono ac de eo, quod Ecclesiæ ordini conducebat, esset collocutus, et consilium dedisset ut episcopo Marooni obedirent, jam tribus mensibus completis, vale dixit Tripolitanis Phœniciæ, et iter versus Antiochiam Syriæ ingressus est, omnibus debito cum honore nos comitantibus.

C

HOMILIA XII.

I. Egressi ergo Tripolim Phœnices, ut Antiochiam Syriæ veniremus, eo die Orthosiam profecti ibi mansimus, et quia est prope urbem, e qua egressi fueramus, cum omnes fere prædicationem evangelicam prius audissent, unum diem illic commorati, Antaradum abiimus. Qui vero multi erant nobiscum iter facientes, Petrus Nicetam et Aquilam allocutus est dicens: Quandoquidem magna comitantium multitudo non parvam invidiam nobis per urbes intrantibus conflat, necessario curandum esse judicavi, ut neque ipsi contristentur, dum prohibentur esse nobiscum, neque nos, dum sumus spectabiles, incidamus in malitiæ invidiam. Quocirca volo te Nicetam atque Aquilam ante me iter habere, D per duos globos sparsim, et clam gentium ingredi civitates.

II. Vobis autem, scio, molestum est, quod id fa-

(*a*) Matth. VII, 15.

VARIÆ LECTIONES.

[96] μὴ μετά conj. Schliemannus *Clem.* p. 535, et S. Tum μαρτυρίων suspicatus est C. Idem subinde προσεληλυθότι, ex conject. προσεληλυθότα. In O προσεληλυθότων. [97] προδιαλεχθεῖσα C. Tum μ' p. τεσσαράκοντα O. [98] νῦν leg. cens. Schliem. *Clem.* p. 90 et S. [99] ὀνόματος O. Deinde τε S, οἱ C. O. [100] ἐνσπείροντα ὑποβάλλῃ C. [1] ἐνδύματι C. Lectionem Ottob. confirmat hic et paulo post Matth. VII, 15. Tum addidi εἰσι c. eodem cod. [2] ἐπιγινώσκετε C. [3] προπόμπους C. [4] τῇ om. O. [5] Ita O et in marg. C., cuj. cod. καλέσας. Liber Ottob. constanter Μαροώνην. [6] ἢ O. Tum τῇ τάξει D., τὴν τάξιν C., O. *Epit.* c. 69 hæc exhibet: Ὑπέρ τε τοῦ κοινοῦ καὶ συμφέροντος καὶ περὶ τῆς κατὰ τὴν Ἐκκλησίαν τάξεως. [7] Vbb. πάντων ἡμᾶς προπεμπόντων μετὰ τῆς προσηκούσης τιμῆς accesserunt ex O. [8] Ἀντάρανδον O. [9] λανθάνοντας vel λανθανόντως conj. et vertit C. τε addi vult S.

ciendum audieritis, duorum non integrorum dierum spatio a me separari. Vos igitur cognoscere volo, quod nos, qui persuasimus, vos qui credidistis multo amplius diligimus, quam vos diligatis nos persuasores. Itaque mutuo amore flagrantes incolumitatis curam geramus pro viribus, non citra rationem facientes quæ cupimus. Ad hæc vero nulla die a me disputante aberitis. Per singulas enim quasque insigniores provinciarum civitates proposui, sicut etiam vos scitis, per dies residere et disceptare. Nunc ergo in Laodiceam nobis proximam præcedite, et post biduum et triduum, quantum ad propositum meum spectat, attingam vos. Ad portas autem vos soli recipite me, metu murmuris, ut sic absque strepitu etiam ingressi una vobiscum simus. Et inde similiter, cum dies ibi aliquot transegerimus, alii pro vobis ulterius per vices præcedent et hospitia præparabunt.

III. Hæc dicente Petro, necessario acquieverunt, dicentes: Non valde nos, domine, contristat hoc agere, quoniam a te jubetur. Primo quidem, quia Dei providentia delectus, dignus qui cuncta præclare cogites atque consulas. Ad hæc vero, quia plerumque per biduum tantum necessitate præcedendi a te aberimus: illud autem spatium quamvis longum sit, dum te non videmus dominum nostrum Petrum, attamen cogitamus, multo molestius laturos, qui longius præmissi sunt, utpote jussos te diutius per urbes exspectare, et anxios quod aspectu desiderabilis vultus tui per multum tempus sint privati. Et nos non minus illis tristes facere quemadmodum jubes propter utilitatem non moramur. Et his dictis præcessere, accepto mandato, ut in primo hospitio alloquerentur multitudinem simul iter agentem, quo sparsim et a se mutuo divisi ingrederentur civitates.

IV. His igitur profectis, ego Clemens valde gavisus sum, quod me secum esse voluisset. Atque hæc ad eum verba profero: Gratias ago Deo, quod me non emiseris, ut alios: nam præ dolore enectus fuissem. Ille vero: Quid autem, inquit, si quæ necessitas exegerit mitti te aliquo doctrinæ gratia, tu quia aliquandiu a me utiliter eris separatus, ideo morieris? Nonne potius, tecum reputans, ferenda esse quæ propter necessitatem tibi imposita sunt, æquo animo sustinebis? Aut ignoras, amicos una esse recordatione, licet corporibus separentur, sicut nonnulli corpore præsentes, quod eorum non recordentur, animo peregrinantur ab amicis?

A ἀπολειπόμενοί [10] μου διάστημα οὐδ' ὅλων ἡμερῶν δύο. Εἰδέναι οὖν ὑμᾶς θέλω, ὅτι πολλαπλάσιον ἀγαπῶμεν ἡμεῖς οἱ πείσαντες ὑμᾶς τοὺς πεισθέντας, ἤπερ [11] ὑμεῖς ἡμᾶς τοὺς πεπεικότας. Ἀλλήλους οὖν στέργοντες, τῷ [12] μὴ ἀλόγως ποιεῖν ἃ θέλωμεν, τῆς ἀσφαλείας, ὅσον τὸ ἐφ' ἡμῖν, φροντίζωμεν. Πρὸς τούτοις δὲ οὐδεμιᾶς ἡμέρας διαλεγομένου μου ἀπολιμπάνεσθε [13]. Εἰς γὰρ τὰς ἐπισημοτέρας τῶν ἐπαρχιῶν πόλεις προῄρημαι, ὡς ἴστε καὶ ὑμεῖς, ἡμερῶν ἐπιμένειν καὶ διαλέγεσθαι. Καὶ τὸ νῦν εἰς τὴν ἐγγυτέραν ἡμῖν Λαοδίκειαν προάξατε, καὶ μεθ' ἡμέρας δύο ἢ τρεῖς, ὅσον ἐπὶ τῇ ἐμῇ προαιρέσει, καταλήψομαι ὑμᾶς. Ἐπὶ δὲ τῶν πυλῶν ἐκδέξασθέ με ὑμεῖς μόνοι, **256** διὰ τὸν θρύλλον [14], ἵνα οὕτως ἀψοφητὶ συνεισελθόντες ἅμα ὑμῖν ὦμεν. Κἀκεῖθεν ὁμοίως μετὰ τὸ ἐπιμεῖναι ἡμερῶν ἄλλοι ἀνθ' ὑμῶν εἰς τὰ ἐπέκεινα κατὰ ἐφημερίας προάξωσιν, τὰς ξενίας ἑτοιμάζοντες. B

III. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ἠναγκάσθησαν συνθέσθαι λέγοντες· Οὐ πάνυ ἡμᾶς, κύριε, λυπεῖ τοῦτο πράττειν, διὰ τὸ ὑπὸ σοῦ κελεύεσθαι. Πρῶτον μὲν, ὅτι πάντα καλῶς νοεῖν [15] τε καὶ συμβουλεύειν ἄξιος ὢν ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας ἐξελέγης· πρὸς τούτοις δὲ ἐπὶ [16] τὸ πολὺ ἡμερῶν δύο ἀνάγκῃ τοῦ προάγειν ἀπολιμπανόμεθά σου· καὶ αὗται μὲν πολλαὶ πρὸς τὸ μή σε τὸν κύριον ἡμῶν ὁρᾷν Πέτρον, πλὴν λογιζόμεθα, ὅτι πλεῖον λυπηθήσονται οἱ πολὺ μακρὰν προπεμπόμενοι, ὡς ἐπὶ πλεῖον ἀναμένειν σε κατὰ πόλιν κεκελευσμένοι [17], ἀνιώμενοι ἐν τῷ ἐπὶ πλεῖον ἐστερῆσθαι τοῦ ὁρᾷν σου τὸ περιπόθητον πρόσωπον. Καὶ ἡμεῖς οὐκ ἔλαττον [18] ἐκείνων ἀθυμοῦντες ὡς κελεύεις διὰ τὸ C συμφέρον ποιεῖν οὐκ ἀντιλέγομεν. Ὁμῶς [19] ταῦτα εἰπόντες προῆξαν, ἐντολὴν ἔχοντες, ἐν τῷ πρώτῳ πανδοχείῳ προσομιλῆσαι τῷ συνοδοιποροῦντι ὄχλῳ, ὅπως σποράδην ἀλλήλων γενόμενοι εἰς τὰς πόλεις εἰσέρχωνται.

IV. Πορευθέντων οὖν αὐτῶν, ἐγὼ Κλήμης μεγάλως ἔχαιρον, ὅτι σὺν **257** αὐτῷ με ἐκέλευσεν εἶναι. Καὶ ἀποκριθεὶς εἶπον· Εὐχαριστῶ τῷ Θεῷ, ὅτι με οὐκ ἐξαπέσταλκας, ὡς τοὺς ἑτέρους, ἐπειδὴ [20] ὀδυνώμενος ἂν διαπεφωνήκειν. Ὁ δὲ [21] ἔφη· Τί δέ; εἰ καὶ χρεία τις ἔσται πεμφθῆναί σέ που [22] μαθημάτων χάριν, σὺ, διὰ τὸ πρὸς ὀλίγον ἀπολιμπάνεσθαί μου συμφερόντως, διὰ τοῦτο τεθνήξῃ; Οὐχὶ δὲ, προσομιλήσας σεαυτῷ φέρειν τὰ διὰ τὴν ἀνάγκην σοι προσταγέντα [23], εὐθύμως ὑποσταίης [24]; Ἢ οὐκ οἶσθα ὅτι σύνεισιν οἱ φίλοι ταῖς D μνήμαις, κἂν τοῖς σώμασιν ἀπολιμπάνωνται [25], ὡς ἔνιοι, συνόντες τοῖς σώμασιν, ἀμνημοσύνης αἰτίᾳ ταῖς ψυχαῖς [26] ἀποδημοῦσι τοῖς φίλοις;

VARIÆ LECTIONES.

[10] ἀπολιπόμενοί C. [11] ἢ εἴπερ p. ἤπερ C. Lectionem in O obviam prævidit D. [12] Ita O c. D., τό C. Tum θέλομεν O. [13] ἀπελιμπάνεσθε O. [14] θλύλλον O. [15] ποιεῖν cod. Reg. 804 et Ruf. [16] ἐπεί O. Tum ἀνάγκη τοῦ προάγειν conj. C., ἀνάγκη τοῦτο προάγειν id. in textu, ut O., ἀνάγκη τοῦ πράττειν τοῦτο cod. Reg. 804 *Epitomes* c. 71 hæc habet: Ἔπειτα δὲ, ὅτι ὡς ἐπιπολὺ ἡμερῶν δύο ἀνάγκη τοῦτο πράττειν ἡμᾶς ἀπολιμπανομένους σου. Fortasse nostro loco post τούτοις δέ addendum ὅτι secundum S. [17] κεκελευσάμενοι O. Tum ἐστερῆσθαι τὸ ὁρᾷν C, minus recte. [18] ἐλάττονα O. [19] Ita S., ὅμως C. O., [20] ἐπεί O., [21] ἢ O., mendose. [22] ποι legi vult S. [23] προσταγέντα cod Reg. 804 et O., προσταθέντα C. in textu, προστεθέντα in marg. [24] Ita O c. cod. Reg. 804, ὑποστέῃς C. Tum οἶσθα cod. Reg. 804 ᾔσθα C, O. Post οἱ O exh. εἰ. [25] ἀπολιμπάνονται C. Tum ἔνιοι O, c. cod. Reg. 804 et *Epit.* c. 72, ἐνίοις C. [26] Ita cod. Reg. 804 et *Epit.* t. c., τὰς ψυχάς C. O.

V. Κἀγὼ ἀπεκρινάμην· Μὴ τοίνυν νομίσῃ, κύριε, A ὅτι τὰ λύπης πάσχειν ἤμελλον ἀνοήτως, ἀλλὰ καὶ πάνυ ὀρθῷ τινι λογισμῷ. Ἐπεὶ γάρ σε, κύριέ μου, ἀντὶ πάντων ἔχω, πατρός τε καὶ μητρὸς καὶ ἀδελφῶν καὶ συγγενῶν, αἴτιόν μοι γενόμενον διὰ τὸν Θεόν τῆς σωζούσης ἀληθείας, ἀντὶ πάντων ἔχων σε παραμυθίας τῆς μεγίστης τυγχάνω. Πρὸς τούτοις, δεδιώς μου καὶ τῆς ἀκμῆς τὴν ἐκ φύσεως ἐπιθυμίαν, ἠγωνίων, μή πως ἀπολειφθείς σου, ἄνθρωπος ὢν νεώτερος, ὅσπερ [27] νῦν οὕτως ἐνστάσεως ἔχω, ὡς ἂν μὴ κατά τινα χόλον Θεοῦ ἀποστῆναί σου ἀδύνατον εἶναι [28], ἥττων **258** ἐπιθυμίας ἔσομαι. Ἀλλ' ἐπειδὴ πολλῷ ἄμεινον καὶ ἀσφαλέστερον συνεῖναί μέ σοι, τούτῳ, ᾧ [29] ὁ νοῦς μου αἰδεῖσθαι εὐλόγως προείληφεν, διὸ πάντη σοι [30] συνεῖναι εὔχομαι. Πρὸς τούτοις δὲ μέμνημαί σου ἐν Καισαρείᾳ εἰπόντος· Εἴ τις βούλεταί μοι συνοδεῦσαι, εὐσεβῶς συνοδευέτω [31]. Εὐσεβῶς δὲ ἔφης, B τὸ μηδένα λυπεῖν κατὰ Θεὸν, οἷον ἀπολιπόντα [32] γονεῖς, γυναῖκα ὁμόφρονα. ἢ ἑτέρους τινὰς τῇ θεοσεβείᾳ προσκειμένους. Ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ εἰ καὶ τὰ μέγιστα χαρίζῃ, τὰς δούλων μοι ὑπηρεσίας συγχωρεῖς ποιεῖν.

VI. Καὶ ὁ Πέτρος, ἀκούσας, γελοιάζων ἔφη· Τί οὖν οἴει, Κλήμης, μὴ ὑπ' αὐτῆς ἀνάγκης σε εἰς δούλων μοι ταγῆναι τόπον; Ἐπεὶ τίς τὰς καλὰς καὶ πολλὰς σινδόνας μετὰ τῶν ἑπομένων μοι δακτυλίων καὶ ὑποδήσεων φυλάξει; Τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα [33] προετοιμάσει, ἅτινα, ποικίλα ὄντα, πολλῶν καὶ τεχνιτῶν [34] δεῖται μαγείρων, καὶ πάντα ἐκεῖνα ὅσα ἐκτεθηλυμμένων [35] ἀνθρώπων ὡς θηρίῳ μεγάλῳ τῇ ἐπιθυμίᾳ ἐκ πάσης πλεονεξίας ποριαθέντα ἑτοιμάζεται; Πλὴν ἡ [36] τοιαύτη σε προαίρεσις ὑπεισῆλθεν, C ἴσως μὴ συνέντα καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον, ὅτι ἄρτῳ μόνῳ καὶ ἐλαίαις χρῶμαι, καὶ σπανίως λαχάνοις, καὶ ὅτι ἱμάτιόν μοι καὶ τριβώνιον (35) ὑπάρχει τοῦτ' [37] αὐτὸ ὃ περιβέβλημαι, καὶ ἑτέρου χρείαν οὐκ ἔχω οὐδὲ **259** ἄλλων τινῶν. Ἐν γὰρ τούτοις καὶ περισσεύομαι. Ὁ νοῦς γάρ μου, τὰ ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ, οὐδὲν τῶν ἐνταῦθα περιβλέπεται. Πλὴν, σοῦ μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, καὶ θαυμάζων ἐπαινῶ, πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων ῥᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυτοῦ ὑπήλλαξας βίον. Ἡμεῖς γὰρ ἐκ παίδων, ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος καὶ κατὰ Θεὸν ἀδελφὸς ὢν ἐμὸς, οὐ μόνον ἐν ὀρφανίᾳ ἀνατραφέντες, ἀλλὰ καὶ ὑπὸ πενίας καὶ κακουχίας εἰς ἐργασίαν [38] ἐθισθέντες, εὐμαρῶς νῦν τὰς τῶν ὁδῶν φέρομεν σκύλσεις. Ὅθεν, εἰ ἐπείθου D

V. Et ego respondi: Noli autem putare, domine, quod istum mœrorem insipienter sim perpessurus, quinimo admodum recta ratione. Quoniam enim te, domine mi, pro omnibus habeo, pro patre, matre, fratribus et cognatis, qui per Deum auctor mihi fuisti agnoscendæ servatricis veritatis, in locum omnium habens te maxima fruor consolatione. Præterea veritus juventutis meæ naturalem concupiscentiam anxius eram, ne forte, qui homo juvenis sum, disjunctus a te (qui nunc ita animum induxi, ut absque divina quadam ira non possim a te divelli), a cupiditate vincerer. Sed quia multo melius ac tutius est, me manere upud te, hominem quem animus meus merito revereri instituit, idcirco omnino tecum esse opto. Ad hæc memini te apud Cæsaream dixisse: Se quis vuli me comitari, pie comitetur. Pie autem dicebas, neminem tristitia secundum Deum afficere, velut relinquendo parentes, uxorem unanimem, aut alios veræ religioni addictos. Unde ego prorsus tibi sum aptus itineris comes, a quo si maximam velis inire gratiam, ministeria servorum obire mihi concedes.

VI. Hoc audito, Petrus subridens ait: Quid ergo putas, Clemens, quod non ipsa necessitate tu in servorum locum mihi redigeris? Nam qui elegantes ac multas sindones cum adjunctis annulis et calceis mihi custodiet? Quis vero et suavia exquisitaque opsonia præparabit, quæ cum varia sint, multos ac peritos postulant coquos: et omnia illa, quæ apud effeminatos homines cupiditati, tanquam immani bestiæ, per omnem quæsita luxum ac fraudem parantur? Sed forsan hoc te subiit propositum, quia non intellexeris atque ignores vitæ meæ rationem, qui pane solo et olivis utor, rareque oleribus, quique vestimentum ac pallium habeo hoc ipsum quo amictus sum, et alio opus non habeo, neque ulla re. Nam in his etiam abunde mihi est. Mea quippe mens cernens illic omnia bona æterna, nihil eorum quæ hic sunt aspicit. Attamen tuum egregium approbo institutum, mirorque ac laudo, quo modo cum sis vir in vita sumptuosa educatus, facile vivendi rationem immutaveris et ad sola necessaria traduxeris. Nos enim a puero, ego et Andreas, qui ejusdem mecum sanguinis est, meusque secundum Deum frater, non solum in pupillatu educati, verum etiam propter inopiam et ærumnas ad laborem assuefacti, expedite nunc iti-

VARIÆ LECTIONES.

[27] ὅσπερ D, ὅπερ C, O. Tum ὡς ἂν μή D. κἂν C, O, ὡς — εἰ μὴ — *Epit.* c. 73, ὡς κἂν conj. S. Deinceps ἀποστῆναί O. c. *Epit.* l. c., ἀποστεῖν C. [28] Ita *Epit.*, εἰ C. O. [29] τούτ...ς (sic) pro τούτῳ ᾧ O. [30] πάντοτέ σοι O. [31] εὐσεβῶς συνοδευέτω om. O. Idem λυπεῖν c. cod. Reg. 804, λυποῦν C, λυπῆσαι *Epit.* c. 73. [32] Ita *Epit.* l. c., ἀπολιπών C O. [33] ὄψα *Epil* c. 74 et O, ὄψη C. [34] τεχνικῶν epit. [35] ἐκτεθηλυμένων S. [36] πλὴν εἰ cod. Reg. 804 et O. Tum συνιέντα epit [37] τοῦτο C. [38] ἐργατείαν cod. Reg. 804 et O.

VARIORUM NOTÆ.

(35) Τριβώνιον Tribunarium dicitur non semel in Narratione de Apollonio Tyrio, Augustæ Vindelicorum edita, pro tribonarium: *Ne despicias tribunarii paupertatem.* Est autem τριβώνιον seu τριβόνιον grammaticorum filiis τὸ παλαιὸν καὶ τετριμμένον τὸ ἱμάτιον· κατατετριμμένον ῥάκος· παλλίον In Ausonio, epigramm. 52, *tribon*. Paulo ante Diber Regis, πλὴν εἰ τοιαύτη. Et sub finem capitis, ἐργαστείαν. Cot.

nerum vexationes ferimus. Quare si crederes mihi, servorum officia me, hominem operarium, tibi impendere concederes.

VII. At ego hæc audiens contremui et collacrymavi, quod talem habuisset orationem vir quo cuncti hujus ætatis homines ratione scientiæ ac pietatis minores sunt. Tum ille lacrymantem me videns causam lacrymarum percontabatur. Et ego respondi: Quid tantum peccavi, ut mihi hujusmodi proferres sermonem? Et Petrus excepit: Si malum est, quod dixi, ut serviam tibi, tu prior peccasti, hoc mihi postulans facere. Et ego: Non est, inquam, simile: me enim hoc agere decet omnino, te autem, qui es Dei præco et nostras servas animas, id mihi facere grave est. Et Petrus respondit: Acquiescerem tibi, cum Dominus noster, qui ad salutem totius mundi venit, unusque omnium est nobilissimus, servitutem sustinuerit, ut nos suaderet non erubescere fratribus nostris servorum exhibere ministeria (*a*) quamvis admodum nobiles simus. Tum ego dixi: Si putem, quod te sim superaturus oratione, stultus sum: verumtamen ago gratias providentiæ Dei, quia parentum loco habere te merui.

VIII. Et Petrus interrogavit: Nemone vere ex genere tibi superest? Respondi: Sunt quidem multi et potentes viri, atque ex prosapia Cæsaris. Nam patri meo, utpote una educato, cognatam Cæsar ipse junxit uxorem, de qua tres liberi orti sumus, duo quidem ante me, qui cum essent gemini, admodum sibi invicem similes erant, ut ipse pater aiebat mihi: ego enim neque illos neque genitricem valde novi, sed quasi per somnium obscuram eorum formam recolo. Mater ergo mea Mattidia dicebatur, pater autem Faustus, fratrum vero alter Faustinus voçabatur, alter dicebatnr Faustinianus. Cum igitur tertius ego post eos natus essem, mater (quemadmodum pater meus referebat) somnium vidit, quod nisi confestim duobus filiis suis geminis assumptis urbem Romam fuisset egressa, et abfuisset annis duodecim, ipsa cum iis letho pessimo esset interitura.

IX. Pater igitur, qui liberorum amans erat, cum servis et ancillis, ac dato sufficienti viatico, in na-

A μοι, ἐμοὶ ἂν συγκεχωρήκεις, ἀνδρὶ ἐργάτῃ, σοὶ τὰ δούλων ἀποπληροῦν μέρη.

VII. Ἐγὼ δὲ ἀκούσας σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς, οἷον λόγον εἶπεν ἀνὴρ, οὗ πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι τῷ τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ ἥττους [39] τυγχάνουσιν. Ὁ δὲ, ἰδών με σύνδακρυν, τῶν δακρύων ἐπύθετο τὴν αἰτίαν. Κἀγὼ ἔφην· Τί τοιοῦτον ἥμαρτον, ἵνα μοι τοιοῦτον [40] εἴπῃς λόγον; Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἰ μὲν κακῶς εἴρηκα τὸ δουλεῦσαί σοι, σὺ πρῶτος ἥμαρτες, τοῦτ' [41] ἐμοὶ ποιῆσαι ἀξιώσας. Κἀγὼ ἔφην· Οὐχ ὅμοιόν ἐστιν· ἐμοὶ μὲν γὰρ τοῦτο ποιεῖν πρέπει πάνυ, σοὶ δὲ τῷ τοῦ Θεοῦ κήρυκι τὰς ἡμετέρας σώζοντι ψυχὰς χαλεπὸν τοῦτο ποιεῖν ἐμοί. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Συνεθέμην ἄν σοι, ἐπὶ [42] B ὁ Κύριος ἡμῶν, ὁ ἐπὶ σωτηρίᾳ **260** παντὸς τοῦ κόσμου ἐληλυθὼς, μόνος ὑπὲρ πάντας εὐγενὴς ὢν, δουλείαν ὑπέμεινεν, ἵνα ἡμᾶς πείσῃ μὴ αἰδεῖσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰς δούλων ποιεῖν ὑπηρεσίας, κἂν πάνυ εὐγενεῖς τυγχάνωμεν. Κἀγὼ ἔφην· Εἰ μὲν νομίζω σε νικῆσαι [43] λόγῳ, ἀνόητός εἰμι, πλὴν χάριν ἔχω τῇ τοῦ Θεοῦ προνοίᾳ, ὅτι σε εἰς γονέων τόπον ἔχειν κατηξιώθην.

VIII. Καὶ ὁ Πέτρος ἐπυνθάνετο· Οὐδεὶς δέ σου [44] ἀληθῶς πρὸς γένους [45] ὑπάρχει; Κἀγὼ ἀπεκρινάμην· Εἰσὶ μὲν πολλοὶ καὶ μεγάλοι ἄνδρες. Καίσαρος πρὸς γένος ὄντες. Ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ συντρόφῳ αὐτὸς Καῖσαρ συγγενίδα [46] προσηρμόσατο γυναῖκα, ἀφ' ἧς τρεῖς ἐγενόμεθα υἱοὶ, δύο μὲν πρὸ ἐμοῦ, οἳ καὶ δίδυμοι ὄντες πάνυ ὅμοιοι ἀλλήλοις ἐτύγχανον, ὡς C αὐτὸς ὁ πατὴρ ἔλεγέ μοι. Ἐγὼ γὰρ οὔτε αὐτοὺς, οὔτε τὴν τεκοῦσαν πάνυ ἐπίσταμαι, ἀλλ' ὥσπερ δι' ὀνείρων ἀμαυρὸν αὐτῶν τὸ εἶδος ἀναφέρω. Ἡ μὲν οὖν μήτηρ μου Ματτιδία [47] (36) ἐλέγετο, ὁ δὲ πατὴρ Φαῦστος, τῶν δὲ ἀδελφῶν καὶ αὐτῶν ὁ μὲν Φαυστῖνος ἐκαλεῖτο, ὁ δὲ Φαυστινιανὸς ἐλέγετο. Ἐμοῦ οὖν τρίτου ἐπιγεννηθέντος αὐτοῖς, ἡ μήτηρ ὄνειρον ἑωράκει, ὥσπερ ὁ πατήρ μου ὑφηγεῖτο, ὅτι, ἐὰν μὴ, τοὺς διδύμους υἱοὺς αὐτῆς ἐξαυτῆς παραλαβοῦσα, τὴν Ῥωμαίων πρὸς ἀποδημίαν ἐξέλθῃ [48] πόλιν ἐπ' ἔτη δώδεκα [49], πανολεθρίῳ μόρῳ ἅμα αὐτοῖς ἀποθανεῖν ἔχει.

261 IX. Ὁ μὲν οὖν πατὴρ, φιλότεκνος ὢν, σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς καὶ εἰς

(*a*) Matth. xx, 28.

VARIÆ LECTIONES.

[39] Ita *Epit.* c. 75 et O, ἥττονες cod. Reg. 804, ἧττον C. [40] Post τοιοῦτον repetuntur vbb. ἥμαρτον ἵνα μοι τοιοῦτον in O. [41] τοῦτο C. [42] Rufinus hæc ita interpretatur: *Acquiescerem tibi, nisi Dominus noster — passus esset*, quasi legerit εἰ μή S. [43] νικήσειν *Epit.* [44] σοι *Epit.* c. 76, quod præferendum esse videtur. Cfr. hom. xii, 15. [45] Ita O c. *Epit.* l. c. et cod. Reg. 804. Huc accedit ed. pr. Cotelerii, cujus πρὸς γένους in utraque Clerici ed. permutatum est cum πρὸς γένος. Unde Schweglerus emendandus. [46] αὐτὸν Καῖσαρ συγγενῆ O. *nobilis adæque familiæ* Rufinus, quasi legisset συνευγενίδα C. [47] Ita O c. C et cod. Reg. 804. Ματθιδία *Recogn.* et *Epit.* [48] ἐξέλθοι C. [49] δέκα, C, Ruf., epit. c. 76. Tum πανωλεθρίῳ O et *Epit.* l. c. In cod. Reg. 804 ἔχοι p. ἔχει.

VARIORUM NOTÆ.

(36) Ματτιδία Sic quoque sæpe dictus dicendusque codex. At in *Recognitionibus* et *Epitome*, impressis manuque exaratis, Ματθιδία, Mattidia, quo modo apud Nicephorum, et Græci in Menæo. Excipe tamen membranas *Recognitionum* penes P. Petitum: exhibent enim *Mathidia*. Chronologus Altissiodorensis monachus *Matidiam* vocat. Ultima capitis voce codex, ἔχοι. Cot.

A πλοῖον ἐμβαλόμενος [60], εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμψεν [51], ἐμὲ δὲ μόνον υἱὸν εἰς παραμυθίαν ἔσχε μεθ' ἑαυτοῦ. Καὶ ἐπὶ τούτῳ [52] εὐχαριστῶ πολλὰ, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ κεκελεύκει ἅμα τῇ μητρὶ τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. Περαιωθέντος οὖν ἐνιαυτοῦ ὁ πατὴρ ἔπεμψεν εἰς Ἀθήνας χρήματα τοῖς αὐτοῦ, ἅμα τε καὶ μαθεῖν [53] τὸ πῶς διάγουσιν. Οἱ δὲ ἀπελθόντες οὐχ ὑπέστρεψαν. Τρίτῳ δὲ ἐνιαυτῷ ὁ πατὴρ ἀθυμῶν ἑτέρους ὁμοίως ἔπεμψε [54] μετ' ἐφοδίων, οἵτινες τετάρτῳ ἐνιαυτῷ ἦλθον ἀγγέλλοντες, μήτε μου τὴν τεκοῦσαν ἢ τοὺς ἀδελφοὺς ἑωρακέναι, μήτε μὴν αὐτοὺς [55] Ἀθήναις ἐπιδεδημηκέναι, μήτε ἄλλου τινὸς τῶν σὺν αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος [56] εὑρηκέναι.

X. Ὁ μὲν οὖν πατὴρ, ταῦτα ἀκούσας, καὶ ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος, καὶ οὐκ εἰδὼς B ποῦ ὁρμήσας ἐπὶ ζήτησιν αὐτῶν γένηται, ἐμέ τε παραλαβὼν καὶ εἰς πόρτον καταβὰς, πολλῶν πυκνότερον ἐπυνθάνετο, ποῦ ἕκαστος αὐτῶν εἶδεν [57] ἢ ἤκουσεν ἀπὸ τεσσάρων ἐτῶν [58] γενόμενον ναυφράγιον. Καὶ ἄλλος ἀλλαχῇ ἔλεγεν. Ὁ δὲ ἀντεπυνθάνετο, εἰ ἑωράκασι σῶμα γυναικὸς μετὰ βρεφῶν ἐκβεβρασμένον. Τῶν [59] οὖν πολλὰ **262** λεγόντων ἑωρακέναι πτώματα κατὰ πολλοὺς τόπους [60], ὁ πατὴρ ἀκούων ἐστέναξεν. Πλὴν ὑπὸ σπλάγχνων θορυβούμενος ἀλόγιστα ἐπυνθάνετο, ὅτι τοσοῦτον μέγεθος θαλάττης ἐρευνᾷν ἐπειρᾶτο. Πλὴν συγγνωστὸς ἦν [61], ὅτι τῇ πρὸς τοὺς ζητουμένους στοργῇ ἐλπίσιν ἐβουκολεῖτο κεναῖς. Καὶ δήποτε ὑπὸ φροντιστὰς ποιήσας με καὶ εἰς Ῥώμην καταλείψας δωδεκαετῆ, αὐτὸς, δακρύων εἰς πόρτον κατελθὼν καὶ εἰς πλοῖον ἐμβὰς, ἀναχθεὶς, ἐπὶ τὴν ζήτησιν ἐπορεύθη. Καὶ ἔκτοτε εἰς τὴν σή- C μερον ἡμέραν οὔτε γραμματα ἐδεξάμην παρ' αὐτοῦ, οὔτε εἰ ζῇ εἴτε [62] τέθνηκε σαφῶς ἐπίσταμαι. Μᾶλλον δὲ ὑπονοῶ ὅτι καὶ αὐτὸς τέθνηκέ που [63], ἢ ὑπὸ λύπης νικηθεὶς ἢ ναυαγίῳ περιπεσών. Τούτου [64] δὲ δεῖγμα, ὅτι ἤδη λοιπὸν ἔκτοτε εἰκοστὸν ἔτος ἐστὶν, ἀφ' ἧς [65] οὐδεμίαν τινὰ περὶ αὐτοῦ ἀλήθειαν ἤκουσα.

XI. Ὁ δὲ Πέτρος, ἀκούων ταῦτα, ὑπὸ συμπαθείας ἐδάκρυσεν, καὶ εὐθέως τοῖς συνοῦσι γνησίοις ἔφη· Ταῦτα εἴ τις πεπόνθειεν [66] θεοσεβὴς, οἷα ὁ τούτου πέπονθε πατὴρ, εὐθέως τῷ τῆς θεοσεβείας λόγῳ τὴν αἰτίαν προσῆπτεν ἐπιγράφων τὸν πονηρόν [67]· οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσι συμβαίνει πάσχειν, καὶ ἀγνοοῦμεν οἱ θεοσεβεῖς. Ταλαιπώρους δὲ αὐτοὺς εὐλόγως εἴρηκα, ὅτι ἐνταῦθα ἀλῶνται καὶ τῆς ἐκεῖ ἐλ- D πίδος οὐ τυγχάνουσιν. Οἱ **263** γὰρ ἐν θεοσεβείᾳ πάσχοντες τὰ θλιβερὰ εἰς ἔκπραξιν παραπτωμάτων πάσχουσιν.

vem conjectos Athenas etiam erudiendos misit; me vero solum filium ad consolationem secum retinuit. Atque eam ob rem ingentes gratias ago, quod me quoque somnium non jusserit una cum matre urbe Roma excedere. Anno igitur completo, pater ad suos Athenas misit pecuniam, simulque sciscitatum quo modo agerent. Qui vero abierunt, non reversi sunt. Tertio autem anno mœstus pater alios ablegavit similiter cum rebus ad victum necessarii, qui quarto anno regressi nuntiant, neque meam matrem se, neque fratres vidisse, sed neque ipsos Athenas pervenisse, neque usquam alicujus, qui cum ipsis fuerant, vel vestigium a se repertum.

X. Pater ergo hæc audiens et multa tristitia obstupefactus, nesciensque quo tenderet ac illos quæreret, assumpto me, ac in portum descendens, multos frequentius percontabatur, ubi quisque eorum vidisset vel audiisset a quatuor annis naufragium contigisse. Atque varii vario in loco accidisse referebant. Ille vero iterum rogabat, num vidissent corpus mulieris cum pueris a mari ejectum. Cumque illi multa se multis locis cadavera vidisse dicerent, pater audiens ingemiscebat. Verum naturali affectu perturbatus præter rationem sciscitabatur, qui tantam maris vastitatem scrutari conaretur. Attamen venia dignus erat, quod charitate erga eos, quos quærebat, spebus lætaretur inanibus. Denique me sub magistris positum, annos natum duodecim, Romæ reliquit, et ipse flens descendit ad portum, navique conscensa subvectus ad inquisitionem profectus est. Atque ex eo tempore usque in hodiernum diem neque litteras ejus accepi, neque si vivat aut defunctus sit certo novi. Sed magis suspicor illum quoque obiisse, aut tristitia victum, aut naufragio, involutum. Cui rei argumento est, jam ab eo tempore vigesimum annum esse, ex quo nihil de eo veri audiverim.

XI. Petrus vero hæc audiens, commiserationis affectu lacrymas fudit: statimque ad familiares qui aderant ait: Hæc si quis in Dei cultu positus pertulisset, quæ hujus pertulit pater, confestim religioni attribuisset causam, et diabolo ascripsisset. Ita etiam miseris gentilibus contingit pati, et ignoramus qui pii erga Deum sumus. Miseros autem eos dixi merito, qui et hic vagantur in erroribus et ab spe futura fraudantur. Dei enim cultores cum incommoda patiuntur, ad expiationem delictorum perferunt.

VARIÆ LECTIONES.

[50] ἐμβαλλόμενος C. [51] ἐξέπεμψας O, mendose. [52] ἐπὶ τοῦτο var. lect. ap. C. Scriptura Ottoboniani nec plena est, neque certa. [53] Post μαθεῖν excidit fortasse γλιχόμενος, quod addit *Epit*. S. [54] ἔπεμψεν ὁμοίως C. [55] αὐτοὺς *Recogn*. VII, 9, αὐταῖς C. O. Tum μήτε S., μηδὲ C. O. [56] ἴχνος O. [57] Ita O c. S. ἴδεν C. Tum ἤκουσαν O. [58] ἐνιαυτῶν O. Iu eodem deest ναυφράγιον. Cod. Reg. 804 et *Epit*. scr. ναυάγιον Sed hom. xv, 3 legitur ναυαγία. Tum ἄλλο p. αλλος O. [59] τήν O. [60] τόπους O. c. cod. Reg. 804. τρόπους C. [61] οὖν O. Tum πρό p. πρός idem. [62] ἤ C. [63] που om. O. Tum ναυφραγίῳ C. [64] τούτου S., ex *Epit*., τοῦτο C. O. [65] ἀφ' οὗ *Epit*., ἀφ' ὧν O, qui tum om. τινά, scribitque ἀλήθεια. [66] πεπόνθει S. In O esse videtur πέπονθοι ἐν θεοσεοείᾳ p. π. θεοσεβής. [67] τῷ πονηρῷ cod. Reg. 804 et *Epit*. Sed cfr. hom. IX, 16, 17, 18. Ad oram Ottoboniani hoc scholion exstat: ἴσως δεῖ προάπτειν πρὸς τὴν σύνταξιν ἐπιγράφων τὸν πονηρόν.

XII. Ista postquam dixisset Petrus, unus ex nostris audacia sumpta pro omnibus rogavit eum, ut die crastina maturius in Aradum, oppositam insulam, quæ triginta, opinor, nec totis stadiis distat, navigaremus, ad videndas ibi duas columnas viteas maximam molem habentes. Petrus ergo, ut erat clementissimus, concessit, dicens: Cum e navi egressi fueritis, ne una multi procedatis ad spectationem eorum quæ cupitis: nolo enim civium concursus ad vos fieri. Atque sic navigantes momento horæ in insulam delati sumus. Et descendentes ex scapha eo agressi sumus, ubi erant columnæ viteæ; simulque cum columnis alius aliud ex Phidiæ operibus spectabat.

XIII. Unus autem Petrus necesse non putavit quæ ibi erant invisere, sed attentius considerans mulierem quamdam, extra pro foribus sedentem et victus gratia mendicantem: Mulier, inquit, quod tibi membrum deest, ut tantam contumeliam susceperis, petendi, inquam, stipem et non potius manibus tuis, quas a Deo accepisti, operans quotidianum cibum quæris? At illa suspirans respondit: Utinam mihi quidem essent manus, quæ possent laborare! nunc autem mihi solam manuum speciem servant, cum sint emortuæ, morsibus meis vexatæ. Et Petrus interrogavit: Quæ vero fuit causa, ut grave hoc malum sustineres? Tum illa respondit: Animi imbecillitas, nec aliud quidquam. Si enim forti animo fuissem prædita, erat præcipitium, erat pelagus, unde me dejiciens poteram malis dolorem mihi afferentibus finem imponere.

XIV. Tum Petrus infit: Et quid? Putasne mulier, quod qui semetipsos perimunt, omnino a suppliciis liberantur, annon potius animæ eorum, qui ita moriuntur, majoribus puniuntur apud inferos pœnis, propter sui homicidium? At illa: Utinam, inquit, persuasum mihi esset, revera in inferis animas vivas reperiri; utique contemptis pœnis mori eligerem, ut horam saltem unam viderem mihi exoptatissimos. Et Petrus dixit: Quidnam sit, quod te excruciet, scire velim, mulier. Si enim me docueris, pro ea gratia certam te faciam de animæ vita apud inferos, et pro præcipitio vel profundo medicamentum tradam ut sine cruciatu valeas vitam commutare.

XV. Tunc mulier, quæ ambiguum sermonem non intelligeret, promissione gratanter accepta cœpit dicere hunc in modum: Genus quidem et patriam

A XII. Ταῦτα τοῦ Πέτρου εἰπόντος εἷς τις τῶν ἐν ἡμῖν τολμήσας ἀντὶ πάντων παρεκάλεσεν αὐτὸν, αὔριον ὀρθριαίτερον [68] (37) εἰς Ἄραδον, τὴν κατέναντι νῆσον, εἰσπλεῦσαι, τριάκοντα, οἶμαι, οὐδ' ὅλους ἀπέχουσαν σταδίους, ὡς ἐπὶ ἱστορίᾳ τῶν ἐκεῖ ἀμπελίνων δύο στύλων μέγιστα ἐχόντων πάχη. Ὁ οὖν πειθήνιος Πέτρος συνεχώρησεν εἰπών. Ἐπὰν τοῦ πλοίου ἐκβῆτε, μὴ ἅμα πολλοὶ εἰσέρχεσθε εἰς τὴν θεωρίαν ὧν ἐπιθυμεῖτε· οὐ γὰρ βούλομαι στρέμματα γίνεσθαι εἰς ὑμᾶς [69] τῶν πολιτῶν. Καὶ οὕτω [70], πλεύσαντες ῥοπῇ ὥρας, κατήχθημεν εἰς τὴν νῆσον. Ἐκβάντες δὲ τοῦ σκάφους, εἰσῄειμεν ἔνθα οἱ ἀμπέλινοι στῦλοι ἦσαν, ὁμῶς [71] ἅμα αὐτοῖς ἄλλος ἄλλο τι [72] τῶν Φειδίου ἔργων ἐθεώρει.

XIII. Πέτρος δὲ μόνος οὐκ ἀναγκαῖον ἡγήσατο ἐπὶ B τὴν τῶν ἐκεῖ ἱστορίαν [73] γενέσθαι, γυναικὶ δέ τινι ἔξω πρὸ τῶν θυρῶν καθεζομένῃ καὶ τροφῆς χάριν μεταιτούσῃ πυκνὰ, κατανοήσας, ἔφη· Γύναι, τί σοι τῶν μελῶν λείπει, ὅτι τοσαύτην ὕβριν ἀνεδέξω, λέγω δὴ τὸ προσαιτεῖν, καὶ μὴ μᾶλλον ταῖς ὑπὸ Θεοῦ [74] σοι δεδωρημέναις χερσὶν ἐργαζομένη τὰς ἐφημέρους πορίζῃ [75] τροφάς; Ἡ δὲ, στενάξασα, ἀπεκρίνατο· Εἴθε γὰρ ἦσάν μοι χεῖρες ὑπουργεῖν **264** δυνάμεναι! νῦν δέ μοι σχῆμα μόνον χειρῶν φυλάσσουσιν, νεκραὶ τυγχάνουσαι, ὑπὸ δηγμάτων ἐμῶν βεβασανισμέναι. Καὶ ὁ Πέτρος ἐπύθετο· Τίς δὲ ἡ αἰτία τοῦ σε τὸ χαλεπὸν τοῦτο πεπονθέναι [76]; Ἡ δὲ ἀπεκρίνατο· Ψυχῆς ἀσθένεια καὶ πλέον οὐθέν. Εἰ γὰρ ἀνδρεῖον εἶχον φρόνημα, ἦν κρημνὸς, ἦν [77] βυθὸς, ὅθεν ἐμαυτὴν ῥίψασα, τῶν ὀδυνώντων με παύσασθαι ἠδυνάμην κακῶν.

C XIV. Καὶ ὁ Πέτρος ἔφη· Τί οὖν; οἴει, γύναι, ὅτι πάντως οἱ ἀναιροῦντες ἑαυτοὺς κολάσεως ἀπαλλάσσονται, ἢ μήτι [78] χείρονι κολάσει ἐν ᾅδῃ αἱ τῶν οὕτως θνησκόντων ψυχαὶ περὶ τῆς αὐτοκτονίας κολάζονται; Ἡ δὲ ἔφη [79]· Εἴθε ἐπεπείσμην, ὅτι ὄντως ἐν ᾅδῃ ψυχαὶ εὑρίσκονται ζῶσαι, καὶ ἠγάπων, τῆς κολάσεως καταφρονήσασα, θανεῖν, ὅπως τοὺς ἐμοὺς περιποθήτους ἴδω [80] κἂν μίαν ὥραν! Καὶ ὁ Πέτρος ἔφη· Τί ἄρα ἐστὶ τὸ λυποῦν σε, μαθεῖν ἤθελον, γύναι. Ἐὰν γάρ με διδάξῃς, ἀντὶ ταύτης τῆς χάριτος πληροφορήσω σε, ὅτι ἐν ᾅδῃ ζῶσιν αἱ ψυχαὶ, καὶ ἀντὶ κρημνοῦ ἢ βυθοῦ φάρμακον δώσω [81], ὅπως ἀβασανίστως τοῦ ζῆν τὸν βίον (38) μεταλλάξαι δυνηθῇς.

XV. Καὶ ἡ γυνὴ, τὸ ἀμφιβόλως ῥηθὲν μὴ συνεῖσα, D ἐπὶ τῇ ὑποσχέσει ἡσθεῖσα, τοῦ λέγειν ἤρξατο οὕτως· Γένος μὲν καὶ πατρίδα εἰπεῖν [82], οὐκ **265** οἶμαι πεῖσαι

VARIÆ LECTIONES.

[68] Ita O. c. S, ὀρθρίτερον C. [69] ὁμᾶς O c. cod. Reg. 804 et *Epit.* c. 80, ἡμᾶς C. [70] οὕτως C. [71] Ita S, ὅμως C, O. [72] ἄλλο ἀλλότι O. [73] ἱστορία O, in quo deinde θυρωρῶν. [74] ὑπὸ τοῦ Θεοῦ C. [75] πορίζεις C. [76] πεποιηκέναι O. [77] ἢ C. [78] Μὴ τῇ p. μήτι C. [79] O, bis exh. ἔφη [80] εἴδω O. [81] δώσω S. O, δῶ C. [82] Fort. εἰποῦσα S.

VARIORUM NOTÆ.

(37) Insulam Aradum, urbi Antarado ex adverso sitam, memorant Herod. VII, 98. Strab. XVI, 753. Casaub. SCHWEGL.

(38) Videtur τὸν βίον esse interpretatie τοῦ ζῆν. Est autem ἀμφίβολον, quia quod Petrus intelligebat de mutatione vitæ in melius, id Matthidia de commutatione vitæ cum morte interpretabatur. Lege cap. 18. COT. Fallitur C, cum τὸν οἶον interpretationem esse censet τοῦ ζῆν, nam βίον ζῆν dicunt Plato optimique scriptores alii. Licet igitur hæ voces in *Epit.* cap. 82 et infra c. 18 non exstent, omnino tamen sunt retinendæ. DAVIS.

ποτε δυνηθῆναί τινα. Πλὴν καὶ σοὶ τί διαφέρει τοῦτο μαθεῖν, ἢ μόνον [88] τὴν αἰτίαν, ἧς ἕνεκεν ὀδυνωμένη δήγματι τὰς ἐμὰς ἐνέκρωσα χεῖρας· πλὴν τὰ κατ' ἐμαυτὴν, ὡς δυνατὸν ἀκοῦσαί σε, διηγήσομαι. Ἐγὼ, πάνυ εὐγενὴς ὑπάρχουσα, δυνάστου [84] τινὸς προσταγῇ ἀνδρὶ πρὸς γένους αὐτῷ ὑπάρχοντι ἐγενόμην γυνή. Καὶ μετὰ δίδυμα τέκνα ἔσχον ἕτερον υἱόν. Ὁ δὲ τοῦ ἐμοῦ ἀνδρὸς ἀδελφὸς μανεὶς οὐκ ἔλαττον ἠράσθη μου τῆς ταλαιπωρου [85], σφόδρα σωφρονεῖν ἀγαπώσης. Καὶ βουλομένη [86] μήτε τῷ ἐραστῇ συνθέσθαι, μήτε τῷ ἐμῷ ἀνδρὶ ἀναθέσθαι τὸν τοῦ ἀδελφοῦ αὐτοῦ πρὸς ἐμὲ ἔρωτα, ἐλογισάμην, ἵνα [87] μήτε μοιχησαμένη ἐμαυτὴν μιανῶ, μήτε τοῦ ἐμοῦ ἀνδρὸς τὴν κοίτην ὑβρίσω, μήτε τῷ ἀδελφῷ τὸν ἀδελφὸν πολέμιον καταστήσω, μήτε ὅλον γένος μέγα ὂν εἰς ὀνειδισμὸν πᾶσιν ὑποβαλῶ [88]· ὡς ἔφην, ἐλογισάμην τὴν πόλιν μετὰ τῶν ἐμῶν διδύμων παίδων ἐκβῆναι ἐπὶ χρόνον τινὰ, ἕως ἂν καὶ ὁ μιαρὸς ἔρως παύσηται τοῦ ἐπὶ τῇ ἐμῇ ὕβρει κολακεύοντός με. Τὸν μέντοι ἕτερον υἱὸν παρὰ τῷ πατρὶ μεῖναι εἰς παραμυθίαν κατέλιπον.

XVI. Πλὴν [89], ἵνα ταῦτα οὕτως γένηται, ἐπενόησα ὄνειρον πλάσασθαι, ὡς δή τινος νύκτωρ ἐπιστάντος μοι καὶ εἰρηκότος· Γύναι, ἐξαυτῆς [90] ἅμα τοῖς διδύμοις σου τέκνοις ἐπὶ χρόνον τινὰ, μέχρις ὅτε μηνύσω ἐπανελθεῖν σε ἐνταῦθα, ἔκβηθι τὴν πόλιν· ἐπεὶ ἅμα ἀνδρὶ καὶ πᾶσί σου τοῖς τέκνοις **266** αἰφνιδίως κακῶς τελευτήσεις. Ὁμῶς οὕτως ἐποίησα. Ἅμα γὰρ τῷ τὸν ὄνειρον ψεύσασθαί με τῷ ἀνδρὶ, αὐτὸς, περίφοβος γενόμενος, μετὰ τῶν ἐμῶν [91] δύο υἱῶν, δούλων τε καὶ παιδισκῶν καὶ χρημάτων συχνῶν κατὰ πλοῦν εἰς Ἀθήνας με ἐξέπεμψεν, ἐκπαιδεῦσαι τοὺς υἱοὺς, « μέχρις ἂν, ἔφη, τῷ χρηματίσαντι δόξῃ ἐπανιέναι σε πρὸς ἐμέ. » Ὁμῶς ἅμα τέκνοις ἡ τάλαινα πλέουσα ὑπὸ ἀνέμων ἀταξίας εἰς τούτους ἀπορριφεῖσα [92] τοὺς τόπους, νυκτὸς τῆς νηὸς διαλυθείσης, ναυαγίῳ [93] περιέπεσα. Πάντων δὲ θανόντων, ἡ ἀτυχὴς ἐγὼ μόνη ὑπὸ σφοδροῦ κύματος ῥαπισθεῖσα [94], ἐπὶ πέτρας ἐρρίφην, ἐφ' ἧς καθεσθεῖσα ἡ ἀθλία ἐλπίδι τοῦ τὰ [95] τέκνα με ζῶντα εὑρεῖν, εἰς τὸν [96] βυθὸν ἐμαυτὴν οὐκ ἔρριψα τότε, ὅτε, τὴν ψυχὴν μεμεθυσμένην τοῖς κύμασιν ἔχουσα, τοῦτο ποιῆσαι ῥᾳδίως ἐδυνάμην

XVII. Πλὴν ἐπειδὴ ὄρθρος ἐγένετο, μεγάλα βοῶσα καὶ γοερὰ κωκύουσα [97] περιεβλεπόμην, ζητοῦσα τῶν ἐμῶν ταλαιπώρων βρεφῶν τὰ νεκρὰ σώματα. Ἐλεήσαντες οὖν με οἱ ἐπιχώριοι, γυμνὴν ἰδόντες, ἐνδύσαντές με τὸ πρῶτον, τὸν βυθὸν ἀνηρεύνων, τὰ ἐμὰ ζητοῦντες τέκνα. Καὶ ἐπεὶ μηδὲν ηὕρισκον [98] ὧν ἐζήτουν, παραμυθίας χάριν τινὲς τῶν φιλοξένων γυναικῶν προσελθοῦσαι διηγοῦντο ἑκάστη τὰ ἑαυτῆς κακὰ, ἵνα τῇ [99] τῶν ὁμοίων συμφορᾷ παραμυθίας τύχω, ὃ δή με μᾶλλον ἐλύπει. Οὐ γὰρ ἔφην οὕτω **267** κακὴ

si proferrem, non arbitrior ne posse alicui persuadere. Sed et quid ad te attinet id cognoscere, nisi tantum causam, ob quam dolore affecta morsibus manus meas mortuas reddidi. Tamen mea, quoad audire potes, referam. Ego admodum nobilis, principis cujusdam viri imperio, nupsi viro qui erat illius propinquus : et post duos geminos liberos alium suscepi filium. Sed frater mariti mei, magna correptus insania, adamavit me miseram, quæ caste vivere cupiebam admodum. Cumque nec vellem amatori consentire, nec viro meo amorem fratris ejus erga me exponere, statui, ut neque adulterans polluerem me, nec viri mei torum contumelia afficerem, neque fratrem fratri redderem inimicum, neque totam familiam, quæ magna erat, in opprobrium cunctis darem ; statui, inquam, urbe cum meis geminis pueris ad quoddam tempus discedere, donec et impurus amor illius, qui mihi ad dedecus meum assentabatur, finem accepisset. At alterum filium, ut apud patrem in solatium maneret, reliqui.

XVI. Verum quo hæc ita fierent, in animum induxi, somnium fingere, quasi aliquis mihi noctu astitisset ac dixisset : mulier, confestim una cum geminis tuis pueris urbe discede ad aliquod tempus, donec rursus indicavero, ut redeas huc ; alioqui cum marito cunctisque tuis liberis de repente peribis male. Atque ita feci. Statim enim ut somnium ementitum viro enarravi, extimuit, et me cum duobus meis filiis cumque servis et ancillis atque multa pecunia Athenas per navem misit, ut natos erudirem, Quoad, inquit, visionis auctori placuerit te redire ad me. Cæterum ego misera una cum liberis navigans ventorum vi projicior in hæc loca, et navi noctu dissoluta in naufragium incidi. Cumque omnes interissent, una ego infelix, magnis agitata fluctibus, in saxum ejecta sum : ubi cum infortunata sederem, spe reperiendi natos meos vivos in profundum me non præcipitavi tunc, quando animum habens doloris fluctibus ebrium hoc facere facile poteram.

XVII. Verum postquam dies exortus est, cum clamore magno et miserabili ululatu circumspiciebam, quærens infelicium natorum cadavera. Igitur miseratione commoti incolæ, nudam intuiti, cum primo me induissent, scrutati sunt maris profundum, quærendo natos meos. Et quia nihil inveniebant eorum quæ indagabam, nonnullæ hospitales mulieres consolandi me gratia accesserunt, et suas singulæ enarrabant miserias, ut similium calamitate solatium caperem : quod me magis contrista-

VARIÆ LECTIONES.

[83] μόνην O. [84] δυνατοῦ *Epit*. [85] ταλαιπωρίας O. [86] βουλομένη S., βουλομένης C, O. Subinde μήτε O et *Epit*, μή C. [87] ἵνα om. O. [88] ὑποβάλω O. [89] οὕτως ταῦτα C. [90] ἐξ αὐτῆς O constanter. [91] ἐμῶν deest in O. [92] ἀποῤῥιφθεῖσα O. [93] ναυφραγίῳ C. Subinde περιέπεσον cod. Reg. 804. [94] ῥιπισθεῖσα cod. Reg. 804, et *Epit*. c. 84. [95] τά inserui c. O. [96] τό S. [97] Vbb ῥᾳδίως ἐουνάμην — γοερὰ κωκύουσα desiderantur in O. [98] Vide de hoc augmento etsi rarissimo Lobeckium *ad Phryn*. p. 110 S. εὕρισκον O et *Epit*. [99] τῇ ascripsi ex O. Deinde ὃ δὲ μᾶλλόν με C. Etiam in *Epit*. ὃ δή p. 8 84.

bat: Non enim, inquiebam, adeo mala sum, ut ex aliorum calamitatibus consolationem accipiam. Et cum me multæ hospitio cuperent recipere, una quædam paupercula hic habitans extorsit mihi tugurio ejus succedere, dicens: Confide, mulier: etenim vir meus, homo nauta, in mari adhuc juvenis obiit: atque ex eo die, quamvis multi me sollicitarent ad nuptias, ego desiderio viri mei malui in viduitate agere. Erunt ergo communia, quæcunque manibus quærere poterimus.

XVIII. Et ne longa ac minus utili narratione utar, habitavi cum ea, propter amorem ejus erga maritum. Sed non multo post mihi infelici laceratæ morsibus resolutæ sunt manus, illa vero quæ me susceperat, tota morbo quodam occupata et colligata domi jacet. Quoniam ergo mulierum, quæ prius miserabantur, elanguit affectus, ac ego et illa clausa domi ambæ debiles et calamitosæ sumus, ex multo tempore hic, ut vides, sedeo, stipem petens, et, si quid forte accepero, etiam ad illam pariter miseram ad cibum defero. Atque hactenus meæ quidem res sufficienter sunt dictæ. Tu nunc quid moraris implere quod promiseras, te daturum medicamen? quo etiam illi obitum cupienti tradam, et sic ego quoque possim, ut ais, vitam commutare.

XIX. Hæc dicente muliere, Petrus multa cogitatione stare suspensus videbatur. Et ego superveniens: Dudum, inquam per omnia loca discurrens quærebam te: et nunc, quid agimus? At Petrus præcepit mihi, ut ad naviculum præcederem, ibique illum opperirer. Et quia contradici ei imperanti non poterat, quod jussit feci. Ipse vero, sicut mihi cuncta posterius enarravit, suspicione quadam exigua corde pulsatus interrogabat mulierem, dicens: Refer mihi, femina genus et civitatem ac filiorum nomina, et jam medicamentum tibi do. At illa vim sustinens neque volens referre et medicamenti accipiendi cupida finxit alia pro aliis, et ait, se quidem Ephesiam, virum autem Siculum, sed et filiorum nomina similiter immutavit. Tum Petrus, existimans eam verum proferre, ait: Heu! mulier, putabam grande aliquod gaudium hodierno die me apportaturum, suspicabar enim te esse quamdam mulierem, quam sentiebam, cujusque res audivi et probe novi. At illa adjurabat, dicens: Rogo mihi referas, ut sciam, an sit illa inter mulieres me infelicior.

XX. Tum Petrus mentiri nesciens præ miseratione erga illam verum cœpit dicere: Est sane quidam adolescens, sectator meus, piorum religiosorumque sermonum cupidus et Romanus civis, qui mihi narravit, quod patrem habuerit et duos ge-

εἶναι, ὡς [100] ταῖς ἄλλων συμφοραῖς παραμυθίας τύχω. Καὶ δὴ εἰς ξενίαν πολλῶν με ἄγειν ἀξιουσῶν [1], μία τις τῶν ἐνταῦθα πενιχρὰ πολὺ βιασαμένη εἰς τὸ ἑαυτῆς ἐλθεῖν ἠνάγκασε σκήνωμα, εἰποῦσά μοι. Θάῤῥει, γύναι, καὶ γὰρ ὁ ἐμὸς ἀνὴρ ναύτης ὢν κατὰ θάλασσαν [2] τέθνηκεν, ἐν τῇ νεαζούσῃ τυγχάνων ἡλικίᾳ· καὶ ἔκτοτε, πολλῶν με ἀξιούντων, πρὸς γάμον ἐγὼ χηρεύειν εἱλόμην, τὸν ἐμὸν ποθοῦσα ἄνδρα. Ἔσται δὲ ἡμῖν κοινὰ ἃ διὰ χειρῶν ἀμφότεραι πορίζειν δυνάμεθα.

XVIII. Καὶ ἵνα μή σοι μηκύνω τοὺς οὐκ ἀναγκαίους λόγους, συνῴκησα αὐτῇ διὰ τὴν φιλανδρίαν. Καὶ μετ' οὐ πολὺ ἐμοῦ τῆς ταλαιπώρου αἱ χεῖρες ὑπὸ τῶν δηγμάτων [3] παρείθησαν, καὶ ἡ ὑποδεξαμένη με γυνὴ, ὅλη ὑπὸ πάθους τινὸς συνδεθεῖσα, ἐπὶ τῆς οἰκίας ἔῤῥιπται. Ἐπεὶ οὖν ὁ τῶν πάλαι γυναικῶν ἔλεος παρήκμασεν, ἐγὼ δὲ καὶ ἡ κατ' οἶκον ἀμφότεραι ἐπισινεῖς τυγχάνομεν, ἐκ πολλῶν χρόνων ἐνταῦθα, ὡς ὁρᾷς, καθέζομαι προσαιτοῦσα, καὶ ὧν ἂν εὐπορήσω [4] καὶ τῇ συνταλαιπώρῳ [5] εἰς τροφὰς κομίζω. Καὶ τὰ μὲν ἐμὰ ἐπὶ τοσοῦτον αὐτάρκως εἰρήσθω. Λοιπὸν σὺ κωλύεις [6] τὴν ὑπόσχεσιν πληρῶσαι τοῦ δοῦναι τὸ φάρμακον; ὅπως κἀκείνῃ ἐπιθυμούσῃ θανεῖν δῶ, καὶ οὕτως κἀγὼ τοῦ ζῆν, ὡς ἔφης, μεταλλάξαι δυνηθῶ.

XIX. Ταῦτα τῆς γυναικὸς εἰπούσης, ὑπὸ λογισμῶν πολλῶν ὁ Πέτρος **268** μετέωρος ἐδόκει ἵστασθαι. Ἐγὼ δὲ ἐπελθὼν ἔφην· Ἐκ πολλοῦ σε περιερχόμενος ζητῶ· καὶ τὰ νῦν τί ποιοῦμεν; Ὁ δὲ Πέτρος προσέταξέ μοι προάξαντι μένειν αὐτὸν ἐπὶ τοῦ σκάφους. Καὶ ἐπειδὴ ἀντειπεῖν οὐκ ἦν αὐτῷ κελεύσαντι, ἐποίησα τὸ προσταχθέν. Ὁ δὲ Πέτρος μικρᾷ τινι ὑποψίᾳ, ὡς αὐτός μοι πάντα ὕστερον διηγήσατο, παλλόμενος τὴν καρδίαν ἐπυνθάνετο τῆς γυναικὸς, λέγων· Εἰπέ μοι, γύναι, τὸ γένος καὶ τὴν πόλιν καὶ τῶν τέκνων τὰ ὀνόματα, καὶ ἤδη δίδωμί σοι τὸ φάρμακον. Ἡ δὲ, βίαν πάσχουσα καὶ εἰπεῖν οὐ θέλουσα, τὸ δὲ φάρμακον λαβεῖν ἐπιθυμοῦσα, ἐσοφίσατο ἄλλα ἀντὶ ἄλλων εἰπεῖν· καὶ ὁμῶς ἔφη, αὐτὴν μὲν Ἐφεσίαν εἶναι, τὸν δὲ ἄνδρα Σικελὸν, ὁμῶς καὶ τῶν τριῶν τέκνων ἤλλαξε τὰ ὀνόματα. Καὶ ὁ Πέτρος, νομίσας αὐτὴν ἀληθεύειν, ἔφη· Οἴμοι, γύναι, ἐνόμιζον μεγάλην τινὰ χαρὰν τὴν σήμερον ἄγειν ἡμέραν, ὑποπτεύσας σέ τινα εἶναι, ἣν ἐνόμιζον, ἧς τὰ πράγματα ἀκούσας ἀκριβῶς ἐπίσταμαι. Ἡ δὲ ἐξώρκιζε λέγουσα· Δέομαι, εἰπέ μοι, ἵνα εἰδῶ εἰ ἔστι τις ἐν γυναιξὶν ἀθλιωτέρα ἐμοῦ.

XX. Καὶ ὁ Πέτρος, ψεύδεσθαι οὐκ εἰδὼς, ὑπὸ ἐλέους τοῦ πρὸς αὐτὴν τὸ ἀληθὲς λέγειν ἤρξατο· Ἐμοί τις λοιπὸν ἤδη [7] νεανίας ὢν παρέπεται, τῶν τῆς θεοσεβείας ὀρεγόμενος λόγων, Ῥωμαίων ὑπάρχων πολίτης, ὅστις μοι διηγήσατο [8], πῶς, πατέρα ἔχων καὶ ἀδελφοὺς

VARIÆ LECTIONES.

[100] ὡς O et ex conject C, in cuj. textu deest. [1] ἀξιοῦσιν O. [2] θάλατταν O. [3] δειγμάτων O. [4] Ita O c. *Epit.*, εὐφορήσω C [5] ταλαιπώρῳ O. [6] S Leg. τί σε κωλύει. Cfr. e. g. hom. XIII, 5. *Epit.* habet σὺ μὴ κωλύσῃς. [7] ἤδη om. O. [8] διηγεῖται C.

δύο διδύμους, οὐδένα τούτων ὁρᾷ. Ἥ τε γὰρ μήτηρ, φησὶν, ὡς ὁ πατὴρ διηγεῖτό μοι , ὄνειρον ἰδοῦσα, τὴν Ῥωμαίων πόλιν ἐπὶ χρόνον τινὰ ἐξῆλθεν μετὰ τῶν διδύμων αὐτῆς **269** τέκνων, ἵνα μὴ κακῷ μόρῳ τελευτήσῃ, καὶ σὺν αὐτοῖς ἐκβᾶσα, οὐχ εὑρίσκεται. Ὁ δὲ ταύτης μὲν ἀνὴρ, αὐτοῦ δὲ πατὴρ, καὶ αὐτὸς εἰς ἐπιζήτησιν αὐτῆς ἐκβὰς οὐχ εὑρίσκεται.

XXI. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ἐπιστήσασα ὡς ὑπ' ἐκπλήξεως ἀπέψυξεν ἡ γυνή. Ὁ δὲ Πέτρος προσελθὼν καὶ ἐπισχὼν νήφειν αὐτὴν παρεκελεύσατο, ὁμολογεῖν αὐτὴν πείθων τί ποτέ ἐστιν ὃ πάσχει. Ἡ δὲ, ὥσπερ ἐκ μέθης τὸ λοιπὸν τοῦ σώματος παρεθεῖσα, ὑπέστρεψεν [11] ἑαυτὴν, ὑποστῆναι δυνηθεῖσα [12] τὸ μέγεθος τῆς ἐλπιζομένης χαρᾶς, καὶ τρίψασα αὐτῆς τὸ πρόσωπον· Ποῦ ἔστιν, ἔφη, οὗτος ὁ νεανίας; Ὁ δὲ, ἤδη ὅλον συνιδὼν τὸ πρᾶγμα, ἔφη· Εἰπέ μοι σὺ πρῶτον, ἄλλως γὰρ τοῦτον ἰδεῖν οὐκ ἔχεις. Ἡ δὲ σπεύδουσα [13]. Ἐγὼ, φησὶν, εἰμὶ ἡ τοῦ νεανίσκου μήτηρ. Καὶ ὁ Πέτρος ἔφη· Τί τούτῳ ὄνομα; Ἡ δὲ φησιν· Κλήμης. Καὶ ὁ Πέτρος εἶπεν· Αὐτός ἐστιν, καὶ αὐτὸς ἦν ὁ πρὸ μικροῦ μοι λαλήσας, ᾧ ἀναμένειν με ἐν τῷ πλοίῳ προσέταξα. Η δὲ προσπεσοῦσα τῷ Πέτρῳ παρεκάλει σπεύδειν ἐπὶ τὸ πλοῖον ἐλθεῖν. Καὶ ὁ Πέτρος· Εἴ μοι τηρεῖς τὰς συνθήκας, καὶ τοῦτο ποιήσω. Ἡ δὲ ἔφη· Πάντα ποιῶ, μόνον μοι τὸ τέκνον τὸ μονογενὲς δεῖξον. Δόξω γὰρ δι' αὐτοῦ τὰ δύο μου τὰ ἐνταῦθα τεθνηκότα ὁρᾷν τέκνα. Καὶ ὁ Πέτρος ἔφη. Ὅταν αὐτὸν ἴδῃς, ἡσύχασον μέχρις ἂν τῆς νήσου ἐκβῶμεν. Ἡ δὲ ἔφη· Οὕτως ποιήσω.

270 XXII. Λαβόμενος οὖν τῆς χειρὸς αὐτῆς ὁ Πέτρος ἦγεν [14] ἐπὶ τὸ πλοῖον. Ἐγὼ δὲ, ἰδὼν αὐτὸν χειραγωγοῦντα γυναῖκα, ἐγέλασα, καὶ προσελθὼν, εἰς τιμὴν αὐτοῦ, ἀντ' αὐτοῦ χειραγωγεῖν αὐτὴν ἐπειρώμην. Καὶ ἅμα τῷ ἅψασθαί με τῆς χειρὸς αὐτῆς, ὀλολύξασα ὡς μήτηρ μέγα καὶ περιπλακεῖσα, σφόδρα κατεφίλει με τὸν υἱὸν αὐτῆς [15]. Ἐγὼ δὲ, ἀγνοῶν ὅλον τὸ πρᾶγμα, ὡς μαινομένην ἀπεσειόμην· αἰδούμενος δὲ καὶ τὸν Πέτρον, ἐπικραινόμην.

XXIII. Ὁ δὲ Πέτρος ἔφη· Ἔα, τί ποιεῖς, τέκνον Κλήμης, ἀποσειόμενος τὴν σὴν ὄντως τεκοῦσαν; Ἐγὼ δὲ, τοῦτο ἀκούσας περίδακρυς γενόμενος καὶ καταπεσούσῃ τῇ τεκούσῃ προσπεσὼν κατεφίλουν. Καὶ γὰρ ἅμα τῷ ῥηθῆναί μοι τοῦτο ἀμαυρῶς [16] πως τὸ εἶδος ἀνεκαλούμην. Πολλοὶ μὲν οὖν ὄχλοι συνέτρεχον ἱστορῆσαι τὴν προσαιτήτριαν γυναῖκα, λέγοντες ἀλλήλοις, ὅτι αὐτὴν ἐπέγνω ὁ υἱὸς, ἀνὴρ ἀξιόλογος. Βουλομένοις οὖν ἡμῖν ἐξαυτῆς σὺν τῇ μητρὶ τῆς νήσου ἐκβαίνειν ἡ μήτηρ ἔφη· Τέκνον μοι ποθεινὸν, εὔλογόν ἐστιν ἀποτάξασθαι τῇ ὑποδεξαμένῃ με γυναικὶ, ἥτις, πενιχρὰ οὖσα καὶ ὅλη παρειμένη, ἐπὶ τῆς οἰκίας ἔρριπται. Ὁ δὲ Πέτρος ἀκούσας ἐθαύμασεν [17], καὶ πάντες οἱ περιεστῶτες ὄχλοι, τῆς γυναικὸς τὸ ἀγαθὸν φρόνημα. Καὶ εὐθέως ἐκέλευσεν ὁ Πέτρος τισὶ πορευθῆναι καὶ τὴν γυναῖκα ἐπὶ κλίνης κομίσαι. Καὶ

minos fratres, ex quibus nullus ei compareat. Nam mater, inquit, sicut mihi edisseruit pater, somnio viso Romana urbe ad tempus excessit cum geminis suis natis, ne misera morte interiret, atque cum illis egressa non invenitur. Vir autem illius, hujus vero pater, et ipse ad quærendam eam profectus nequaquam reperitur.

XXI. Hæc cum dixisset Petrus, mulier, quæ animum intenderat, stupore exanimata est. Tum Petrus accedens, eamque tenens, ad se rediret hortatus est, suasitque ut fateretur quidnam esset quod ei contigerat. Illa vero, velut ex ebrietate toto corpore resoluta, quo posset magnitudinem sperati gaudii sustinere, semetipsam reparavit: simulque affricans vultum: Ubi est, inquit, ille adolescens? At Petrus jam intelligens rem totam: Dic, inquit, mihi tu prior, aliter enim eum non videbis. Tum illa fessinant ait: Ego sum adolescentis mater. Et Petrus: Quod ei nomen est? Illa vero: Clemens, ait. Petrus: Ipse est et ipse erat qui paulo ante mecum loquebatur, quem jussi me in navi exspectare. Tunc illa procidens ad pedes Petri rogabat, ut ad navem festine procederet. Petrus autem: Si mihi. inquit, servas fidem, hoc quoque agam. At illa respondit: Omnia faciam, tantum mihi ostende unicum meum natum. Putabo enim per ipsum geminos meos liberos, qui hic mortui sunt, videre. Ac Petrus dixit: Cum videris eum, quieta mane, usque quo egrediamur ab insula. Illa excepit: Sic faciam.

XXII. Et accepta manu ejus Petrus ducebat eam ad navem. Quem ego videns manu ducere mulierem risi. Accedens tamen, honoris erga eum gratia, pro ipso manu illam ducere cœpi. Simul autem ac manum ejus contigi, ut mater, ululatu ingenti reddito. in amplexus meos irruit meque filium suum vehementer deosculata est. At ego ignrans omne negotium quasi insanientem repellebam: sed et reveritus Petrum me coercui.

XXIII. Tum Petrus dixit: Eheu, quid agis fili Clemens, repellis eam quæ vere mater tua est? Ego vero, ubi hoc audivi, lacrymis obortis concidi supra jacentem matrem et osculabar eam. Simul enim ac id mihi dictum fuit, subobscure genitricis formam revocabam. Multitudo interim concurrebat plurima ad videndam mendicam mulierem; dicebantque mutuo: Agnovit eam filius, vir eximius. Itaque cum vellemus confestim cum matre ex insula exire, mater ait: Fili, mihi exoptate, æquum est ut vale dicam mulieri quæ me suscepit, quæ egens et tota paralytica domi jacet. His auditis, Petrus et omnes, qui plurimi aderant, admirati sunt bonum feminæ consilium. Et continuo jussit Petrus abire quosdam, ac deferre mulierem in lectulo. Cumque fuisset allata, positusque fuisset lectus, cuncta ple-

VARIÆ LECTIONES.

[9] Vbb. διηγεῖτό μοι non sunt in O. [10] Ante ἐκβους in O est ἔκβασου expunctum. [11] ὑπέστρεφεν O. [12] δυνηθῆναι C., perperam. [13] Vocab. ἡ δὲ σπεύδουσα des. in O. [14] ἦγεν O. et *Epit.* c. 90, ἤγειρεν C., [15] αὐτῆς υἱόν C. [16] Ita O. c. S., ἀμαυρώσας C., qui in marg. conj. ἀμαυρῶς ἄν vel ἀμαυρῶσαν. [17] ἐθαύμαζεν C.

be audiente Petrus ait: Si veritatis ego sum præco, ad fidem eorum qui assistunt, ut sciant unum esse Deum opificem mundi, surgat continuo sana. Et statim ut hæc dixisset Petrus, mulier surrexit sanata et procidit ad pedes Petri, atque amicam suam ac familiarem osculata percontabatur quid istud esset. At illa breviter omne ei recognitionis negotium exposuit, et qui audierunt obstupefacti sunt. Tuncque mater hospitem curatam videns rogavit, ut ipsa quoque sanitatem acciperet. Ille autem manu imposita ipsam etiam curavit.

XXIV. Sicque postea Petrus de Deo ac de Dei religione sermonem habuit et in fine addidit: Si quis hæc vult diligenter cognoscere, Antiochiam, ubi per multos dies residere statui, veniens, quæ ad salutem suam pertinent discat. Non enim, qui negotiandi aut militandi causa patriam relinquere soletis et ad loca multum dissita abire, propter æternam salutem vel trium dierum iter suscipere noletis. Itaque post Petri concionem ego mulieri, quæ sanata fuerat, coram omni populo mille drachmas ad victum dedi et commendavi eam cuidam bono viro, primario oppidi, qui sponte id cum gaudio facere proposuit. Sed et aliis multis pecuniam distribui, gratiasque egi illis mulieribus, quæ matri quondam solatium præbuerant: et post hæc una cum matre, Petro, cæterisque sodalibus Antaradum enavigavi, atque ita ad hospitium processimus.

XXV. Ubi cum essemus et sumpsissemus cibum ac de more gratias egissemus, atque adhuc tempus superesset, ego dixi Petro: Humanitatis opus, domine mi Petre, exercuit mea mater, quæ hospitæ mulieris recordata fuerit. Respondit Petrus: Itane, o Clemens, vere existimasti, humanitatis opus factum a tua genitrice, quando ei quæ ipsam ex naufragio receperat gratiam retulit: an ut matri plurimum gratificareris, hunc dixisti sermonem? Si enim non ut rem gratam faceres, sed ut veritatem loquereris, effatus es, videris mihi ignorare quænam sit magnitudo humanitatis, quæ est amor in quemlibet, quatenus hominem, et absque ullo naturali affectu. Sed nec hospitem, quæ matrem tuam e naufragio suscepit, ausim hominum amantem appellare. Misericordia enim commota, impulsa est ad bene fa-

A ὁμῶς ἐνεχθείσης καὶ τεθείσης τῆς κλίνης, πάντων τῶν ὄχλων ἀκουόντων, ἔφη ὁ Πέτρος· Εἰ ἀληθείας κῆρυξ ἐγὼ τυγχάνω, εἰς τὴν τῶν παρεστώτων πίστιν, ἵνα γνῶσιν ὅτι εἷς ἐστι Θεὸς, ὁ τὸν κόσμον **271** ποιήσας, ἐξαυτῆς ἐγερθήτω ὑγιής. Καὶ ἅμα τῷ εἰπεῖν Πέτρον ταῦτα ἡ γυνὴ ἠγέρθη ὑγιασθεῖσα, καὶ τῷ Πέτρῳ προσέπεσεν, καὶ τὴν συνήθη φίλην καταφιλήσασα ἐπυνθάνετο τί εἴη τοῦτο. Ἡ δὲ ὅλον αὐτῇ [18] τὸ πρᾶγμα τοῦ ἀναγνωρισμοῦ συντόμως διηγήσατο, καὶ οἱ ἀκούσαντες κατεπλάγησαν. Τότε καὶ ἡ μήτηρ, τὴν ξενοδόχον θεραπευθεῖσαν θεωρήσασα [19], παρεκάλει καὶ αὐτὴ ἰάσεως τυχεῖν. Ὁ δὲ, ἐπιθεὶς τὴν χεῖρα, καὶ αὐτὴν ἐθεράπευσεν.

XXIV. Καὶ εἶθ' οὕτως ὁ Πέτρος περὶ Θεοῦ καὶ τῆς αὐτῷ διαφερούσης θρησκείας ὁμιλήσας, προσθεὶς ἐπὶ
B τέλει, ὅτι· Εἴ τις βούλεται ταῦτα ἀκριβῶς μαθεῖν, εἰς Ἀντιόχειαν, ὅπου πλειόνων ἡμερῶν περιμένειν ἔκρινα, ἐλθὼν τὰ πρὸς τὴν αὐτοῦ σωτηρίαν μανθανέτω. Οὐ γὰρ δὴ εἰ [20] ἐμπορίας ἕνεκα ἢ στρατείας πατρίδας καταλιμπάνειν οἴδατε καὶ εἰς μακροὺς ἀπέρχεσθαι τόπους, διὰ δὲ αἰώνιον σωτηρίαν μηδὲ τριῶν ἡμερῶν ὁδὸν πορευθῆναι θελήσετε [21]. Μετὰ μὲν οὖν τὴν προσομιλίαν Πέτρου ἐγὼ τῇ ὑγιασθείσῃ γυναικὶ ἐπὶ παντὸς τοῦ ὄχλου χιλίας δραχμὰς εἰς τροφὰς ἐδωρησάμην, παραθέμενος αὐτὴν ἀγαθῷ τινι ἀνδρὶ, πρώτῳ τῆς πόλεως ὄντι, φύσει μετὰ χαρᾶς τοῦτο ποιεῖν προῃρημένῳ. Ἔτι δὲ καὶ ἄλλαις πολλαῖς [22] ἀργυρια διανείμας, ταῖς ποτε τὴν μητέρα παραμυθησαμέναις εὐχαριστήσας, **272** διέπλευσα εἰς Ἀντάραδον, ἅμα τῇ μητρὶ καὶ Πέτρῳ καὶ τοῖς λοιποῖς ἑταίροις [23]· καὶ οὕτως εἰς τὴν ξενίαν ὡρμήσαμεν.

C XXV. Γενομένων δὲ ἡμῶν [24] καὶ τροφῆς μεταλαβόντων καὶ συνήθως εὐχαριστησάντων, ἔτι ὥρας οὔσης, ἔφην ἐγὼ τῷ Πέτρῳ (39)· Φιλανθρωπίας ἔργον, κύριέ μου Πέτρε, ἡ ἐμὴ ἐποίησε μήτηρ, τῆς ξενοδόχου ὑπομνησθεῖσα γυναικός. Καὶ ὁ Πέτρος ἀπεκρίνατο. Ἀρά γε, ὦ Κλήμης, ἀληθῶς νενόμικας φιλανθρωπίας ἔργον πεποιηκέναι τὴν σὴν τεκοῦσαν, καθ' ὃ τὴν ἀπὸ ναυαγίου [25] αὐτὴν ὑποδεξαμένην ἠμείψατο, ἢ ὡς μητρὶ μεγάλα [26] χαριζόμενος τοῦτον εἴρηκας τὸν λόγον; Εἰ δὲ οὐχ ὡς χαριζόμενος, ἀλλ' ὡς ἀληθεύων ἔφης, ἔοικάς μοι ἀγνοεῖν τί ποτ' ἐστὶ [27] φιλανθρωπίας μέγεθος, ἥτις ἐστὶν ἡ ἄνευ τοῦ φυσικῶς πείθοντος, ἡ [28] πρὸς οἷον δήποτε στοργὴ, καθὸ ἄνθρωπός ἐστιν. Ἀλλ' οὐδὲ τὴν ξενοδόχον τὴν ἀπὸ ναυφραγίου ἀποδεξαμένην [29] τὴν σὴν τεκοῦσαν οὔπω φιλάν-
D θρωπον εἰπεῖν τολμῶ. Ὑπ' ἐλέου γὰρ κολακευθεῖσα,

VARIÆ LECTIONES.

[18] αὐτῆς O. [19] ἱστορήσασα C. [20] εἰ addidit S. de conjectura, εἰ γὰρ δὴ cod. Reg. 804, εἰς γάρ *Epit.* Subinde ἐμπορείας O. Tum στρατηγίας p. στρατειας idem. [21] Ita S., θέλειν uterque Hom. cod. θέλετε cod. Reg. 804, προθυμήσεσθε *Epit.* [22] ἄλλοις πολλοῖς C. [23] Ita O c. *Epit.*, ἑτέροις C. [24] *Epit.* addit ἐπὶ τὸ αὐτό. [25] ναυφραγίου C. [26] μεγάλω O. [27] ποτέ ἐστι C. [28] ἡ om. O. [29] ὑποδεξαμένην O.

VARIORUM NOTÆ.

(39) Ἔφην ἐγὼ τῷ Πέτρῳ. Hæc verba usque ad ista ποῖα δ' οὐκ ἦν, citantur a Nicone monacho Palæstino in Pandecte interpretationum divinorum mandatorum, serm. 24 et 39, cum hoc titulo: Τὰ Κλημέντια, et Ἐκ τῶν Κλημεντίων, hoc est ex Opere dicto *Clementina*. Ornat bibliothecam Regiam optimus liber, qui collectus est ex divinis Scripturis, sacris canonibus, testimoniis sanctorum Patrum, aliisque monumentis ecclesiasticis, nec non legibus civilibus. COT.

ἐπέπειστο [30] εὐεργέτις γενέσθαι γυναικὸς ναυαγίῳ περιπεσούσης, τέκνα πενθούσης, ξένης, γυμνῆς, μεμονωμένης [31] καὶ σφόδρα ἐπὶ ταῖς συμφοραῖς ὀλοφυρομένης. Ἐν τοσαύταις οὖν αὐτῆς συμφοραῖς [32] οὔσης, τίς καὶ ἀσεβῶν ἰδὼν οὐκ ἂν ἠλέησεν; Ὥστε οὔπω φιλανθρωπίας **273** ἔργον πεποιηκυῖα φαίνεται οὐδὲ ἡ ξενοδόχος γυνή, ἀλλὰ ὑπ' [33] ἐλέου τοῦ ἐπὶ μυρίαις συμφοραῖς πρὸς εὐεργεσίας κεκινημένη [34]· πόσῳ γε μᾶλλον ἡ σὴ τεκοῦσα, βίου εὐπορήσασα καὶ τὴν ξενοδόχον ἀμειψαμένη, φιλανθρωπίας ἔργον οὐκ ἐποίησεν, ἀλλὰ φιλίας; Πολλὴ δὲ διαφορὰ μεταξὺ φιλίας καὶ φιλανθρωπίας, ὅτι ἡ μὲν φιλία ἐξ ἀμοιβῆς γίνεται, ἡ δὲ φιλανθρωπία ἄνευ τοῦ φυσικῶς πείθοντος πάντα ἄνθρωπον, καθὸ ἄνθρωπός ἐστι, φιλοῦσα εὐεργετεῖ. Εἰ μὲν οὖν ἡ ἐλεήσασα ξενοδόχον καὶ ἐχθροὺς ἀδικήσαντας ἐλεοῦσα [35] εὐεργετεῖ [36], φιλάνθρωπος ἂν ἦν· εἰ δὲ [38] διά τι φίλη ἢ ἐχθρὰ, καὶ διά τι ἐχθρὰ ἢ φίλη, ἡ [39] τοιαύτη τοῦ τινὸς αἰτίου φίλη ἐστὶν ἢ ἐχθρὰ, οὐ τοῦ ἀνθρώπου.

A ciendum mulieri naufragium passæ, natos lugenti, peregrinæ, nudæ, destitutæ, multumque calamitates suas lamentanti. In tantis ergo adversitatibus versantem quis videns, etiam ex impiis, non miseratus fuisset? Quare nequaquam humanitatis opus nec mulier hospita videtur peregisse, sed ad benefaciendum mota fuisse misericordia ex plurimis adversis orta. Quanto magis parens tua, facultatibus abundans et hospitam remunerata, non humanitatis opus effecit, verum charitatis seu amicitiæ? Multa enim intercedit differentia inter charitatem et humanitatem, quia charitas quidem ex remuneratione est, humanitas vero absque ulla naturali propensione hominem omnem, quia homo est, diligit ac beneficiis afficit. Itaque si hospes, quæ miserta est, etiam B hostes male de ea meritos miserata beneficio afficeret, humana esset: sin vero propter quid amica est vel inimica et propter quid inimica vel amica, hæc alicujus rei, quæ causa sit, amica est vel inimica, non autem hominis.

XXVI. Κἀγὼ ἀπεκρινάμην· Οὐ δοκεῖ σοι οὖν φιλάνθρωπος εἶναι κἂν ἡ ξενοδόχος, ξένην ἣν οὐκ ἠπίστατο εὐεργετήσασα; Καὶ ὁ Πέτρος· Ἐλεήμονα μὲν αὐτὴν εἰπεῖν ἐπίσταμαι, φιλάνθρωπον δὲ οὐ τολμῶ λέγειν, ἅτε δὴ οὔτε τὴν τεκοῦσαν φιλότεκνον· ὑπ' ὠδίνων γὰρ καὶ ἀνατροφῆς στέργειν πέπεισται. Ὡς καὶ ὁ [redacted]πὸ τῆς συνηθείας κολακεύεται καὶ εὐνῆς [40], καὶ ὁ φίλος ὑπὸ τῆς ἀμοιβῆς, οὕτω καὶ ὁ ἐλεῶν ὑπὸ τῆς συμφορᾶς. Πλὴν ἐγγὺς ὁ ἐλεήμων τῷ φιλανθρώπῳ, ὅτι ἄνευ τοῦ τι θηρᾶσθαι λαβεῖν **274** πείθεται. Πλὴν οὔπω φιλάνθρωπός ἐστιν. Κἀγὼ ἔφην· Ἐπὶ ποίαις οὖν πράξεσι φιλάνθρωπος εἶναί τις δύναται; Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ἐπεὶ ὁρῶ σε γλιχόμενον ἀκοῦσαι, τί ποτ' ἐστι [41] φιλανθρωπίας ἔργον, οὐκ ὀκνήσω λέγειν. Φιλάνθρωπός ἐστιν ὁ καὶ ἐχθροὺς εὐεργετῶν. Ὅτι δὲ οὕτως ἔχει, ἄκουσον. Φιλανθρωπία ἐστὶν ἀῤῥενόθηλυς, ἧς τὸ θῆλυ μέρος ἐλεημοσύνη λέγεται, τὸ δὲ ἄῤῥεν αὐτῆς ἀγάπη πρὸς τὸν πλησίον ὠνόμασται, πλησίον δὲ ἀνθρώπῳ ἐστὶν ὁ πᾶς ἄνθρωπος, οὐχ ὅ τις [42] ανθρωπος, ἄνθρωπος γάρ ἐστι καὶ ὁ κακὸς καὶ ὁ ἀγαθὸς καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. Χρὴ οὖν τὸν φιλανθρωπίαν ἀσκοῦντα μιμητὴν εἶναι τοῦ Θεοῦ, εὐεργετοῦντα δικαίους καὶ ἀδίκους, ὡς αὐτὸς ὁ Θεὸς πᾶσιν ἐν τῷ νῦν κόσμῳ τόν τε ἥλιον καὶ τοὺς ὑετοὺς αὐτοῦ παρέχων [43]. Εἰ δὲ θέλεις ἀγαθοὺς μὲν εὐεργετεῖν, κακοὺς δὲ μηκέτι, ἢ καὶ κολάζειν, κριτοῦ τὸ ἔργον πράττειν ἐπιχειρεῖς [44], οὐ τὸ τῆς φιλανθρωπίας σπουδάζεις ἔχειν.

XXXVI. Et ego respondi: non ergo tibi videtur esse humana saltem hospes, quæ in peregrinam quam non noverat beneficium contulit? Tum Petrus: Eam quidem misericordem appellare novi, hominum autem amantem non audeo dicere, quandoquidem nec matrem amantem liberorum, quippe quæ a partus doloribus et ab educatione ad diligendum compulsa sit. Nam sicut qui cupidine inflammatur, a consuetudine mulcetur et concubitu, qui amore seu amicitia prosequitur, a remuneratione: ita et qui miseretur, a calamitate. C Attamen misericors humano vicinus est, quoniam absque muneris ullius captatione ad præstandum beneficium fertur. Nondum tamen humanus est. Et ego dixi: Ob quas igitur actiones humanus quis esse potest? Respondit Petrus: Quia video te cupidum audiendi, quodnam sit humanitatis officium, non pigebit dicere. Humanus est, qui etiam inimicis bene facit. Quod autem ita habeat, audi. Humanitas est masculofemina, cujus feminea pars misericordia dicitur, quod vero in illa est masculum, dilectio erga proximum nominatur, proximus autem homini est quilibet homo, et non hic vel iste homo; homo enim est etiam malus et bonus, hostis pariter ac amicus. Oportet ergo eum qui humanitatem colit, imitatorem Dei esse, et de justis atque D injustis bene mereri, sicut ipse Deus cunctis in hoc mundo solem imbresque suos præbet. Quod si velis bonis quidem benefacere, non autem malis, vel hos punire, judicis munus implere niteris, non vero habere humanitatem conaris.

XXVII. Κἀγὼ ἔφην· Ἆρά γε καὶ ὁ Θεὸς, μέλλων ποτὲ [45] κρίνειν, ὡς διδάσκεις ἡμᾶς [46], οὐ φιλάνθρω-

XXVII. Et ego dixi: Igitur Deus, qui aliquando judicaturus est, ut nos doces, non est hnmanus?

VARIÆ LECTIONES.

[30] πέπειστο O, qui subinde scr. εὐεργέτης. Tum ναυφραγίῳ C. [31] μεμονομένης O. [32] Voc. ὀλοφυρομένης. Ἐν τοσαύταις οὖν αὐτῆς συμφοραῖς non exstant in O. [33] ὑπ' O. c. S. ὑπό C. [34] Ita *Epit.* κεκινημένου C, κεκινημένης O. [35] τήν prætermisit S c. Cl. [36] ἐλεῶσα C. [37] εὐεργέτει S. [38] εἰ δέ *Epit.*, εἰ δή C., ἤ δέ O. Tum διότι p. διά τι *Epit.*, quod præferendum· [39] ἡ assumpsi ex O. [40] In O. exungitur ἐν ante εὐνῆς· [41] ποτέ ἐστιν C. [42] ὅτι εἷς p. ὅτις C. [43] Nonnulli *Epitomes* codd. παρέχει ut legendum censet D. Tum θέλης C. [44] ἐπιχειρεῖς πράττειν C. [45] Ita *Epit.* 95, τότε uterque Hom. cod. [46] ἡμᾶς om. O.

Ac Petrus : Pugnantia loqueris. Nam quia judicabit, ideo humanus est. Diligens enim ac miseratus injuria affectos, plectit eos qui injuriam, intulerunt. Et ego : Itaque, inquam, si ipse bonis benefacio et injuriosos quia injurii erga homines fuerunt castigo, humanus sum. Et Petrus respondit : Si una cum prænotione haberes quoque judicandi potestatem recte id faceres, per acceptam quidem potestatem, condemnans eos quos Deus creavit, per prænotionem vero, inculpate, in judicando tum alios tanquam justos absolvens, tum alios tanquam injustos damnans. Et ego dixi : Recte locutus es ac vere ; fieri enim nequit, ut qui prænotione caret, recte judicet. Interdum quippe nonnulli videntur boni, qui illicita clam perpetrant, nonnulli vero boni hostium calumnia mali esse creduntur. Sed et si quis potestate torquendi præditus judicet, neque sic juste omnino habebit judicare. Quidam enim homicidæ, quæstionis tormenta perferentes, dimissi sunt velut innoxii, alii vero, qui erant innocentes, cum tormenta ferre non potuissent, contra se mentiti velut rei supplicio affecti sunt.

XXVIII. Tum Petrus : Atque hæc, inquit, modica sunt, audi vero majus. Cum aliqui homines peccant vel bene agunt, eorum quæ nunc operantur alia quidem ipsorum propria sunt alia vero aliena, æquum autem est unumquemque pro delictis propriis dare pœnas, aut pro meritis propriis mercedem ferre. Fieri autem nequit ut quispiam, nisi solus propheta prænotionem habens, ab aliquo gesta sciat, quænam ejus propria sint et quænam non sint. Videt enim cuncta quæ fiunt. Et ego : Vellem, inquam, audire, quo modo ex criminibus aut bonis operibus alia quidem sunt propria, alia vero aliena.

XXIX. Respondit Petrus : Veritatis propheta dixit : *Oportet ut veniant bona. Beatus autem*, inquit, *per quem veniunt. Similiter necesse est ut etiam veniant mala : væ autem illi per quem veniunt* (a). Porro si per malos veniunt mala et per bonos bona inferuntur, ut proprium unicuique inesse debet bonum vel malum, et ex iis quæ prius operatus est ; quod veniunt secunda bona vel mala, quæ,

A πός ἐστιν ; Καὶ ὁ Πέτρος· Τοὐναντίον λέγεις. Ἐπεὶ γὰρ κρινεῖ [47], διὰ τοῦτο φιλάνθρωπός ἐστιν. Φιλῶν γὰρ καὶ ἐλεῶν τοὺς ἠδικημένους, τιμωρεῖ [48] τοὺς ἠδικηκότας. Κἀγὼ ἔφην· Οὐκ οὖν, εἰ κἀγὼ ἀγαθοὺς μὲν εὐεργετῶ, τοὺς δὲ ἀδικοῦντας καθ' ὃ ἀνθρώπους ἠδίκησαν τιμωρῶ, **275** φιλάνθρωπός εἰμι ; Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἰ μετὰ τοῦ πρόγνωσιν (40) ἔχειν εἶχες καὶ τοῦ κρίνειν ἐξουσίαν, ὀρθῶς ἂν τοῦτο ἐποίεις, διὰ μὲν τὸ εἰληφέναι τὴν ἐξουσίαν καταδικάζων οὓς ὁ Θεὸς ἐδημιούργησε, διὰ δὲ τὴν πρόγνωσιν ἀπταίστως ἐν τῷ κρίνειν οὓς μὲν ὡς δικαίους δικαιῶν, οὓς δὲ ὡς ἀδίκους καταδικάζων. Κἀγὼ ἔφην· Ὀρθῶς ἔφης καὶ ἀληθῶς· ἀδύνατον γάρ τινα πρόγνωσιν οὐκ ἔχοντα ὀρθῶς κρῖναι. Ἐνίοτε γὰρ φαίνονταί τινες ἀγαθοὶ, ἀθέμιτα κρύφα διαπρασσόμενοι, ἔνιοι δὲ ἀγαθοὶ ὑπὸ διαβολῆς ἐχθρῶν κακοὶ ὑπολαμβανόμενοι. B Ἀλλ' εἰ καὶ τοῦ βασανίζειν καὶ ἀνακρίνειν ἐξουσίαν τις ἔχων δικάζει, οὐδὲ οὕτως τὸ πάντως δικαίως αὐτῷ δικάσαι ἐγίνετο. Ἔνιοι γὰρ, φονεῖς ὄντες, τὰς βασάνους ὑπομείναντες; ὡς ἀθῶοι, ἀπελύθησαν, ἕτεροι δὲ, ἀθῶοι ὄντες [49], τὰς βασάνους μὴ ὑπομείναντες, ἑαυτῶν καταψευσάμενοι, ὡς αἴτιοι ἐκολάσθησαν.

XXVIII. Καὶ ὁ Πέτρος· Μετρίως, ἔφη, ἔχει καὶ ταῦτα, τὸ δὲ μεῖζον ἄκουσον. Ἐνίων ἀνθρώπων ἁμαρτανόντων ἢ εὐπραττόντων, ὧν νῦν [50] ποιοῦσιν ἃ μὲν ἴδια αὐτῶν ἐστιν, ἃ δὲ ἀλλότρια, δίκαιον δὲ ἕκαστον ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασι τιμωρεῖσθαι ἢ ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν εὐεργετεῖσθαι. Ἀδύνατον δὲ τινι, πλὴν προφήτῃ μόνῳ πρόγνωσιν ἔχοντι, τὰ [51] **276** ὑπό τινος γινόμενα εἰδέναι, ποῖά ἐστιν αὐτοῦ ἴδια, ποῖα δὲ οὐκ ἦν· πάντα γὰρ δι' αὐτοῦ γινόμενα βλέπεται. C Κἀγὼ ἔφην· Ἐβουλόμην μαθεῖν πῶς τῶν ἀδικημάτων ἢ κατορθωμάτων ἃ μὲν ἴδια, ἃ δὲ ἀλλότρια.

XXIX. (41) Καὶ ὁ Πέτρος ἀπεκρίνατο, ὅτι ὁ τῆς [52] ἀληθείας προφήτης ἔφη· Τὰ ἀγαθὰ ἐλθεῖν δεῖ, μακάριος δὲ, φησὶ, δι' οὗ ἔρχεται. Ὁμοίως καὶ τὰ κακὰ ἀνάγκη ἐλθεῖν· οὐαὶ δὲ δι' οὗ ἔρχεται. Εἰ δὲ διὰ κακῶν κακὰ ἔρχεται, καὶ διὰ ἀγαθῶν ἀγαθὰ φέρεται, προσεῖναι δεῖ ἑκάστῳ τὸ ἴδιον, τὸ ἀγαθὸν εἶναι [53] ἢ κακὸν, καὶ ἐξ ὧν προέπραξεν, διὰ τοῦ [54] ἐλθεῖν τὰ δεύτερα ἀγαθὰ ἢ κακὰ, ἅτινα ἴδια αὐτοῦ τῆς αἱρέσεως ὄντα ὑπὸ

(a) Matth. xviii ; Luc. xvii.

VARIÆ LECTIONES.

[47] κρίνει C. [48] τιμορεῖται O., ultimis tribus litteris subnotatis Vbb. τοὺς ἠδικηκότας εὐεργετῶ in eodem desunt. [49] Vbb. τὰς βασάνους ἀθῶοι ὄντες desiderantur in O. [50] νῦν om. O. c. cod. Reg. 804, et *Epit.* [51] ἔχοντα p. ἔχοντι τά O. [52] ὁ τῆς adjunxi ex O. [53] εἶναι, quod deest ap. Joan, Damascenum *Parall. sacr.* i, 28, ubi nostra excerpta leguntur, deleri vult D. Fortasse τό post ἑκάστῳ mutandum in ὡς, atque verba ἐξ ὧν προέπραξεν infra collocanda post ἐλθεῖν secundum S. [54] S : διὰ τό scribit Neander *Gnost. syst.* p. 413. Idem post αἱρέσεως excidisse contendit μή.

VARIORUM NOTÆ.

(40) Πρόγνωσις hoc loco non est *prænotio*, ut vertit C., sed cognitio præteritorum, τῶν πρότερον γεγονότων γνῶσις. Cl. ad *Epit.* c. 95. Πρόγνωσις significat (coll. c. 38) scientiam absolutam, qualem habet verus propheta, qui est ὁ πάντα πάντοτε εἰδώς, coll. hom. ii, 5 ; iii, 11. S. Dressel.

(4) Καὶ ὁ Πέτρος ἀπεκρίνατο. Apud Joannem Damascenum ms. *Eclogarum* capite Περὶ ἀγγέλον τος καὶ μεσάζοντος ἀποκρισιν, quod est *Parallelorum*, lib. i, cap. 28 : Κλήμεντος ὡς ἀπὸ τοῦ ἁγίου Πέτρου. Ὁ Κύριος ἔφη· « Ἀγαθὰ δεῖ ἐλθεῖν· μακάριος δι' οὗ ἔρχονται. Ὁμοίως καὶ τὰ κακὰ δεῖ ἐλθεῖν· οὐαὶ δι' οὗ ἔρχονται. » Εἰ δὲ διὰ κακῶν κακὰ ἔρχονται, καὶ δι' ἀγαθῶν ἀγαθὰ ἔρχονται, προσεῖναι δεῖ ἑκάστῳ τὸ δίκαιον, τὸ ἀγαθὸν ἢ κακὸν, καὶ ἐξ ὧν προέπραξε διὰ τοῦ ἐλθεῖν τὰ δεύτερα, ἢ ἀγαθὰ ἢ κακὰ, ἅτινα ἴδια αὐτοῦ τῆς προαιρέσεως ὄντα, ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας προελθεῖν οἰκονόμηται. Cot.

A τῆς τοῦ Θεοῦ προνοίας διελθεῖν [55] ᾠκονόμηται. Ἐπεὶ [56] κρίσις αὕτη Θεῷ, ὥσπερ ἐπ' ἀγῶνος τὸν διὰ πάσης κακουχίας διεληλυθότα καὶ ἄμεμπτον εὑρεθέντα, ἐκεῖνον ζωῆς αἰωνίου καταξιοῦσθαι. Οἱ γὰρ ἐν ἀγαθοῖς ἰδίᾳ βουλῇ προκόψαντες ὑπὸ τῶν ἰδίᾳ βουλῇ ἐν κακίᾳ [57] παραμεινάντων πειράζονται, διωκόμενοι, μισούμενοι, λοιδορούμενοι, ἐπιβουλευόμενοι, τυπτόμενοι, πλεονεκτούμενοι, διαβαλλόμενοι [58], ἀγγαρευόμενοι, ἐπηρεαζόμενοι, πάντα ἐκεῖνα πάσχοντες, δι' ὧν εὐλόγως δοκεῖ τὸ ὀργίζεσθαι γίνεσθαι [59] καὶ πρὸς ἄμυναν ὁρμᾷν.

277 XXX. Ὁ δὲ διδάσκαλος εἰδώς, ὅτι οἱ ταῦτα ἀδίκως ποιοῦντες ἐκ προτέρων ἁμαρτημάτων κατάδικοί εἰσιν, καὶ ὅτι διὰ καταδίκων τὸ τῆς κακίας πνεῦμα ταῦτα ἐνεργεῖ, τοὺς μὲν ἀνθρώπους, καθὰ [60] ἄνθρωποί εἰσιν, καὶ δι' ἁμαρτίας ὄργανα γινομένους B κακίας, ἐλεεῖν συνεβούλευσεν [61], ὡς φιλανθρωπίαν ἀσκοῦσιν, καὶ τὸ ὅσον ἐπ' αὐτοῖς ἐστιν, ἀδικουμένους καὶ ἀπολύειν [62] τῆς καταδίκης τοὺς ἀδικοῦντας, ἵνα ὥσπερ οἱ νήφοντες τοῖς μεθύουσι βοηθῶσιν, εὐχαῖς, νηστείαις, εὐλογίαις, μὴ ἀνθιστάμενοι, μὴ ἀμυνόμενοι, ἵνα μὴ ἐπὶ τὸ πλεῖον αὐτοὺς ἁμαρτεῖν ἀναγκάσωσιν. Τοῦ γὰρ παθεῖν πάντως κεκριμένου τινὶ [63], οὐκ εὔλογον ἀγανακτεῖν ἐκείνῳ, δι' οὗ τὸ παθεῖν γίνεται, λογισάμενον, ὅτι, εἰ καὶ ἐκεῖνος οὐκ ἐκακούχησεν αὐτόν· διὰ τὸ πάντως κακουχηθῆναι μέλλειν διὰ [64] ἑτέρου τὸ παθεῖν ἦν. Τί οὖν ἀγανακτῶ τῷ διαθεμένῳ, ἐμοῦ πάντως παθεῖν κεκριμένου; Ἀλλ' ἔτι μήν, εἰ τὰ αὐτὰ τοῖς κακοῖς προφάσει ἀμύνης ποιῶμεν, παρὰ τὸ πρῶτοι, δεύτεροι τὸ αὐτὸ τοῖς κακοῖς [65] οἱ ἀγαθοὶ πράσσομεν. Καὶ ὡς ἔφην, οὐ χρὴ ἀγανακτεῖν, ὡς εἰδότα [66] ὅτι Θεοῦ προνοίᾳ οἱ κακοὶ τοὺς C ἀγαθοὺς τιμωροῦσιν. Οἱ οὖν τοῖς [67] τιμωροῦσιν χαλεπαίνοντες, ὡς τοὺς ἀποστόλους Θεοῦ ὑβρίζοντες, ἁμαρτάνουσιν· τιμῶντες δὲ καὶ τὰ ἐναντία τοῖς ἀδικεῖν νομιζομένοις 278 διατιθέμενοι αὐτούς, εἰς τὸν Θεὸν τὸν οὕτω βουλευσάμενον εὐσεβοῦσιν.

XXXI. Κἀγὼ πρὸς ταῦτα ἀπεκρινάμην· Οὐκοῦν οἱ ἀδικοῦντες οὐκ εἰσὶν αἴτιοι, ὅτι κρίσει Θεοῦ ἀδικοῦσι τοὺς δικαίους. Καὶ ὁ Πέτρος ἔφη· Καὶ πάνυ ἁμαρτάνουσιν, πρὸς γὰρ τὸ ἁμαρτάνειν ἑαυτοὺς ἀποδεδωκότες. Ὅθεν εἰδὼς ἀπ' αὐτῶν [68] ἐκλέγεται τιμωρεῖν τοὺς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι μεταμεληθέντας δικαίως, ἵνα τοῖς μὲν δικαίοις διὰ τῆς τοιαύτης τιμωρίας τὰ πρὸ τῆς μετανοίας πραχθέντα ἀφεθῇ κακά. Τοῖς δὲ τιμωροῦσιν ἀσεβέσι κακουχεῖν ἐπιθυ- D μοῦσι καὶ μετανοεῖν μὴ θέλουσιν εἰς ἀναπλήρωσιν ἰδίας [69] κολάσεως δικαίους κακουχεῖν συνεχωρήθη·

cum a propria hominis sint voluntate, ut exoriantur, dixina instituit Providentia. Itaque hoc est Dei judicium, ut qui per omnem vexationem, velut in agone, transierit et inventus fuerit inculpatus, is donetur vita æterna. Nam qui in bonis propria voluntate profecerunt, ab iis qui sua quoque voluntate in mala tractatione perseverant, tentantur, exagitantur, odia, convicia, insidias, verbera, fraudes, calumnias, vim patiuntur, afficiuntur contumeliis, cunctaque illa perferunt, per quæ justa videtur esse ira et ultio.

VIII. Si ergo accuratam hujus negotii rationem audire cupias, quos paulo ante dixisti injuria affici, ipsi potius nocent. Quoniam illi quidem, qui elegerunt futura, usum rerum præsentium simul cum malis hominibus accipiunt, cum aliis percipientes, nempe ipsam vitam, lucem, panem, aquam, indumentum et alia quædam hujusmodi. Qui vero a te putantur facere injuriam, in futuris bonis nulla ex parte cum aliis viris degent. Et pater ad hæc respondit: Nunc quando persuasisti mihi, eos, qui injuriam faciunt, injuriam pati, eos autem, qui injuria afficiuntur, potius injuriam facere, adhuc amplius res omnium iniquissima mihi videtur, quoniam ii quidem, qui videntur conferre injuriam, multa iis concedunt qui futura elegerunt; qui vero videntur injuriam sustinere, ipsi eam inferunt, quia hominibus, qui hic ipsis concessere, non præbent illic eadem, quibus illi ipsos donarunt. Et Petrus: Neque hoc iniquum est, quandoquidem unusquisque potestate præditus est anteponendi vel præsentia vel futura, sive parva sint, sive magna. Qui proprio judicio et consilio deligit, non afficitur injuria, neque, inquam, licet parva præferat, quando et magna prostabant. Nam ei proposita etiam erant quæ exigua sunt. Et pater ait: Recte locutus es. Etenim dictum est a quodam inter Græcos sapiente: *Culpa deligentium est, Deus culpa caret.*

IX. Sed et adhuc hanc mihi enarra rationem. Memini Clementem mihi dicere, nos injurias et af-

VARIÆ LECTIONES.

[43] λαβεῖν, τά O, λαβεῖν τῶν C. Locum mendosum Schliemannus *Clem.* p. 239 sic emendat: τοῖς δὲ — κρίνασι λαβεῖν, τὰ ἐντ. ὡς ἀλλ. βασ., ἴδια ὄντα αὐτοῖς — ὕδωρ μόνον καὶ ἄρτον — περιβόλαιον ἕν — Ego malim: οἱ δὲ βασιλέως ἴδιοι ὄντες οὐδενὸς ἐξουσίαν ἔχουσιν, εἰ μὴ, κ. τ. λ. vel οὐδὲν αὐτοῖς λογίζεσθαι ἐξουσίαν ἔχουσιν ἐκτὸς, κ. τ. λ. S. [44] νομίζεσθαι exh. etiam O, sed ad oram: Ἴσως νοσφίζεσθαι ἢ αὐτῶν νομίζεσθαι.. [45] Schliemannus l. c. scribit ἑκόντι' at nihi l mutandum cl. Lobeck *Phryn.* p. 5. S. [46] ἐφεῖται O. [47] Fort. πάντ' ἐφορωντος· S. [48] θέλεις O. Subinde οὓς O et ex conject. C, in cuj. textu ὡς. [49] Cotelerius reponit καλοῖς, eamque lectionem in sua versione dedit expressam. Sed sana est vulgata. Mendum suspicatus est vir doctissimus, quod τοῖς κακοῖς non masculinam, ut par erat, sed neutram potestatem tribuerit. D. Neque O approbat Ci conjecturam καλοῖς, cum exhibeat κακοῖς. Tum ἀπολαύοντές O c. D, ἀπολαβόντες, C, Cfr. hom. XI, 26. [50] Lege ἐν τοῖς ἐσομένοις τοῖς ἀγ. ἀνδ., quemadmodum supra legebatur ἐν τοῖς παροῦσι σύνεισιν τοῖς κακοῖς S. [51] ὅτε om. O. [52] ὅλον C. [53] Fortasse οὗτοι S. [54] δή S. δέ C, O.

VARIORUM NOTÆ.

(45) Καὶ γὰρ εἴρηταί τινι Ἑλλήνων σοφῷ· αἰτία ἑλομένων, Θεὸς ἀναίτιος. Pari modo apud Lucianum de mercede conductis in fine: Μέμνησο τοῦ σοφοῦ λέγοντος, ὡς Θεὸς ἀναίτιος, αἰτία δὲ ἑλομένου Et ut cujusdam veterum profertur in pseudo-Origenis *Comment.*, *ad Job* cap. XXXVIII, vers 7. Scripsit Plato lib. X *De republica* paulo ante finem: Αἰτία ἑλομένου, Θεὸς ἀναίτιος· sicque citatur a Justino Martyre *Apolog.* II, pag. 81; Clemente Alexandrino *Strom.* V, p. 613, ac Theodorito de Evangelica veritate ex Græca seu gentili philosophia serm. 6. Suis vero cum verbis miscet Clemens laudatus *Pædagogi* I, cap. 8, necnon Eusebius *Præparat. evang.* lib. VI, cap. 250, et *adversus Hieroclem* p. 542, 544. Denique Gregorii Nazianzeni eo alludentis locus est Invectiva prima *contra Julianum* p. 68: Ἀναίτιον γὰρ παρτάπασι κακῶν τὸ θεῖον, ἀγαθὸν τῇ φύσει τυγχάνον, καὶ τοῦ προελομένου τὰ τῆς κακίας. Justa itaque censura Ammonii Hermiæ Commentario in librum Aristotelis *De interpretatione*: Καθάπερ ὁ ἀπαιδεύτως παρ' Ὁμήρῳ λέγων·

Ἐγὼ δ' οὐκ αἴτιός εἰμι.
Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.

Il. T, 86, 87. Cot.— Par huic impia vox illa Dianæ ad Theseum, cum inscius, Venere ita volente, perdiderit filium Hippolytum, apud Euripidem:

Ἀνθρώποισι δὲ
Θεῶν διδόντωῦ, εἰκὸς ἐξαμαρτάνειν.

V. 1433, 1434. Drach.

flictiones ad peccatorum remissionem pati. Et Petrus : Recte ita habet. Nos enim, qui futura maluimus, quæ plura possidemus, seu vestes, seu cibos, seu potiones, seu alia quæpiam, peccata possidemus, quia nihil debemus habere, uti paulo ante sermone declaravi. Omnibus possessiones peccata sunt. Earum qualitercunque privatio ademptio est delictorum. Dixit pater : Recte habet, quemadmodum divisisti duos fines duorum regum, ut quis quod vult eligat ex iis quæ in alterutrius sita sunt potestate. Quid vero, an et afflictiones juste patimur? Et Petrus : Justissime. Quandoquidem enim eorum qui salvantur terminus est, sicut dixi, ut nemo aliquid habeat, multis autem multæ suppetunt possessiones, quæ aliter et peccata, ideo per eximiam Dei humanitatem afflictiones inducuntur iis qui non pure vivunt, ut propter aliquantam erga Deum charitatem per temporaria supplicia æternis pœnis liberentur.

X. Tum pater : Quid enim, nonne multos impios videmus pauperes? An propterea et illi inter eos qui salutem consequentur numerandi sunt? Et Petrus : Nequaquam omnino. Non enim probanda est inopia, si, quæ non oportet, appetat. Sic quoque nonnulli voluntate divites opum sunt pauperes, et tanquam facultatum cupidi puniuntur. Sed nec quod aliquis sit pauper, statim justus est. Potest quippe pauper esse pecunia, at eam cupere, aut id facere quod præcipue non oportebat. Nam vel idola colit, vel blasphemat, vel fornicatur, vel indifferenter vivit, perjurus, mendax, aut infidelis. Cæterum Magister noster fideles pauperes beatos prædicavit (*a*), eosque non velut aliquid largientes : neque enim habebant; sed quia, cum nihil peccarent, ob id solum, quod inopiæ ergo eleemosynam non aciebant, condemnari non poterant. Tum pater : Vere prorsus secundum propositam quæstionem res videntur recte habere : quare statui totam ordine audire doctrinam.

XI. Et Petrus : Itaque deinceps studenti tibi discere quæ ad nostram religionem pertinent debeo ordine exponere doctrinam, ab ipso incipiens Deo, et ostendens ipsum solum dici debere Deum, alios

A ματα καὶ τὰ πάθη [55] εἰς ἄφεσιν ἁμαρτιῶν πάσχομεν Καὶ ὁ Πέτρος· Ὀρθῶς ἔχει καὶ οὕτως. Ἡμεῖς γὰρ οἱ ἑλόμενοι **314** τὰ ἐσόμενα, ἃ κεκτήμεθα πλείονα (46), εἴτε ἐσθήματα [56] εἴτε βρώματα, εἴτε ποτὰ, εἴτε ἄλλα τινὰ, ἁμαρτίας κεκτήμεθα, διὰ τὸ δεῖν μηδὲν ἔχειν, ὡς μικρῷ τάχιον διεῖλον τὸν λόγον. Πᾶσι τὰ κτήματα ἁμαρτήματα [57]. Ἡ τούτων ὅπως ποτὲ στέρησις ἁμαρτιῶν ἐστιν ἀφαίρεσις. Καὶ ὁ πατὴρ ἔφη· Ἀκολούθως ἔχει, καθὼς διεῖλες [58] ὅρους τῶν δύο βασιλέων, τὰ ἐφ' ἑκάστῳ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ὄντων αἱρεῖσθαι ὃ βούλεται. Τί δὲ καὶ τὰ πάθη [59] εἰ δικαίως πάσχομεν; καὶ ὁ Πέτρος· Δικαιότατα. Ἐπεὶ γὰρ ὁ τῶν σωζομένων ὅρος ἐστὶν, ὡς ἔφην, τὸ [60] μηδενὶ μηδὲ ὑπάρχειν, ὑπάρχει [61] δὲ πολλὰ πολλοῖς κτήματα, καὶ ἄλλως ἁμαρτήματα, B τούτου χάριν ἐξ ὑπερβαλλούσης Θεοῦ φιλανθρωπίας ἐπάγεναι τὰ πάθη τοῖς μὴ εἰλικρινῶς πολιτευομένοις, ἵνα διὰ τὸ ποσῶς [62] φιλόθεον προσκαίροις τιμωρίαις αἰωνίων σωθῶσι κολάσεων.

X. Καὶ ο πατήρ· Τί δὲ [63] οὐ πολλοὺς ἀσεβεῖς ὁρῶμεν πένητας; Εἶτα [64] παρὰ τοῦτο καὶ οὗτοι τῶν σωζομένων εἰσίν; Καὶ ὁ Πέτρος· Οὐ πάντως. Οὐ γὰρ ἀποδεκτὴ ἡ πενία ὧν μὴ προσῆκεν ὀρεγομένη. Ὥστε τινὲς τῇ ποραιρέσει πλουτοῦσι πενόμενοι [65] χρήμασιν, καὶ ὡς πλεονεκτεῖν ἐπιθυμοῦντες τιμωροῦνται. **315** Ἀλλ' οὐδὲ ἐν τῷ πένητα εἶναί τινα πάντως δίκαιός ἐστιν· Δύναται γὰρ πτωχὸς μὲν τοῖς χρήμασιν εἶναι, ἐπιθυμεῖν δὲ ἢ καὶ πράττειν ὃ προηγουμένως οὐ χρή- Ἢ γὰρ εἴδωλα σέβει, ἢ βλασφημεῖ, ἢ πορνεύει, ἢ ἀδιαφόρως ζῇ, ἢ ἐπιορκῶν, ἢ ψευδόμενος, ἢ ἀπίστως βιούς. Πλὴν ὁ διδάσκαλος ἡμῶν πιστοὺς πένητας ἐμα-C κάρισεν [66], καὶ αὐτοὺς οὐχ ὡς παρεσχηκότας τι, οὐδὲ γὰρ εἶχον, ἀλλ' ὡς μηδὲν ἁμαρτάνοντας [67], καὶ ἐπὶ μόνῳ τῷ τὴν ἐλεημοσύνην μὴ ποιεῖν, διὰ τὸ μὴ ἔχειν καταδικασθῆναι οὐκ ἔχοντας [68]. Καὶ ὁ πατήρ· Ἀληθῶς πάνυ κατὰ τὴν ὑπόθεσιν ὀρθῶς ἔχειν τὰ πράγματα φαίνεται, διὸ καὶ προαιρέσεως ἐγενομην τῇ τάξει παντὸς ἐπακοῦσαι τοῦ λόγου.

XI. Καὶ ὁ Πέτρος· Οὐκοῦν τοῦ λοιποῦ σπεύδοντί σοι τὰ κατὰ τὴν ἡμετέραν θρησκείαν μαθεῖν, ὀφείλω τῇ τάξει τὸν λόγον ἐκθεῖναι ἀπ' αὐσοῦ ἀρχόμενος τοῦ Θεοῦ, καὶ δεικνὺς ὅτι αὐτὸν μόνον δεῖ λέγειν Θεὸν,

(*a*) Matth. v, 3.

VARIÆ LECTIONES.

[55] παθήματα O. [56] ἐσθῆτα C. [58] Εἰ γὰρ ἐν πᾶσι τὰ κτήματα προξενεῖν οἶδε τοῖς ἔχουσιν ἁμαρτήματα p. πᾶσι τὰ κτήματα ἁμαρτήματα O. Idem scr. ὁπώσποτε [58] Ita O c. S, διείλας C. Occurrit forma εἰλάμην Lob. *Pryn*. p. 183), non autem, quantum sciami .oristus act. εἶλα S. Tum p· τά sensus postulat εἶναι, *esse iu cujusvis potestate*. D S maluerit οντος. [59] Dedi καὶ τὰ πάθη c. O, κατὰ πᾶσιν (lectio monstruosa) C, παντάπασιν S ex conjectura. [60] τό D, τοῦ C, O. [61] Ita O c. S, ὑπάρχῃ C. Tum omisi Ci τά ante αλλως c. O. [62] τοσῶς Cl et S. [63] δέ Cl et O, δή C. [64] εἶτα add. c. O. [65] ἡ τοῦ πένητος πενία, ἐὰν ὀρέγεται (ὀρέγηται var. lect. ap. C) ὧν οὐ χρή (ὥστε ὥσπερ conj. S) τινὲς τῇ προαίρεσει πλουτοῦσιν C. [66] Credner, *Beitr*. I, 307. S. [67] Ita S ὅτι μηδὲν ἁμαρτάνοντες C et O qui om. seq. καί a S additum. τὴν ἐλ. S, O τῆς ἐλ. C. [68] ἔχουσι O.

VARIORUM NOTÆ.

(46) Ἃ κεκτήμεθα πλείονα, etc. Duriuscule sunt hæc adversus divitias dicta : unde a Metaphraste molliuntur *Epitome* cap. 127. Certe apud Epiphanium hæresi 30, cap. 17, Ebionæi gloriantur se esse ac vocari πτωχούς Inveni autem usurpatum comma verborum ipsorum in *Vita Nili junioris*, quam Romæ edendam curavit Matthæus Caryophilus p.142, hoc pacto : Μάθετε, ἀδελφοί, τοῦτο, ὅτι ἡ τῶν πραγμάτων ὁπωσδήποτε στέρησις, ἁμαρτημάτων ἐστὶν ἀφαίρεσις. COT.

ἑτέρους δὲ μήτε λέγειν [69] μήτε νομίζειν, καὶ ὅτι ὁ A παρὰ τοῦτο ποιῶν αἰωνίως ἔχει κολασθῆναι, ὡς εἰς αὐτὸν τὸν τῶν ὅλων δεσπότην ἀσεβήσας τὰ μέγιστα. Καὶ ταῦτα εἰπὼν καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμένοις καὶ νοσοῦσι καὶ δαιμονῶσι [70] τὰς χεῖρας ἐπιθεὶς καὶ εὐξάμενος καὶ ἰασάμενος ἀπέλυσε τοὺς ὄχλους. Καὶ εἰθοῦτως εἰσιὼν τῶν συνηθεστέρων [71] ἁλῶν μεταλαβὼν ὕπνωσεν.

—

216 ὉΜΙΛΙΑ ΙϚʹ.

I. Ὄρθρου δὲ ἐξιὼν ὁ Πέτρος καὶ ἐπιστὰς ἐπὶ τὸν συνήθη τοῦ διαλέγεσθαι τόπον ὄχλον πολὺν συνεστῶτα εἶδεν [72]. Καὶ ἅμα· τῷ μέλλειν διαλέγεσθαι αὐτὸν εἰσῄει τις τῶν αὐτοῦ διακόνων λέγων· Σίμων ἀπὸ Ἀντιοχείας ἐληλυθὼς ἐπ' [73] αὐτῆς ἑσπέρας, μαθών ὑποσχόμενόν σε τὸν περὶ μοναρχίας πειεῖσθαι λόγον [74], B ἕτοιμός ἐστι μετά γε [75] Ἀθηνοδώρου τοῦ Ἐπικουρείου διαλεγομένῳ σοι ἐπελθεῖν, πρὸς τὸ ἀντιλέγειν δημοσίᾳ πᾶσι τοῖς ὑπὸ σοῦ ὁπώσποτε ὑπὲρ μοναρχίας λεγομένοις λόγοις. Ταῦτα τοῦ διακόνου λέγοντος, ἰδοὺ αὐτὸς εἰσῄει Σίμων μετὰ Ἀθηνοδώρου καὶ ἄλλων τινῶν τῶν ἑταίρων [76], καὶ πρὸ τοῦ τι τὸν Πέτρον φθέγξασθαι αὐτὸς προλαβὼν ἔφη·

II. Ἔμαθον ὡς ὑπέσχου ἐχθὲς [77] τῷ Φαύστῳ, εἰς τὴν σήμερον δεῖξαι τῇ τάξει τὸν λόγον ποιούμενος, καὶ ἀπ' αὐτοῦ ἀρχόμενος τοῦ τῶν ὅλων δεσπότου, ὅτι αὐτὸν μόνον δεῖ λέγειν Θεὸν [78], ἄλλους δὲ μήτε λέγειν μήτε νομίζειν, ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰωνίως κοκασθῆναι ἔχει. Πρὸ πάντων δὲ ἀληθῶς καταπέπληγμαί σου τὴν ἀπόνοιαν [79], ὅτι ἤλπισας εἰς τὴν σὴν C βούλησιν μεταπεῖσαι ἄνδρα σοφὸν, καὶ ταῦτα πρεσβύτην. Ἀλλ' οὐκ ἐπιτεύξῃ τῶν σῶν βουλευμάτων, ταύτῃ μᾶλλον, παρόντος ἐμοῦ, καὶ τοὺς 217 ψευδεῖς σου διελέγχοντος λόγους. Ἴσως γὰρ ἐμοῦ μὴ παρόντος ἠπατήθη ἂν ὁ σοφὸς γέρων, ἰδιώτης ὢν τῶν παρὰ Ἰουδαίοις δημοσίᾳ πεπιστευμένων [80] βίβλων. Καὶ τὸ νῦν τοὺς πολλοὺς ὑπερθήσομαι λόγους, ἵνα τῆς ὑποσχέσεώς σου τάχιον τὸν ἔλεγχον ποιήσωμαι. Διὸ ἐφ' ἡμῶν αὐτῶν τὰς Γραφὰς εἰδότων, ὃ ὑπέσχου λέγειν, ἄρξαι. Εἰ δὲ τὸν ἔλεγχον αἰδούμενος ἐφ' ἡμῶν αὐτῶν τὴν [81] ὑπόσχεσιν παραλιπεῖν θέλεις, αὐτάρκης καὶ οὕτως ἡ ἀπόδειξις ὅτι ψεύδῃ [82], καθ' ὅτι ἐπὶ τῶν τὰς Γραφὰς εἰδότων εἰπεῖν οὐκ ἐτόλμησας. Καὶ νῦν δὲ τί σε ἀναμένω λέγειν, μέγιστον ἔχων μάρτυρα τῆς ὑποσχέσεώς σου τὸν παρεστῶτα γέροντα; Καὶ ταῦτα εἰπὼν ἐμβλέψας τῷ πατρὶ ἔφη· Εἰπέ μοι, ἀνδρῶν D πάντων τιμιώτατε, οὐχὶ οὗτος ὁ ἀνὴρ ὑπέσχετό σοι δεῖξαι σήμερον, ὅτι εἷς ἐστι Θεὸς και οὐ χρὴ ἕτερόν τινα λέγειν ἢ νομίζειν Θεὸν [83], ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς τὰ μέγιστα ἁμαρτάνων, αἰωνίως κολασθῆναι ἔχει; Ἢ γὰρ οὐκ ἀποκρίγῃ μοι [84] ε

III. Καὶ ὁ πατὴρ ἔφη· Καλῶς ἂν τὴν μαρτυρίαν

vero nec dici nec existimari, hominem autem, qui secus fecerit, perpetuo supplicio multandum, ut qui in ipsum universorum Dominum maxime impius exstiterit. Atque his dictis, cumque aliqua perpessione infestatis, ægrotantibus et dæmoniacis imposuisset manus, item precatus esset ac eos curasset, dimisit populum. Et postea ita ingressus, solito, admodum cibo percepto, se somno dedit.

—

HOMILIA XVI.

I. Mane vero egressus Petrus, cum venisset ad locum, in quo disserere solebat, ingentem hominum multitudinem convenisse vidit. Et simul ac ipse jam esset locuturus, introvit quidam ex ejus diaconis, dicens : Simon, qui ab Antiochia ipsa vespera venit, audiens te promisisse de monarchia seu principatu unius verba esse facturum, paratus est una cum Athenodoro Epicureo tibi disserenti intervenire, ut palam impugnet omnia quæcunque pro monarchia a te quomodocunque proferentur verba. Hæc dicente diacono ecce ingressus est Simon cum Athenodoro aliisque nonnullis sodalibus : et, ante quam Petrus aliquid proferret, ipse anticipans ait :

II. Comperi, te heri Fausto pollicitum esse, quod hodie habito sermone ordine esses ostensurus, et incipiendo ab ipso universorum domino, eum solum dicendum esse Deum, alios vero neque dicendos, neque existimandos, quoniam qui secus fecerit, perpetuo supplicio multabitur. Ante omnia autem vere vecordiam tuam demiratus sum, quod speraveris te posse in tuam sententiam adducere virum sapientem, ad hæc senem. At quæ vis non obtinebis, me potissimum præsente tuosque redarguente falsos sermones. Forte enim absente me deceptus fuisset sapiens senex, cum imperitus sit librorum qui Judæis palam sunt traditi. Et nunc multis verbis supersedebo, ut citius promissionem tuam confutem. Quocirca coram nobis Scripturarum peritis quod pollicitus es incipe dicere. Sin autem reprehensionem veritus coram nobis vis promissum omittere etiam sic sufficiens erit probatio, quod fallas, quandoquidem coram hominibus Scripturas callentibus non ausus sis loqui. Et vero jam cur exspecto ut dicas, qui maximum habeo testem pollicitationis tuæ astantem senem? Et post hæc verba patrem intuitus, ait : Dic mihi, virorum præstantissime, nonne iste homo tibi pollicitus est ostensurum se hodie unum Deum esse, nec alium dicendum aut habendum Deum, illum autem, qui secus fecerit tanquam peccatorem maximum perpetuo supplicio multandum esse? An enim non respondes mihi?

III. Respondit pater : Recte a me testimonium

VARIÆ LECTIONES.

[69] λελέγειν (sic) O. [70] δαιμονιῶσι C. [71] συνήθων O, quod præstat. [72] Ita O c. S, ἴδεν C. [73] ἐπ' D, ἀπ' C, O. [74] λέγων O. [75] γε om. O. Tum διαλεγομένῳ O c. *Epit.*, διαλεγομένου C. [76] τῶν ἑταίρων om O. [77] χθὲς O. [78] Θεόν addidi cum O et *Epit.* [79] πρόνοιαν C. ὑπόνοιαν *Epit.* [80] πεπιστωμένων O, qui deinde τὰ νῦν [81] σήν Cl et S invitis codd. [82] Ita O c. D, ψευδής C, qui conj. ψεύδεις *Epit.* ψευδῆ τὰ ὑπεσχημένα Cfr. infra c. 8. [83] Θεόν O. [84] ἢ γὰρ οὐχ; ἀπόκριναί μοι conj. D.

postulare, Simon, si antea Petrus negasset. Nunc autem non verebor dicere quæ dicenda sunt. Arbitror te ira constrictum ac inflammatum velle disputationem suscipere : porro neque convenit te hoc facere, neque nos tali præbere aurem, quoniam id pugnam videre est,et non ad veritatem juvari.Atque nunc, ex Græca eruditione sciens, quo modo gerere se debant disceptantes, commonebo. Uterque vestrum dogma suum exponat, et alternis verba fiant. Quod si solus Petrus explicet suam sententiam, tu vero tuam reticeas, fieri potest, ut aliquis a te prolatus sermo et tuam et illius opinionem premat, atque ut uterque vestrum, licet revera sit illo sermone victus, non videatur tamen superatus, sed is solus, qui suam opinionem exposuit, ille vero, qui non exposuit, non videatur pariter esse superatus, immo superasse existimetur. Et Simon respondit : Faciam quemadmodum dicis : verum valde timeo, ne jam ipsius verbis occupatus non sis judex veri studiosus.

IV. Et Pater respondit : Ne me cogas temere ac indicta causa tibi assentiri,ut judex videar veritatis amans. Quod si vera audire cupis, tua potius sententia præoccupatus sum. Ac Simon : Quomodo es præoccupatus, qui nescis quid sentiam ? At pater : Facile est illud cognoscere : et quonam pacto,audi. Pollicitus es, a te falsi convictum iri Petrum, qui unum esse Deum asserat. Cæterum qui promittit se falsi redarguturum assertorem unius Dei,is non idem affirmat ac ille evidentissime vera loquens.Si enim idem diceret cum eo, qui ementita loquitur, ipse quoque esset mendax : si vero contraria dicere se ostendit, tunc verus est. Non alia ergo ratione prædicatorem unius Dei esse mendacem pronuntias, nisi quia multos deos esse censes. Atqui multos deos esse ego quoque aio. Idem igitur, quod tu, ante disceptationem dico, et pro te potius sum occupatus. Quare non debes de me esse anxius, sed Petrus, quia adhuc contra atque ille sentio. Propterea post disputationem vestram spero,quod veri studiosus judex, deposita anticipatione, prævalenti consensurus sim orationi. Hæc cum pater dixisset, sensim clamor quidam laudationis a populo exortus est quoniam ita pater esset locutus.

V. Porro Petrus dixit : Ego, sicut controversiæ arbiter pronuntiavit, agere sum paratus : jamque absque ulla mora meam de Deo sententiam explicabo. Unum ego esse Deum assero, conditorem cœli et terræ omniumque iis contentorum.Ac alium neque dicere, neque extimare licet. Tum Simon Ego autem aio, a Scripturis quæ apud Judæos creduntur, dici multos deos, nec de eo succensere

παρ' ἐμοῦ ἀπήτεις, Σίμων, εἰ πρότερον ἠρνεῖτο ὁ [85] Πέτρος. Νῦν δὲ οὐκ αἰδεσθήσομαι λέγειν ἃ δεῖ λέγειν. Οἶμαί σε ὀργῇ πεπρησμένον [86] διαλεχθῆναι θέλειν, ὅπερ ἀνοίκειόν σοι τοῦτο [87] ποιεῖν, καὶ ἡμῖν τοιοῦτον ἐπακούειν, ὅτι μάχην ἐστὶν **218** ἱστορῆσαι, καὶ οὐ πρὸς ἀλήθειαν ὠφελεῖσθαι. Καὶ νῦν ἐξ Ἑλληνικῆς παιδείας, ὡς χρὴ τοὺς ζητοῦντας ποιεῖν, εἰδὼς ὑπομνήσω. Ἑκάτερος ὑμῶν τὸ ἑαυτοῦ δόγμα ἐκθέσθω, καὶ εἰς ἕτερον οἱ λόγοι γενέσθωσαν [88]. Ἐὰν δὲ Πέτρος μόνος ἐκθῆται τὸ ἑαυτοῦ φρόνημα, σὺ δὲ τὸ σὸν σιωπᾷς, ἐνδέχεταί τινα λόγον ὑπὸ σοῦ ῥηθέντα θλίβειν [89] τὸ αὐτοῦ [90] καὶ τὸ σὸν φρόνημα, καὶ ἀμφοτέρους ὑμᾶς ὑπὸ τοῦ λόγου ἡττηθέντας μὴ φαίνεσθαι ἡττημένους, ἀλλὰ τὸν ἐκθέμενον τὸ φρόνημα, τὸν δὲ μὴ ἐκθέμενον ὁμοίως ἡττημένον [91] μὴ πρόδηλον εἶναι, ἀλλὰ καὶ νενικηκέναι νομίζεσθαι. Καὶ ὁ Σίμων ἀπεκρίνατο· Ποιήσω ὡς λέγεις, ἀθυμῶ δὲ μήπως ἤδη προειλημμένος αὐτοῦ τοῖς λόγοις οὐ φιλαλήθης ἔσῃ κριτής.

IV. Καὶ ὁ πατὴρ ἀπεκρίνατο· Μή με βιάζου ἀκρίτως συνθέσθαι σοι, ἵνα δόξω φιλαλήθης εἶναι κριτής, εἰ δὲ τἀληθῆ ἀκοῦσαι θέλῃς [92], τῷ σῷ φρονήματι μᾶλλον προείλημμαι. Καὶ ὁ Σίμων· Πῶς προείληψαι, οὐκ εἰδὼς ὃ φρονῶ; Καὶ ὁ πατήρ· Τοῦτο ῥᾴδιόν ἐστιν εἰδέναι, καὶ πῶς, ἄκουσον. Ἐλέγξειν [93] ὑπέσχου Πέτρον ἕνα Θεὸν λέγοντα εἶναι, ὅτι ψεύδεται ὁ δὲ τὸν [94] ἕνα λέγοντα ψεύσματος ἐλέγξαι ἐπαγγελλόμενος, πάντως εὔδηλον ὡς ἐκεῖνος ἀληθεύων, οὐ τὸ αὐτὸ [95] λέγει. Εἰ γὰρ τῷ καταψευδομένῳ τὸ αὐτὸ **219** λέγει, καὶ αὐτὸς ψεύδεται, εἰ δὲ τὰ ἐναντία λέγων ἀποδείκνυσιν, τότε ἀληθεύει. Οὐκ ἄλλως οὖν τὸν ἕνα Θεὸν εἶναι λέγοντα ψεύστην λέγεις, εἰ μή τι ἂν ὅτι πολλοὺς δοξάζῃς [96] θεούς. Θεοὺς δὲ πολλοὺς εἶναι κἀγὼ [97] λέγω. Τὸ αὐτοὺ οὖν σοι πρὸ τῆς ζητήσεως λέγων, σοὶ μᾶλλον προείλημμαι. Καὶ κατὰ τοῦτο ἀγωνιᾷν περὶ ἐμοῦ οὐκ ὀφείλεις, ἀλλὰ Πέτρος, ὅτι ἀκμὴν αὐτῷ τὰ ἐναντία φρονῶ. Ὥσπερ [98] μετὰ τὴν ὑμετέραν ζήτησιν ἐλπίζω φιλαλήθης ὢν κριτής, πρόληψιν ἀποδυσάμενος, τῷ ἐπικρατοῦντι συνθέσθαι λόγῳ. Ταῦτα τοῦ πατρὸς εἰπόντος ἠρέμα βοή τις ἐπαίνου ἐκ τῶν ὄχλων ἐγένετο ἐπὶ τῷ οὕτως τὸν πατέρα διαλεχθῆναι.

V. Καὶ ὁμῶς ὁ Πέτρος ἔφη· Ἐγὼ, ὡς ὁ τῶν λόγων μεσίτης εἴρηκεν, ποιεῖν ἕτοιμός εἰμι, καὶ ἤδη ποτὲ πρὸ πάσης ἀναβολῆς τὸ ἐμὸν περὶ Θεοῦ ἐκθήσομαι φρόνημα. Κἀγὼ ἕνα Θεὸν εἶναι λέγω, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα. Ἄλλον τε οὔτε λέγειν, οὔτε νομίζειν ἔξεστιν. Καὶ ὁ Σίμων· Ἐγὼ δέ [99] φημι τὰς πεπιστευμένας Γραφὰς παρὰ Ἰουδαίοις πολλοὺς λέγειν θεοὺς, καὶ μὴ χαλο-

VARIÆ LECTIONES.

[85] ὁ om. O. [86] Ita O et ex conject. C, qui πεπρισμένον in textu, ὀργῆς πεπλησμένον *Epil.* 131 approbante D. [87] σοί τε O. Idem c. cod. Reg. 804 τοιούτων p. τοιοῦτον. Tum ὑπακούειν C. [88] καὶ ὑφ' ἑτέρῳ κρίνοντι τοὺς λόγους δοτέον O. [89] Clerici mendum θλίβλειν repetiit S. [90] ἑαυτοῦ C. [91] ἡττομένον O. [92] εἰ γὰρ τἀληθῆ βούλει μαθεῖν C. [93] ἐλέγχειν S. [94] τόν adjunxi c. O, qui om. ψεύσματος. [95] ὡς ἀληθεύων, τὸ αὐτό p. πάντως εὔδηλον ὡς ἐκεῖνος ἀληθεύων, οὐ τὸ αὐτό C. [96] δοξάζεις C. [97] φημί O. Lectionem λέγων, σοί ejusdem cod. jam vidit C, in cuj. textu λέγω σοί. [98] ὅπερ C. [99] δέ om. O.

παίνειν ἐπὶ τούτῳ τον Θεὸν, τῷ αὐτὸν διὰ τῶν Γραφῶν αὐτοῦ πολλοὺς θεοὺς [100] εἰρηκέναι.

VI. Αὐτίκα γοῦν ἐν τῇ πρώτῃ φωνῇ τοῦ νόμου φαίνεται καὶ ἑαυτῷ **320** αὐτοὺς ὁμοίους [1] λέγων. Οὕτως γὰρ γέγραπται, ὡς ὅτι τῷ πρώτῳ ἀνθρώπῳ, ἐντολὴν ἔχοντι παρὰ τοῦ Θεοῦ, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ φαγεῖν, ὁ ὄφις διὰ τῆς γυναικὸς ἐπὶ ὑποσχέσει τοῦ γενέσθαι αὐτοὺς θεοὺς φαγεῖν αὐτοὺς πείσας, ἀναβλέψαι ἐποίησεν· καὶ εἶθ' οὕτως ὁ Θεὸς ἀναβλέψασιν αὐτοῖς ἔφη· Ἰδοὺ γέγονεν Ἀδὰμ, ὡς εἷς ἐξ [2] ἡμῶν. Ὁ μὲν οὖν ὄφις εἰπών· Ἔσεσθε ὡς θεοὶ, ὡς ὄντων θεῶν εἰρηκὼς φαίνεται· ταύτῃ μᾶλλον ᾗ [3] καὶ Θεὸς ἐπεμαρτύρησεν εἰπών· Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ [4] ἡμῶν. Οὕτως ὁ τοὺς πολλοὺς εἰπὼν ὄφις εἶναι θεοὺς οὐκ ἐψεύσατο. Πάλιν δὲ τὸ γεγράφθαι [5]· Θεοὺς οὐ κακολογήσεις καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς, πολλοὺς σημαίνει θεοὺς, οὓς οὐδὲ κακολογεῖσθαι θέλει. Ἀλλὰ καὶ ἄλλοθί που γέγραπται· Εἰ ἐτόλμησε Θεὸς ἕτερος εἰσελθεῖν, καὶ λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους, ὡς ἐγὼ Κύριος ὁ Θεός. Τῷ [6] εἰπεῖν, εἰ ἐτόλμησε Θεὸς ἕτερος, ὡς ὄντων ἑτέρων εἴρηκεν. Καὶ ἄλλοτε [7]· Θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· ὡς μὴ τῶν πεποιηκότων ἀπόλλυσθαι μελλόντων [8]. Καὶ ἄλλῃ που λέγει· Ἔπεχε σεαυτῷ, μὴ πορευθεὶς λατρεύσῃς θεοῖς ἑτέροις, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες σου, ὡς ὄντων **321** θεῶν ἑτέρων, οἷς καὶ μὴ ἐξακολουθεῖν αὐτοὺς λέγει. Καὶ πάλιν. Ὀνόματα θεῶν ἑτέρων οὐκ ἀναβήσεται ἐπὶ τῶν χειλέων σου. Καὶ ἐνταῦθα πολλοὺς θεοὺς λέγει, ὧν τὰ ὀνόματα ὀνομάζεσθαι οὐ θέλει. Καὶ πάλιν γέγραπται· Κύριος ὁ Θεός σου, οὗτος Θεὸς τῶν θεῶν. Καὶ πάλιν. Τίς ὅμοιός σοι, Κύριε, ἐν θεοῖς; Καὶ πάλιν· Θεὸς θεῶν Κύριος. Καὶ πάλιν· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει [9]. Ὅθεν θαυμάζω πῶς τοσούτων φωνῶν ἐγγράφως μαρτυρουσῶν πολλοὺς εἶναι θεοὺς, σὺ διαβεβαίωσαι [9*] μὴ δεῖν μήτε λέγειν μήτε εἶναι νομίζειν. Λοιπὸν πρὸς τὰ σαφῶς ῥηθέντα εἴ τι [10] ἔχεις εἰπεῖν, ἐπὶ πάντων λέγε.

VII. Καὶ ὁ Πέτρος ἔφη· Συντομώτερον ἄκουε πρὸς ἃ εἴρηκας. Αὐτὸς ὁ νόμος ὁ πολλάκις εἰπὼν θεοὺς, αὐτὸς τῷ Ἰουδαίῳ ὄχλῳ λέγει· Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς τοῦ οὐρανοῦ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς, συμπεριλαβὼν, ὅτι εἰ καὶ εἰσι θεοὶ, ὑπ' αὐτόν εἰσιν· τουτέστιν ὑπὸ τὸν τῶν [10*] Ἰουδαίων Θεόν· Καὶ πάλιν· Ὅτι Κύριος ὁ Θεός σου,

Deum, quoniam ipse per Scripturas suas plures deos prolocutus est.

VI. Statim ergo in prima legis voce illos similes ac se prædicare dignoscitur. Ita enim scriptum est, quod,cum primo homini præceptum fuisset a Deo,ut de cunctis arboribus paradisi comederet,non comederet tamen de arbore cognoscendi bonum et malum, serpens per mulierem,promittendo illis divinitatem, comedere persuasos fecit aspicere, sicque postquam aspexerunt, Deus istis dixit : *Ecce Adam factus est quasi unus ex nobis* (*a*). Itaque serpens, quando dixit : *Eritis sicut dii* (*b*), quasi dii exsistant, locutus apparet, eo magis quod Deus suum addiderit testimonium, iis verbis : *Ecce Adam factus est quasi unus ex nobis* Ita qui multos esse deos asseruit serpens, mentitus non est. Præterea per illud quod scriptum est : *Diis non detrahes, et principibus populi tui non maledices* (*c*), plures deos significat, quibus nec maledici vult. Sed et alibi scriptum est: *Si ausus est Deus alius ingredi, et accipere sibi gentem de media gente, sicut ego Dominus Deus* (*d*). Illud : *Si ausus est Deus alius*, tanquam sint alii, dixit. Et alias : *Dii, qui cælum et terram non fecerunt, pereant* (*e*): velut non perituri sint illi qui fecerunt. Et alio loco ait : *Attende tibi, ne vadens servias diis aliis, quos ignoraverunt patres tui* (*f*) : tanquam alii dii sint, quos sequi non debeant,loquitur. Et iterum : *Nomina deorum aliorum non ascendent in labia tua* (*g*). Hic quoque multos deos dicit, quorum non vult proferri nomina. Rursumque scriptum est : *Dominus Deus tuus ipse est Deus deorum* (*h*). Et adhuc : *Quis similis tibi, Domine, in diis* (*i*). Ac rursus : *Deus deorum Dominus* (*k*). Iterumque : *Deus stetit in synagoga deorum, in medio autem deos dijudicat* (*l*). Unde miror, qua ratione, tot Scriptuarum vocibus multos esse deos testantibus, tu affirmaveris non oportere nec dicere, nec esse existimare. De reliquo, si quid adversus clare dicta habes effari, coram omnibus eloquere.

VII. Respondit Petrus : Breviter audi ad ea quæ objecisti : Eadem lex, quæ sæpe deos nominat, ipsa Judaico populo ait : *En, Domini Dei tui est cælum cæli, et omnia quæ in eis sunt* (*m*), dans comprehendere, quod licet dii existant, sub eo sunt,id est, sub Deo Judæorum. Et iterum : *Quia Dominus Deus tuus ipse est Deus in cælo sursum et in terra*

(*a*) Gen. III, 22.
(*b*) Gen. III, 5.
(*c*) Exod. XXII, 28.
(*d*) Deut. IV, 34.
(*e*) Jer. X, 11.
(*f*) Deut. XIII, 6.
(*g*) Jos. XXIII, 7, apud LXX.
(*h*) Deut. X, 17.
(*i*) Psal. LXXXV, 8.
(*k*) Psal. XLIX, 1.
(*l*) Psal. LXXXI, 1.
(*m*) Deut. X, 14.

VARIÆ LECTIONES.

[100] Pro vbb. καὶ μὴ χαλεπαίνειν — πολλοὺς θεούς lacuna est in O. Ex C· reposui τῶν ante γραφῶν a Cl et S omissum. [1] Ita O et ex conject. S, in cujus textu Ci ὁμοίως. Tum apposui γάρ ex O. [2] ἐξ addidi c. O. [3] ᾗ O, D. ἡ C. [4] ἐξ adjeci c. O, [5] πάλιν τοῦ (τὸ Cl.) γεγράφθαι C. [6] τό C. [7] Vbb. οὐκ ἐποίησαν, ἀπολέσθωσαν· ὡς τῶν, quæ desunt in utroque Hom. codd., add. C ex seq. c. 8. [8] πεποιηκότες, ἀπολέσθωσαν p. πεπ. ἀπ. μελλόντων O. [9] διακρινεῖ O. [9*] διαβεβαιοῦσαι O. [10] εἴ textui reddidi c. O; prætermissum erat a Cl et S· [10*] τῶν add. c. O.

deorsum, et non est alius præter eum (*a*). Et alibi Scriptura dicit Judæorum populo : ***Dominus Deus tuus ipse est Deus deorum*** (*b*), ita ut quamvis dii existant, sub Judæorum Deo sint. Et aliis verbis de eo ait Scriptura : ***Deus magnus et verus, qui non accipit personam, neque sumet munera, facit judicium pupillo et viduæ*** (*c*). Scriptura Deum Judæorum nuncupando magnum et verum et facientem judicium, alios pusillos nec veros denotavit. Sed et altero quodam in loco Scriptura dicit : ***Vivo ego, dicit Dominus, non est alius Deus præter me. Ego primus, ego novissimus, præter me non est Deus*** (*d*). Ac rursum : ***Dominum Deum tuum timebis, et illi soli servies*** (*e*). Et adhuc : ***Audi Israel, Dominus Deus vester Dominus unus est*** (*f*). Sicque multa testimonia cum juramento consignant, Deum unum esse, et præter illum non esse Deum. Unde miror, qua ratione, cum tot loca testentur unum esse Deum, tu multos esse affirmes.

VIII. Et Simon : Principio ea mihi tecum fuit conditio, ut ex Scripturis convincerem te mendacii, dicentem nequaquam multos vocari debere deos. Quocirca multis Scripturarum vocibus ostendi, ab ipsis Scripturis divinis plures pronuntiari deos. Tum Petrus : Ipsæ, quæ multos deos pronuntiant, Scripturæ eædem adhortatæ nos sunt his verbis : ***Nomina deorum aliorum non ascendent in labia tua*** (*g*). Sic præter id, quod scriptum est, non locutus sum, Simon. Et Simon : Audi ad hoc et tu Petre. Peccare mihi videris, qui diis detrahis, cum Scriptura dicat : ***(Diis) non detrahes, principibus populi tui non maledices*** (*h*). Ac Petrus : Non pecco, Simon, consequenter Scripturis perditionem eorum prænotans : ita enim scriptum est : ***Dii qui cœlum et terram non fecerunt, pereant*** (*i*), atque sic ille locutus est, non quasi quidam dii fecerint ea, et non pereant, quemadmodum interpretatus es. Unus enim declaretur Creator eo quod initio scriptum est : ***In principio creavit Deus cœlum et terram*** (*k*). Nec dixit : *Dii*. Et alibit ait : ***Et opera manuum ejus annuntiat firmamentum*** (*l*). Atque in alio loco scriptum est : ***Cæli ipsi peribunt, tu autem permanebis in æternum*** (*m*).

IX. Dixit Simon : Ad hoc quod ego multos esse deos ostendi ex Scripturis, quarum verba manifesta exhibui, tu itidem vel plura testimonia ex iisdem Scripturis attulisti, probans unum esse Deum, eumque Judæorum. Et ad id quod dixi : ***Non oportet***

οὗτος Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Καὶ ἄλλῃ που λέγει ἡ Γραφὴ τῷ Ἰουδαίων ὄχλῳ· Κύριος ὁ Θεός σου, οὗτος Θεὸς τῶν θεῶν, ὥσπερ [11] ὅτι εἰ καί εἰσι θεοὶ, ὑπὸ τὸν Ἰουδαίων Θεόν εἰσιν. Καὶ ἄλλῃ που περὶ αὐτοῦ λέγει ἡ Γραφή· Ὁ Θεὸς ὁ μέγας καὶ ἀληθινὸς, ὅς οὐ λαμβάνει εἰς [12] πρόσωπον, οὐδὲ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν **822** ὀρφανῷ καὶ χήρᾳ· Μέλαν δὲ καὶ ἀληθινὸν καὶ κρίσιν ποιοῦντα τὸν τῶν [13] Ἰουδαίων ἡ Γραφὴ εἰποῦσα Θεὸν, τοὺς ἄλλους μικροὺς καὶ οὐκ ἀληθινοὺς ἐσήμανεν. Ἀλλὰ καὶ ἄλλῃ που λέγει ἡ Γραφή· Ζω ἐγὼ, λέγει Κύριος, οὐκ ἔστι Θεὸς ἕτερος πλὴν ἐμοῦ. Ἐγὼ πρῶτος, ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστιν. Καὶ πάλιν. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ πάλιν· Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ὑμῶν [14] Κύριος εἷς ἐστίν. Καὶ ὁμῶς πολλαὶ φωναὶ μεθ' ὅρκου ἐπισφραγίζουσιν, ὅτι εἷς ἐστὶν ὁ Θεὸς, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι Θεός. Ὅθεν θαυμάζω, πῶς τοσούτων μαρτυρουσῶν φωνῶν ἕνα εἶναι Θεὸν, σὺ πολλοὺς εἶναι λέγεις.

VIII. Καὶ ὁ Σίμων· Ὁ λόγος τὴν ἀρχὴν ἦν μοι πρὸς σὲ, ἀπὸ Γραφῶν ἐλέγξαι σε, ὅτι ψεύδῃ λέγων μὴ πολλοὺς [15] δεῖν φθέγγεσθαι θεούς. Ὅθεν πολλὰς ἐγγράφους ἔδειξα φωνὰς, ὅτι αὐταὶ αἱ θεῖαι Γραφαὶ πολλοὺς φθέγγονται θεούς. Καὶ ὁ Πέτρος· Αὐταὶ αἱ πολλοὺς φθεγγόμεναι θεοὺς Γραφαὶ, αὐταὶ παρῄνεσαν ἡμῖν εἰποῦσαι· Ὀνόματα θεῶν ἑτέρων οὐκ ἀναβήσεναι ἐπὶ τῶν χειλέων σου. Οὕτως οὐ παρὰ τὸ γεγραμμένον ἔφην, ὦ Σίμων. Καὶ ὁ Σίμων· Ἄκουσον πρὸς αὐτὸ καὶ σὺ, ὦ Πέτρε. Ἁμαρτάνειν μοι δοκεῖς, ὅτι αὐτῶν καταλέγεις, τῆς Γραφῆς λεγούσης· οὐ κακολογήσεις, καὶ ἄρχοντας [16] τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς. Καὶ ὁ Πέτρος· Οὐχ ἁμαρτάνω, Σίμων, ἀκολούθως ταῖς Γραφαῖς τὴν ἀπώλειαν αὐτῶν προσημαίνων· **823** οὕτω γὰρ γέγραπται· Θεοὶ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· καὶ τοῦτο εἰπὼν οὐχ ὡς ἐνίων πεποιηκότων, καὶ μὴ ἀπολλυμένων, ὡς ἡρμήνευσας [17]. Δηλοῦται γὰρ εἷς ὁ πεποιηκὼς τῷ ἀπαρχῆς γεγραφθαι· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ οὐκ εἶπεν· Οἱ θεοί. Καὶ ἄλλῃ που λέγει· Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Καὶ ἐν ἑτέρῳ τόπῳ [18] γέγραπται· Οἱ οὐρανοὶ αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς εἰς τὸν αἰῶνα.

IX. Καὶ ὁ Σίμων ἔφη· Πρὸς τὸ ἐμὲ δεῖξαι πολλοὺς εἶναν θεοὺς ἀπὸ τῶν Γραφῶν, φωνὰς σαφεῖς παρέστησα, σὺ δὲ τοσαύτας [19] ἢ καὶ πλείονας φωνὰς ἀπὸ τῶν αὐτῶν Γραφῶν ἐνήνοχας, δεικνύων ὅτι εἷς ἐστὶ Θεὸς, καὶ οὗτος Ἰουδαίων. Καὶ πρὸς τὸ εἰπεῖν με· Οὐ δεῖ

(*a*) Deut. IV, 39.
(*b*) Deut. X, 18.
(*c*) Ibid., 17.
(*d*) Deut. IV, 39.
(*e*) Deut. VI, 13.
(*f*) Ibid., 4.
(*g*) Jos. XXIII, 7, apud LXX.
(*h*) Exod. 22, 28.
(*i*) Jer. X, 11.
(*k*) Gen. X, 1.
(*l*) Psal. XVIII, 2.
(*m*) Psal. CI, 26.

VARIÆ LECTIONES.

[11] ὧς O. [12] εἰς om. O. [13] τῶν accessit ex O. [14] ἡμῶν C. [15] πολλούς O ex conject. D. αὐτά C. [16] ἄρχοντα O, ex quo accessit seq. σου. [17] ἑρμήνευσας C. Tum τῷ O c. S. τό C. Subinde ἀπ' ἀρχῇ O. [18] Textui reddidi τόπῳ a Cl et S omissum. [19] γραφῶν ἃς σαφεῖς παρέστησα, σὺ δὲ ἀς αὐτάς C.

κακολογεῖν θεοὺς, ἐπήγαγες πρὸς τὸ δεῖξαι, ὅτι εἷς ἐστὶν ὁ πεποιηκὼς, ὅτι οἱ μὴ πεποιηκότες ἀπολέσθαι ἔχουσιν. Πρὸς δὲ τὸ εἰπεῖν με, ὅτι δεῖ θεοὺς λέγειν καθὸ [20] καὶ αἱ Γραφαὶ αὐτοὺς λέγουσιν, καὶ πρὸς τούτοις [21] ἔδειξας, ὅτι μὴ δεῖ αὐτῶν ὀνόματα φθέγγεσθαι, τῷ τὴν αὐτὴν Γραφὴν εἰπεῖν [22], ὀνόματα θεῶν ἑτέρων μὴ φθέγγεσθαι. Ἐπεὶ οὖν αὐταὶ [23] αἱ Γραφαὶ πολλοὺς λέγουσιν εἶναι θεοὺς, καὶ ἄλλοτε ἕνα μόνον εἶναι, καὶ ὁτὲ μὲν μὴ κακολογεῖσθαι, ὁτὲ δὲ κακολογεῖσθαι, **324** πρὸς τοῦτο τί δεῖ λογίσασθαι, ἢ ὅτι αὐταὶ ἡμᾶς αἱ Γραφαὶ πλανῶσιν;

X. Καὶ ὁ Πέτρος ἔφη· Οὐ πλανῶσιν, ἀλλ' ἐλέγχουσιν, καὶ εἰς φανερὸν ἄγουσι τὴν ἐν ἑκάστῳ κατὰ τοῦ Θεοῦ ἐνδομυχοῦσαν [24] ὥσπερ ὄφεως κακὴν προαίρεσιν. Πολλοῖς γὰρ καὶ διαφόροις τύποις ἐοικυῖαι πρόκεινται. Ἕκαστος οὖν κηρῷ ἐοικυῖαν τὴν αὐτοῦ προαίρεσιν ἔχων, περιβλεψάμενος αὐτὰς καὶ πάντα εὑρὼν ἐν αὐταῖς, ὁποῖον Θεὸν εἶναι θέλει [25], τὴν, ὡς ἔφην, κηρῷ ἐοικυῖαν προαίρεσιν ἐπιβαλὼν ἀπομάσσεται. Ἐπεὶ οὖν ὅ τι [26] ἂν βούληταί τις περὶ Θεοῦ φρονεῖν, ἐν αὐταῖς εὑρίσκει, τούτου χάριν ὁ μὲν πολλῶν θεῶν ἰδέας [27] ἀπομάσσεται ἀπ' αὐτῶν, καὶ ἡμεῖς τὴν τοῦ ὄντως [28] ἀπεμαξάμεθα ἰδέαν [29], ἐκ τῆς ἡμετέρας μορφῆς τὸν ἀληθῆ ἐπιγνόντες τύπον. Ἀλλὰ καὶ ἡ ἔνδοθεν ἡμῶν ψυχὴ τὴν αὐτοῦ εἰκόνα πρὸς ἀθανασίαν ἠμφίεσται. Ταύτης τὸν γεννήτορα ἐὰν καταλίπω, δικαίᾳ κρίσει καὶ αὐτή με καταλιπεῖν ἔχει, αὐτῷ τῷ [30] τολμήματι γνωρίσασα ἄδικον, καὶ ὡς ἀπὸ δικαίου δικαίως καταλείψει με· καὶ οὕτως τὴν ψυχὴν μετὰ κόλασιν, τῆς ἀπ' αὐτῆς ἀπολειφθεὶς [31] βοηθείας, φθαρήσομαι. Εἰ δὲ ἔστιν ἕτερος, πρῶτον ἐνδυσάτω ἑτέραν ἰδέαν [32], ἑτέραν μορφὴν, ἵνα διὰ τῆς τοῦ σώματος καινῆς μορφῆς τὸν καινὸν ἐπιγνῶ Θεόν. Εἰ δὲ καὶ τὴν μορφὴν ἀλλάξῃ [33], μή τι **325** καὶ τῆς ψυχῆς τὴν οὐσίαν; Εἰ δὲ καὶ [34] ἀλλάξῃ, οὐκ ἔτι ἐγώ εἰμι, ἄλλος γενόμενος καὶ μορφῇ καὶ οὐσίᾳ. Ἄλλους οὖν πλαττέτω, εἰ ἄλλος ἐστίν. Οὐκ ἔστι δέ. Εἰ δὲ ἦν, ἔπλασεν ἄν. Ἐπεὶ οὖν οὐκ ἔπλασεν, ὡς οὐκ ὢν τὸν ὄντα τῷ ὄντι καταλιπέτω. Οὐ-εἰς γὰρ ἐστιν, ἢ μόνη γνώμη Σίμωνος. Ἐγὼ ἄλλον Θεὸν οὐ παραδέχομαι, πλὴν τὸν κτίσαντά με μόνον.

XI. Καὶ ὁ Σίμων· Ἐπεὶ πυκνότερόν σε ὁρῶ τὸν λόγον ποιούμενον ὑπὲρ τοῦ πλάσαντός σε Θεοῦ, μάθε παρ' ἐμοῦ, πῶς καὶ εἰς αὐτὸν ἀσεβεῖς. Οἱ πλάσαντες δύο φαίνονται, ὡς ἡ Γραφὴ λέγει· Καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν [35]. Τὸ ποιήσωμεν δύο σημαίνει, ἢ πλείονας, πλείονας πλὴν οὐχ ἕνα.

XII. Καὶ ὁ Πέτρος ἀπεκρινατο· Εις ἐστὶν ὁ τῇ αὐτοῦ σοφίᾳ εἰπών· Ποιήσωμεν ἄνθρωπον, ' Η δὲ σο-

A *diis maledicere*, subjunxisti, ut declarares unum esse creatorem, quod *qui non crearunt, perire habent*. Cumque dixerim, nominandos esse deos, quoniam et Scripturæ eos nominant, etiam ad hæc demonstrasti, non oportere eorum nomina proferre eo quod eadem Scriptura dicat, nomina deorum aliorum non esse pronuntianda. Quandoquidem ergo eædem Scripturæ multos dicunt esse deos, et alibi, unum solum esse, et aliquando, iis non maledicendum, aliquando maledicendum, ex hoc quid concludere debemus, nisi quod ipsæ nos decipiunt Scripturæ?

X. Petrus respondit: Non decipiunt, sed redarguunt, ac in publicum proferunt malam erga Deum voluntatem, in unoquoque instar serpentis latitantem. B Multis enim ac variis typis similes jacent. Unusquisque ergo ceræ consimilem habens voluntatem suam, dum Scripturas perlustrat, cunctaque in illis invenit, qualem Deum esse vult, talem exprimit immissa voluntate, quæ, ut dixi, assimilatur ceræ. Quia ergo quidquid vult aliquis de Deo sentire, in Scripturis offendit, ea gratia ille quidem multorum deorum imagines ex iis effingit, at nos Dei veri speciem expressimus, ex nostra forma verum agnoscentes exemplar. Sed et nobis insita anima illius imagine ad immortalitem induta est. Ejus parentem si relinquo, justo judicio ea quoque me relinquet, ipso facinore indicans injustum, et, ut quæ veniat a justo, juste me deseret, sicque animam post punitionem perdam, deficiente auxilio ab ea orto. Si autem est alius Deus, primum aliam C speciem induat, aliam formam, ut per corporis novam figuram novum agnoscam Deum. Sed et si figuris figuram mutet, nunquid et animæ substantiam? Quod si eam quoque mutaverit, non amplius ego sum, qui alius factus fui tum figura, tum substantia. Alios ergo creet, si alius est. Porro non est. Si enim esset, creasset utique. Cum ergo non creaverit, tanquam qui non existit, revera existentem existenti relinquat. Nullus quippe est, nisi sola Simonis opinione. Ego alium Deum non recipio, præter eum solum qui me condidit.

XI. Tum Simon: Quia video te frequentius sermonem facere de Deo qui te creavit, disce a me quemadmodum in ipsum etiam impius sis. Apparet duos esse creatores, sicut ait Scriptura: *Et dixit Deus: Faciamus hominem ad nostram imaginem et similitudinem* (a). D *Faciamus* duos significat, aut plures, certe non unum.

XII. Et Petrus respondit: Unus est, qui sapientiæ suæ dixit: *Faciamus hominem*. Huic vero sapientiæ,

(a) Gen. I, 26.

VARIÆ LECTIONES.

[20] καθ'ὃ C. [21] τοῦτο O. Tum δεῖ conj. C. qui in textu δεῖν ut O. [22] εἰπεῖν om. O. [23] C vertit quasi legi voluerit αἱ αὐταί S. [24] Ita O c. Cl. ἐνδομοιχοῦσαν C. Vid. Hom. XI, 6 et 11. [24] λέγει Cl et S. mendose [26] ὅ τε O. Deinceps βούλεται C. [27] εἰδέας C. [28] ὄντος C. [29] εἰδέαν C. [30] τῷ inserui c. O. [31] ἀπολειφθείς conjectavit C, ἀπολειφθείσης idem in textu, ut O. [32] εἰδέαν C. Deinde dedi ἵνα — ἐπιγνῷ c. O ἐπιγνῶν C; rectum jam vidit S. [33] ἀλλάξει O. [34] Deesse videtur ταύτην post εἰ δὲ καί. S. οὐκέτι scr. O. [35] κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν C.

tanquam proprio spiritui, ipse semper congaudebat. Unita quidem est Deo, ut anima, ab eo autem extenditur, velut manus, universitatem producens. Propter hoc vero et unus homo conditus est, ab eo autem etiam sexus femineus processit. Cumque unitas sit genere, dualitatem facit. Nam per extensionem et contractionem unitas dualitas esse censetur. Itaque recte facio deferendo omnem honorem uni Deo, tanquam parentibus. Dixit Simon : Quid vero, et si Scripturæ alios deos aiunt, non admittes?

XIII. Petrus respondit : Si Scripturæ, si prophetæ deos dicunt, in tentationem audientium dicunt, ita quippe scriptum est : *Si surrexerit apud te propheta, dans signa et prodigia, et evenerit signum illud ac prodigium, dixerit vero tibi : Eamus et colamus deos alienos, quos nescierunt patres tui, non audietis prophetam illum : in primis sint manus tuæ ad lapidandum eum. Tentavit enim te avertere a Domino Deo tuo. Quod si dixeris in corde tuo : Quo modo fecit signum hoc vel prodigium, cognoscens cognoscas, quia tentator tentavit, ut sciat an timeas Dominum Deum tuum* (a). Et vero *quia tentator tentavit*, dictum est, aliter autem id post transmigrationem in Babylonem apparet. Neque enim qui cuncta novit Deus, sicut ex multis ostendi licet, tentavit, ut ipse sciret, qui præscit omnia. Si vero cupis, de ea re sermonem faciamus, et demonstrabo Deum præscium esse. Illum autem ignorare, cum falsum sit, id quoque ad tentationem scriptum ostenditur. Ita nos, o Simon, neque ab ullo alio scandalum pati possumus, nec ad multos deos admittendos fraude inducimur, nec ulli sermoni assentimur contra Deum dicto.

A φία (47), ἣ [36] ὥσπερ ἰδίῳ πνεύματι αὐτὸς ἀεὶ συνέχαιρεν· ἥνωται μὲν ὡς ψυχὴ τῷ Θεῷ, ἐκτείνεται δὲ ἀπ' αὐτοῦ, ὡς χείρ, δημιουργοῦσα τὸ πᾶν. Διὰ τοῦτο δὲ καὶ εἷς ἄνθρωπος ἐγένετο, ἀπ' αὐτοῦ δὲ προῆλθε καὶ τὸ θῆλυ. Καὶ μονὰς [37] οὖσα τῷ γένει δυάς ἐστιν. Κατὰ γὰρ ἔκτασιν καὶ συστολὴν ἡ μονὰς δυὰς εἶναι νομίζεται. Ὥστε ἑνὶ Θεῷ, ὡς γονεῦσιν, ὀρθῶς ποιῶ τὴν πᾶσαν προσαναφέρων τιμήν. Καὶ ὁ Σίμων ἔφη· Τί δὲ, εἰ [38] καὶ αἱ Γραφαὶ ἑτέρους θεοὺς λέγουσιν, οὐ παραδέξῃ;

326 XIII. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἴτε αἱ Γραφαὶ εἴτε προφῆται θεοὺς λέγουσιν, εἰς πειρασμὸν τῶν ἀκουόντων [39] λέγουσιν. Οὕτω γὰρ γέγραπται· Ἐὰν ἀναστῇ ἐν σοὶ προφήτης, διδοὺς [40] σημεῖα καὶ τέρατα, καὶ ἔλθῃ τότε σημεῖον ἐκεῖνο καὶ τὸ τέρας, ἐρεῖ δέ σοι· Πορευθέντες λατρεύσωμεν θεοῖς ἑτέροις, B οἷς οὐκ ᾔδεισαν οἱ πατέρες σου, οὐκ ἀκούσεσθε τοῦ προφήτου ἐκείνου· ἐν πρώτοις ἔστωσαν αἱ χεῖρές σου λιθοβολῆσαι αὐτόν. Ἐπείρασε γάρ σε ἀποστῆναι ἀπὸ Κυρίου τοῦ Θεοῦ σου. Ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Πῶς ἐποίησε τὸ σημεῖον ἐκεῖνο ἢ τὸ τέρας, γινώσκων γνώσῃ, ὅτι ὁ πειράζων ἐπείραζεν, ἰδεῖν [41], εἰ φοβῇ Κύριον τὸν Θεόν σου. Ὅτι δὲ ὁ πειράζων ἐπείραζεν, εἴρητο, ἑτέρως δὲ μετὰ τὴν εἰς Βαβυλῶνα μετοικεσίαν (48) φαίνεται. Οὐ γὰρ ἂν ὁ τὰ πάντα γινώσκων Θεὸς, ὡς ἐκ πολλῶν ἔστι δεῖξαι, ἐπείραζεν [42], ἵνα γνῷ αὐτὸς, ὁ τὰ πάντα προγινώσκων. Εἰ δὲ βούλει [43], περὶ τούτου τὸν λόγον ποιησώμεθα, καὶ δείξω προγινώσκοντα τὸν Θεόν. Τὸ δὲ ἀγνοεῖν αὐτὸν ψεῦσμα ὄν, καὶ τοῦτο πρὸς πειρασμὸν γραφὲν ἀποδέδεικται. Οὕτως ἡμεῖς, ὦ Σίμων, C οὔτε ἀπὸ Γραφῶν οὔτο ὑφ' ἑτέροο τινὸς σκανδαλισθῆναι δυνάμεθα [44] οὔτε πολλοὺς θεοὺς ἀποδέξασθαι ἀπατώμεθα, οὐδὲ λόγῳ τινὶ κατὰ τοῦ Θεοῦ λεγομένῳ συντιθέμεθα.

XIV. Scimus enim ipsi quoque, angelos a Scripturis vocatos esse deos. Dico autem exempli gratia eum, qui in rubo locutus est, et qui cum Jacobo luctatus est, item eum, qui natus est Emmanuel, quique dictus fuit Deus fortis. Sed et Moyses deus Pharaonis exstitit, revera tamen homo erat. Et præterea idola gentium. Nobis autem unus est Deus, unus creaturarum auctor omniumque exornator, cujus Christus filius est, cui credentes ex Scripturis falsa agnoscimus. Atque adhuc ex patribus instructi de iis quæ in Scripturis vera sunt, unum solum novimus creatorem cœlorum et terræ, Deum Judæo-

XIV. Ἴσμεν γὰρ καὶ αὐτοὶ ἀπὸ τῶν Γραφῶν ἀγγέλους θεοὺς λεχθέντας **327** Λέγω δὲ ὡς ὁ ἐπὶ τῆς βάτου λαλήσας, καὶ τῷ Ἰακὼβ παλαίσας· ἀλλὰ καὶ τὸν γεννώμενον Ἐμμανουὴλ καὶ τὸν λεγόμενον Θεὸν ἰσχυρόν (49). Ἀλλὰ μὴν καὶ Μωϋσῆς θεὸς Φαραὼ ἐγενήθη, τῷ δὲ ὄντι ἄνθρωπος ἦν. Ἔτι δὲ καὶ τὰ εἴδωλα τῶν ἐθνῶν. Ἡμῖν δὲ εἷς Θεὸς, εἷς ὁ τὰς κτίσεις πεποιηκὼς καὶ διακοσμήσας τὰ πάντα· οὗ καὶ ὁ Χριστὸς υἱὸς, ᾧ πειθόμενοι ἀπὸ τῶν Γραφῶν τὰ ψευδῆ ἐπιγινώσκομεν. Ἔτι δὲ καὶ ἐκ πατέρων ἐφοδιαζόμενοι τῶν Γραφῶν τὰ ἀληθῆ ἕνα μόνον οἴδαμεν τὸν πεποιηκότα τούς τε οὐρανοὺς καὶ τὴν γῆν, Θεὸν Ἰουδαίων καὶ πάντων τῶν [45]

(a) Deut. XIII, 1.

VARIÆ LECTIONES.

[36] ἣ δὲ σοφίᾳ p. ἡ δὲ σοφία, ἣ C. [37] μία C. Tum ἔκτασιν O et ex conject. C, in cujus textu ἔκστασιν. In O στολήν p. συστολήν· [38] εἰ deest in O. [39] αἰνόντων O. [40] διδούς σοι C. [41] εἰδέναι C. Seq. σου om· O. [42] ἐπείρασεν S. [43] Scripsi βούλει c. O invito Schweglero, qui commendat vulgatam βούλῃ ex ejus opinione conjectivum. Cfr. hom. XIX, 6. Tum add. τόν ante λόγον c. O. [44] Post δυνάμεθα Schliemannus *Clem.* p. 419, 569, addit φέρειν, emendatione superflua. S. [45] τῶν S, O, τόν D.

VARIORUM NOTÆ.

(47) Ἡ δὲ σοφία, etc. Redolere hæc Ebionismum fatebitur mecum qui ea contulerit cum Epiphanianis, dictæ hæreseos cap. 3, 16, 17 et 29. Cot. — Confer quæ de divina sapientia dicta sunt Prov. VIII, 22 seqq. Drach.

(48) Μετὰ τὴν εἰς Βαβυλῶνα μετοικεσίαν. Tunc enim fuerunt pseudoprophetæ in populo Judaico. Cot.

(49) Τὸν γεννώμενον Ἐμμανουὴλ, καὶ τὸν λεγόμενον Θεὸν ἰσχυρόν. Natus Emmanuel, Deus fortis (*Isa.* VII et IX), verus Deus est. Ebionitica igitur sunt hæc atque Ariana, ut et sequentia multa. Ir

σέβειν αὐτὸν αἱρουμένων. Τοῦτον καὶ θεοφιλεῖ λογισμῷ ἀληθῆ [46] δογματίσαντες οἱ πατέρες παρέδωσαν [47] ἡμῖν, ἵνα εἰδῶμεν, ὅτι εἴ τι κατὰ τοῦ Θεοῦ λέγεται, ψεῦδός ἐστιν. Ἀλλὰ καὶ ὑπερβαλλόντως τι ἐρῶ· εἰ τοῦτο οὕτως ὡς ἔφην οὐκ ἔχει, ἐμοὶ γένοιτο καὶ τοῖς τἀληθὲς [48] ἀγαπῶσιν, περὶ εὐφημίας τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ κινδυνεύειν.

XV. Ταῦτα ὁ Σίμων ἀκούσας ἔφη· Ἐπειδὴ καὶ τῷ τὰ σημεῖα καὶ τέρατα διδόντι προφήτῃ, ἄλλον δὲ θεὸν λέγοντι φῂς μὴ δεῖν πιστεύειν, μετὰ τοῦ εἰδέναι ὅτι καὶ θάνατον ὀφείλει, οὐκοῦν καὶ ὁ διδάσκαλός σου σημεῖα καὶ τέρατα δεδωκὼς εὐλόγως ἀνῃρέθη. Καὶ ὁ Πέτρος ἀπεκρίθη· Ὁ [49] Κύριος ἡμῶν οὔτε θεοὺς εἶναι ἐφθέγξατο παρὰ τὸν κτίσαντα τὰ πάντα, οὔτε ἑαυτὸν [50] θεὸν εἶναι ἀνηγόρευσεν, Υἱὸν δὲ Θεοῦ τοῦ τὰ πάντα διακοσμήσαντος **328** τὸν εἰπόντα αὐτὸν εὐλόγως ἐμακάρισεν. Καὶ ὁ Σίμων ἀπεκρίνατο· Οὐ δοκεῖ σοι οὖν τὸν ἀπὸ Θεοῦ θεὸν εἶναι; καὶ ὁ Πέτρος ἔφη· πῶς τοῦτο εἶναι δύναται, φράσον ἡμῖν. Τοῦτο γὰρ ἡμεῖς εἰπεῖν σοι οὐ δυνάμεθα, ὅτι μὴ ἠκούσαμεν παρ' αὐτοῦ.

XVI. Πρὸς τούτοις δὲ, τοῦ Πατρὸς τὸ μὴ γεγεννῆσθαί ἐστιν, Υἱοῦ δὲ τὸ γεγεννῆσθαι· γεννητὸν δὲ ἀγεννήτῳ ἢ καὶ αὐτογεννήτῳ [51] οὐ συγκρίνεται. Καὶ ὁ Σίμων ἔφη· Εἰ καὶ τῇ γενέσει οὐ ταυτόν [52] ἐστιν; Καὶ ὁ Πέτρος ἔφη· Ὁ κατὰ πάντα τὸ αὐτὸ [53] ὤν τινι τὰς αὐτὰς αὐτῷ πάσας ἔχειν προσωνυμίας οὐ δύναται. Καὶ ὁ Σίμων· Τοῦτο λέγειν ἐστὶν οὐκ ἀποδεικνύειν. Καὶ ὁ Πέτρος· Διὰ τί οὐ νοεῖς, ὅτι τὸ [54] μὲν αὐτογέννητον τύγχάνει ἢ καὶ ἀγέννητον, τὸ δὲ γεννητὸν ὂν τὸ αὐτὸ [55] λέγεσθαι οὐ δύναται, οὐδ' ἂν τῆς αὐτῆς οὐσίας ὁ γεγεννημένος τῷ [56] γεγεννηκότι [αὐτόν]. Ἀλλὰ καὶ τοῦτο μάθε· Τὰ ἀνθρώπων σώματα ψυχὰς ἔχει ἀθανάτους, τὴν τοῦ Θεοῦ πνοὴν ἠμφιεσμένας, καὶ ἐκ τοῦ Θεοῦ προελθοῦσαι [57] τῆς μὲν αὐτῆς οὐσίας εἰσὶ (50), θεοὶ δὲ οὐκ εἰσίν. Εἰ δὲ θεοί εἰσι,

A rum omniumque qui eum voluerint colere. Hunc pia consideratione verum majores præscripserunt ac tradiderunt nobis, ut sciamus, si quid contra Deum proferatur, mendacium esse. Sed et aliquid supra modum loquar: Si hoc non se habet quemadmodum dixi, mihi et veritatis amatoribus contingat, ut in Dei creatoris nostri laudibus periculum subeamus.

XV. His auditis Simon ait: Quandoquidem etiam signa ac prodigia danti prophetæ, alium vero deum prædicanti, dixisti non oportere credi, imo notum habere, illum mereri mortem, igitur et Magister tuus, qui signa et prodigia dedit, merito interfectus est. Et Petrus respondit: Dominus noster neque deos esse præter cunctorum opificem pronuntiavit B neque se Deum esse prædicavit, sed eum, qui ipsum dixerat Filium Dei constitutoris omnium, jure appellavit beatum. Respondit Simon: Non ergo tibi videtur, eum, qui ex Deo est, Deum esse? Et Petrus dixit: Qua ratione id esse possit, nobis effare. Hoc quippe nos tibi non possumus dicere, quoniam ab illo non audivimus.

XVI. Ad hæc, Patris est, non fuisse genitum, Filii vero, genitum esse. Genitum autem cum ingenito vel per se genito non confertur. Dixit Simon: Nonne ob generationem idem est? Excepit Petrus: Qui per omnia idem non est cum aliquo, non potest easdem omnes cum eo habere appellationes. Et Simon: Hoc dicere non est probare. Tum Petrus: Quare non intelligis, quod ille quidem per se genitus est, vel et ingenitus, hic vero, quia est genitus; idem C dici nequit, neque si ejusdem substantiæ genitus cum eum gignente. Sed et hoc disce: Hominum corpora habent animas immortales, Dei spiritum indutas, quæque a Deo profectæ ejusdem quidem substantiæ sunt, non sunt tamen dii. Sin vero dii sunt, hac ratione cunctorum hominum animæ, mor-

VARIÆ LECTIONES.

[46] ἀληθὲς ὂν C. [47] παρέδοσαν O. Idem εἰδῶμεν. [48] ἀληθές C. [49] ὁ om. O, [50] αὐτόν C. [51] αὐτὸ γεννητῷ O. [52] ταύτῃ O. [53] τῶν αὐτῶ (sic) O. [54] ὁ S. [55] Ita D, ὄντα αὐτόν C, ὄν, τὰ αὐτά O. [56] τό C, Vox [αὐτόν] a me addita explet lacunam cod. O. [57] προελθοῦσι O. Idem εἰσίν c. Cl, ἐστίν C. Ad oram libri Ottob. κατὰ τὸν Ὠριγένη.

VARIORUM NOTÆ.

(50) Τὴν τοῦ Θεοῦ πνοὴν ἠμφιεσμένας, et τῆς μὲν αὐτῆς οὐσίας εἰσί. Ebionæis gnostica permiscet. Hi enim hæretici, teste S. Augustino, dicebant animarum substantiam Dei esse naturam; animasque ex Dei procedere substantia. Præiverat Augustino Irenæus per gnosticorum verba: *Jam enim non habiturum eum animas sanctas, ut rursus demittat eas in sæculum, sed tantum eas quæ sunt ex substantia ejus, id est, quæ sunt ex insufflatione:* lib. I, cap. 24. Quibus omnibus lux ex Theodorito *Hæret. fabul.* lib. V, cap. 9: Ἐκεῖνο δὲ τὸ ἐμφύσημα, οὐ μέρος τι τῆς θείας οὐσίας φαμὲν, κατὰ τὴν Κέρδωνος καὶ Μαρκίωνος λύτταν. *Inspirationem porro illam, non divinæ substantiæ partem aliquam fuisse dicimus juxta Cerdonis et Marcionis insaniam.* Mitto istis recentiores Manichæos et Priscillianistas. Sed concedi mihi velim, ut paucis digrediar in locum deploratæ 'etudinis apud Origenem tom. XIV, *in Joannem*, edi- (a) V. Cl. Petri Danielis Huetii p. 216. ubi πνοὴ [illegible]oratur: Τοιοῦτόν τί μοι φαίνεται καὶ περὶ D τό, Πνεῦμα ὁ Θεός. Ἐπεὶ γὰρ εἰς τὴν μέσην καὶ κοινότερον καλουμένην ζωὴν ὁρῶντες τοῦ περὶ ἡμᾶς πνεύματος, τὴν καλουμένην σωματικώτερον πνοὴν ζωῆς, ζωοποιούμεθα ἀπὸ τοῦ πνεύματος· ὑπολαμβάνω ἀπ' ἐκείνου εἰλῆφθαι τὸ πνεῦμα λέγεσθαι τὸν Θεόν, πρὸς τὴν ἀληθινὴν ζωὴν ἡμᾶς ἄγοντα. Τὸ πνεῦμα γὰρ κατὰ τὴν Γραφὴν λέγεται ζωοποιεῖν· φανερὸν ὅτι ζωοποίησιν, οὐ τὴν μέσην, ἀλλὰ τὴν θειοτέραν. Nam participium ὁπῶντες Græcum non est; ὁπιόντος vero, quod legisse videtur Perionius, sensu caret: itemque ὁρῶντες Ferrarii. Scripserim ego ὁρῶντος, ac verterim ad hunc modum: *Tale quid mihi videtur et de illo:* Spiritus est Deus (*Joan.* IV, 24). *Nam quia cum spiritus noster spectet ad mediam et vulgarius appellatam vitam, quæ magis corporaliter vocatur flatus vitæ, vivificamur a spiritu; inde sumptum fuisse arbitror, ut Deus qui nos ducit ad veram vitam spiritus dicatur. Spiritus enim, secundum Scripturam, dicitur vivificare: plane non vivificatione media sed ea quæ divinior est.* COT.

tuorum, vivorum, gignendorum, dii erunt. Quod si amore contentionis erga me dixeris, eas quoque esse deos, quid hoc jam magnis erit Christo, dici Deum? Id enim habebit, quod omnes habent.

A τούτῳ τῷ λόγῳ πάντων ἀνθρώπων, τῶν τε ἀποθανόντων καὶ ζώντων καὶ γενησομένων [58] αἱ ψυχαὶ θεοὶ [59] τυγχάνουσιν. Εἰ δὲ προσφιλονεικῶν μοι ἐρεῖς, καὶ αὐτὰς θεοὺς εἶναι, καὶ τί τοῦτο ἔτι [60] μέγα καὶ Χριστῷ, τῷ Θεῷ, λέγεσθαι; τοῦτο γὰρ ἔχει, ὃ καὶ πάντες ἔχουσιν.

XVII. Nos Deum dicimus, cujus proprium in alio esse nequit. Velut enim qui infinitus est undique, proper hoc dicitur immensus, et omnino est necesse, eum immensum ideo vocari, quia non potest alius ut ipse esse infinitus, (sin autem aliquis hoc dixerit possibile, errat; nec enim duo undique in finita simul exsistere possunt, terminaretur enim alterum ab altero), itaque natura comparatum est, unum esse Ingenitum. Quod si in figura est, sic quoque unum est incomparabile. Quare et Altissimus vocatur, quia, omnium supremus, cuncta sibi subjecta habet.

329 XVII. Ἡμεῖς Θεὸν λέγομεν, οὗ ἐστιν ἴδιον τὸ [61] ἄλλῳ προσεῖναι μὴ δυνάμενον. Ὥσπερ γὰρ ἄπειτος ὢν πανταχόθεν διὰ τοῦτο λέγεται ἀπέραντος, καὶ ἀνάγκη πᾶσα, ἑτέρου μὴ δυναμένου ὡσαύτως ἀπείρου εἶναι, μὴ εἶναι ἴδιον τὸ καλεῖσθαι ἀπέραντον [62], (εἰ δέ τις λέγει δυνατὸν εἶναί ψεύδεται· δύο γὰρ πανταχόθεν ἄπειρα συνυπάρχειν οὐ δύνανται· περαιοῦται γὰρ τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου), οὕτως [63] φύσις ἐστὶν, ἓν εἶναι τὸ Ἀγέννητον. Εἰ δὲ ἐν σχήματί ἐστιν, καὶ οὕτως ἕν ἐστι τὸ [64] ἀσύγκριτον. Διὰ τοῦτο B καὶ Ὕψιστος λέμεται, ὅτι πάντων ἀνώτερος ὢν τὰ πάντα αὐτῷ ὑποκείμενα ἔχει.

[4] Ita O et ex conject. C., cuj. textus γεγένηται. [5] ἐ[ξ οὗ]περ C. Idem παραδείγματο[ς]. [6] Legendum γεγεννηκέναι, aut etiam Θεόν mutandum in αὐτόν (sc. τὸν πονηρόν). S. [7] μέν Cl. Falsus est S. de C. φρόνημος scr. O. [8] περί D O, πρό C. [9] ἀνθρώπων O. [10] Ita S., τὸ ἀσυγκρίτῳ O., τῷ ἀσυγκρίτῳ C., τὸ ἀσυγκρίτῳ conj. idem. [11] εἰς C. [12] ης p. οὕτως ἔφης O c. prævia lacuna. Idem προσόντων ἀνθρώποις. [13] In O γενν cum seq. lacuna p. γεννώντων. [14] [ποιούν]των C. Idem μόνος p. μόνον τά. [15] π[ερ], ἢ οὐ, διὰ τὰ (τῶν ex conject.) ἀνθρώποις προσόντων καλ[ῶν] p. περὶ Θεοῦ ἢ οὐ δὴ τὰ ἀνθρώποις προσόντα ἔγειν καὶ σιωπᾷν ἐστιν, ἢ τῶν ἀνθρώποις προσόντων καλῶν C. [16] τὸν S. codd. τό [17] εἰ ἄρα γεννητόν O, ἀγέννητός mavult S [18] πάντα addidit S ex conject. Ci.

λέγω [19] καὶ ψοχροῦ, ὑγροῦ τε καὶ ξηροῦ. [Ἔφ]υ μὲν ὡς πρῶτα ἁπλᾶ καὶ ἀμιγῆ ὄντα [20] πρὸς οὐθέτερον ἔχειν τὴν ὄρεξιν, προβληθέντα δὲ ὑπὸ τοῦ Θεοῦ καὶ (63) ἔξω κραθέντα γενέσθαι ζῶον, προαίρεσιν ἔχον [21] ὀλοθρεῦσαι κακούς. Καὶ οὕτως ἐξ αὐτοῦ πάντων γεγεννημένων [22], ὁ πονηρὸς οὔτύ ἄλλοθέν ἐστιν, οὔτε ἀπ' αὐτοῦ τοῦ πάντα πεποιηκότος Θεοῦ τὴν κακίαν εἴληφεν, παρ' ᾧ ὑπάρχειν ἀδύνατόν ἐστιν, ὅτι αἱ μὲν οὐσίαι, οὐθέτεραι [23] οὖσαι, πεφιλοκρινημέναι ἐξ αὐτοῦ προβέβληνται, **382** καὶ ἔξω αὐταῖς κραθείσαις ὑπὸ τῆς αὐτοῦ τέχνης βουλήσει συμβέβηκεν ἡ πρὸς τὸν τῶν κακῶν ὄλεθρον ἐπιθυμία· ἀγαθοὺς δὲ ἡ συμβεβηκυῖα κακία ὀλοθρεῦσαι οὐ δύναται, οὐδ' εἰ βουληθείη, νόμῳ γὰρ κατὰ τῶν ἁμαρτανόντων τὴν ἐξουσίαν ἔχει [24]. Ἀγνοῶν [25] οὖν τὰ ἕκαστα τῶν τρόπων τὴν κατ' αὐτῶν λαμβάνει διάπειραν, καὶ διελέγξας τιμωρεῖ. Καὶ ὁ Σίμων [26] ἔφη· Δυνατὸς οὖν ὑπάρχων ὁ Θεὸς κιρνᾷν [27] τὰ στοιχεῖα, καὶ ποιεῖν κράσεις πρὸς ἃς βούλεται γενέσθαι προαιρέσεις [28], διὰ τί μὴ ἀγαθῶν προαιρετικὴν ἐποίει τὴν ἑκάστου κρᾶσιν;

XIII. Καὶ ὁ Πέτρος· Νῦν [29] ἡμῖν ὁ λόγος πρόκειται δεῖξαι πῶς ἐγένετο ὁ πονηρός, εἴπερ γέγονεν, καὶ ὑπὸ τίνος· τὸ δὲ εἰ ἀμέμπτως, ὁπόταν διεξιῶ [30] τὸν νῦν ἡμῖν προκείμενον λόγον. Τότε τὸ πῶς καὶ διὰ τί ἐγένετο δείξω, καὶ ὅτι ἄμεμπτος ὁ πεποιηκὼς πληροφορήσω. Πλὴν ἔφαμεν ὑπὸ Θεοῦ προβεβλῆσθαι τὰς [31] τέσσαρας οὐσίας. Καὶ οὕτως βουλῇ τοῦ συγκρίναντος [32] συμβέβηκεν ὡς ἠθέλησεν ἡ τῶν κακῶν προαίρεσις [33]. Εἰ γὰρ παρὰ τὴν προαίρεσιν αὐτοῦ ἢ ἐξ ἄλλης τινὸς οὐσίας ἢ καὶ προφάσεως συμβεβήκει [34], **383** οὐκ ἦν ἂν τῷ Θεῷ τὸ τῆς βουλῆς βέβαιον· μήπως αὐτοῦ μὴ βουλομένου ἡγεμόνες ἀεὶ [35] κακίας συμβήσωνται προσπολεμοῦντες αὐτοῦ τοῖς βουλήμασιν [36]. Ἀλλὰ ταῦτα οὕτως ἔχειν ἀδύνατον. Οὐδὲν γὰρ ζῶον [37] καὶ ταῦτα ἡγεμονικὸν ἐκ συμβεβηκότος γενέσθαι δύναται· ἀνάγκη γὰρ πᾶν τὸ γινόμενον ὑπό τινος γίνεσθαι.

XIV. Καὶ ὁ Σίμων· Τί δὲ εἰ ἡ [38] ὕλη αὐτῷ σύγχρονος οὖσα καὶ ἰσοδύναμος ὡς ἐχθρὰ προβάλλει αὐτῷ ἡγεμόνας, ἐμποδίζοντας αὐτοῦ τοῖς βουλήμασιν. Καὶ ὁ Πέτρος· Εἰ [39] ἀΐδιός ἐστιν ἡ ὕλη, οὐδὲ ἐχθρά τινός

A inquam, et frigidi, humidi et sicci. Ita autem comparatum est ut ea, cum sint prima simplicia et misturæ expertia, ad neutrum habeant appetentiam, prolata vero a Deo atque extra temperata exstiterint animal, voluntatem habens perdendi malos. Sicque, cunctis ex eo genitis, malus neque aliunde est, nec ab ipso omnium creatore Deo malitiam desumpsit (apud quem existere impossibile est), quia substantiæ neutræ exsistentes exacte ac distincte ab eo productæ sunt, iisque extra temperatis ab ipsius arte voluntarie contigit desiderium pessundandi improbos; bonos autem quæ accidit malitia perdere non potest, neque si vellet. Nam legitime contra peccatores habet potestatem. Ignorans igitur singulorum mores diabolus facit adversum illos experientiam, et convictos punit. Tum B Simon dixit: Qui ergo potest Deus miscere elementa, et temperationem facere ad quas vult esse voluntates, cur non bonorum appetentem fecit uniuscujusque temperiem?

XIII. Et Petrus: Nunc nobis demonstrandum est quo modo factus fuerit malus, si quidem ortum habuit, et a quo: illud vero, utrum citra culpam, exponam, postquam finiero mihi nunc propositum sermonem. Tum quo modo et cur factus sit ostendam, etiam quod inculpatus sit creator plene certum dabo. Verum diximus prolatas a Deo fuisse quatuor substantias. Atque ita ex consilio coagmentantis contigit ut voluit malorum electio. Si enim præter illius voluntatem, aut ex alia quapiam C substantia vel et causa evenisset, non utique Deo firmum fuisset propositum, atque metuendum, ne forte accideret, ut eo nolente principes semper malitiæ adversarentur ipsius consiliis. Sed hæc ita haberi nequeunt. Nullum quippe animal et præterea principale ex accidenti fieri potest. Necesse enim est, ut omne, quod fit, ab alio fiat.

XIV. — Ac Simon: Quid vero, si materia, ipsi tempore et potestate æqualis, profert ei, ut quæ sit inimica, principes decretis illius obsistentes? Et Petrus: Si materia æterna est, neque ulli est

VARIÆ LECTIONES.

[19] τε p. λέγω C. Pro [ἔφ]υ est ταῦτα in O. [20] [ὄντ]α C. qui tum scr. οὔθ' ἕτερον ἔχει (f. ἔχειν), — οὐθὲν ἕτερον ἔχειν S., οὐθέτερον ἔχει O. Subinde ὀρε[ξι]ν C. [21] ἔχον O et ex conject. C., in cujus textu ἔχων. [22] γεγενημένων O. [23] οὐθ' (sic) ἕτεραι C., ὡς ἕτεραι p. οὐθέτεραι S. [24] τὴν ἐξουσίαν p. τὴν ἐξουσίαν ἔχει C., ἔχει ἐξουσίαν S. [25] ἀγνοούντων p. ἀγνοῶν οὖν (deleto puncto post ἐξουσίαν) conj. et vertit C. Tum τὸν ἑκάστου τρόπον p. τὰ ἕκαστα τῶν τρόπων O. λαμβά[νει ἐμ]πειρίαν edidit C. [26] τιμωρ[εῖ καὶ ὁ Σί]μων C. [27] ὑπάρχ[ων συγ] κιρνᾷν C., qui tum exh. κρᾶ[σιν] p. κράσεις, Jam sequitur in O πρὸς ἃ βούλεται πρὸς ἃς βούλεται p. πρὸς ἃς βούλεται. [28] προ[αιρέ]σεις C. Tum προαίρ[εσιν] supplevit idem, προαιρ[ετικὴν] D, ut exaratum legitur in O. [29] νοῦν O. Tum add. δεῖξαι c. eodem. [30] διεξίω O. πότε p. τότε Cl. et S. [31] τάς adjunxi c. O. [32] βουλ (seq. lacuna) γκρίναντος p. βουλῇ τοῦ συγκρίναντος O., qui tum scr. προαίρεσιν p. προαίρεσις. [33] 'ρεσὶν c. antecedente lacuna p. προαίρεσιν O. [34] [συμβε]βήκει C. [κράσε]ως p. βουλῆς idem. [35] αἰεί C. Tum συμβήσονται O, συμβή[σων]ται C. [36] [βουλ]ήμασιν C. [37] ζῶν C. [38] ἡ add. c. O. [39] εἰ O, et ex conject., in cuj. textu εἰς.

VARIORUM NOTÆ.

(63) [κ]αὶ C. Tum ζωὴν O, al. man. mutatum in ζῶον. Hoc pertinet ad *illud adulterii genus*, quod *Recognitionibus* insertum fuisse dicit Rufinus in opusculo *De adulteratione librorum Origenis, ut naturam diaboli cæterorumque dæmonum non propositi voluntatisque malitia, sed excepta ac separata creaturæ produxerit qualitas*. Neque vero dubito, quin per Rufinum novo adulterio vetus obductum fuerit. Eum vide *Recogn.* VIII, 55, 56. Cor.

inimica; quod enim semper exsistit, etiam perpessionis expers est, expers autem perpessionis beatum est, beatum vero exsistens inimicitiarum capax esse nequit, cum propter æternam creationem non vereatur quoquam privari. Quo modo autem non potius diligit creatorem materia, cum fructus procreans appareat, ut nutriantur omnia ab ipso condita? Nonne potius eum ut sibi superiorem timet, quomodo et terræ motibus tremens confitetur, et perturbatis undis Domino naviganti a marique serenitatem imperanti haud cunctanter obediens acquievit (*b*)? Nonne etiam dæmones simul territi ac venerabundi egressi sunt, alii vero eorum, ut in porcos intrare sibi liceret, prius petendum putabant, quippe qui absque illius consensu ne in sues quidem ingrediendi haberent potestatem (*c*)?

XV. Et Simon: Quid vero, si anima quidem privata indolem habeat mala ac bona ingignendi? Respondit Petrus: Hac ratione neque bona est, neque mala, quia animæ ac sensus expers agit sine consilio. Quare et hoc intelligi potest, quomodo animæ expers procreet anima tanquam prædita, et quamvis sensu carens corpora artificiosa cum animalium tum plantarum operari videatur. Tum Simon: Quid vero, si Deus animam ei indiderit, nonne reus fit ipse illorum, quæ sibi gignit malorum? Et Petrus: Si Deus eam animavit secundum suam voluntatem, ejus spiritus eam operatur, neque Deo inimica ultro exsistere potest, neque æqua pollere potentia; aut fieri nequit, ut quodcunque per eum fiat, secundum ejus gignatur voluntatem. At dices: Ipse est auctor mali, si per eam operetur mala. Ast qualia intelligis mala? Reptilia veneno infecta, et plantas letiferas, vel dæmones, vel etiam alia, quæ hominibus nocere queant? Quæ quidem ejusmodi mala non essent, si homo non peccavisset, unde mors supervenit. Nam cum homo peccati expers exsistebat, venenum reptilium non operabatur, neque nocivarum plantarum vires, neque dæmones injurias inferebant, neque aliud malum natura ei insitum erat; verumtamen immortalitatis, ut dixi, ob peccatum jactura facta, aptus ad quamvis calamitatem recipiendam redditus est. Si autem dices: Cur igitur humana natura initio mortis capax est reddita? tibi respondeo: Propter liberum ipsius arbitrium. Si enim non essemus morti obnoxii, ob spontaneum peccatum nos im-

(*a*) Matth.. vxvii, 52; viii, 23.
(*b*) Matth. viii, 26; Luc. viii, 24.

A ἐστιν· τὸ γὰρ ἀεὶ [40] ὂν καὶ ἀπαθές ἐστιν, ἀπαθὲς δὲ ὂν μακάριόν ἐστιν, μακάριον δὲ ὂν ἔχθρας δεκτικὸν γενέσθαι οὐ δύναται, ἀϊδίῳ κτίσει [41] στερηθῆναί τινος μὴ πεφοβημένη. Πῶς δὲ οὐχὶ] μᾶλλον ἀγαπᾷ τὸν δημιουργὸν ἡ ὕλη, ὁπότε (64) φαίνεται καρποὺς ἐκφύουσα εἰς τροφὴν πάντων τῶν ὑπ' αὐτοῦ γεγενημένων; Πῶς δ' οὐχ ὡς κρείττονα πεφόβηται, ὡς καὶ διὰ τῶν σεισμῶν τρέμουσα ὁμολογεῖ, καὶ ὡς μεγάλα κυματουμένη τῷ Διδασκάλῳ πλέοντι καὶ γαλήνην ἐπιτάξαντι τάχιστα πεισθεῖσα ἡσύχασεν; Τί δὲ καὶ οἱ δαίμονες οὐ μετὰ τοῦ φοβεῖσθαι καὶ προτιμᾷν ἐξέβαινον, ἄλλοι δὲ εἰς χοίρους εἰσελθεῖν **384** πρότερον παρακαλοῦντες ἠξίουν, ὡς μηδὲ τοῦ εἰς χοίρους εἰσελθεῖν ἄνευ τῆς αὐτοῦ συγχωρήσεως ἐξουσίαν ἔχοντες;

B XV. Καὶ ὁ Σίμων· Τί δὲ εἰ ἄψυχος οὖσα φύσιν ἔχει ἐμφύειν τὰ κακὰ καὶ τὰ ἀγαθά; Καὶ ὁ Πέτρος· Κατὰ τὸν λόγον τοῦτον οὔτε ἀγαθή ἐστιν, οὔτε κακή, ὅτι μὴ προαιρέσει πράττει ἄψυχος οὖσα καὶ ἀναίσθητος. Διὸ καὶ ἐνταῦθα διϊδεῖν ἔστιν, πῶς ἄψυχος οὖσα ἔμψυχος [42] προβάλλει, καὶ ἀναίσθητος οὖσα τεχνικὰ σχήματα, τά τε ζώων καὶ φυτῶν δημιουργοῦσα φαίνεται. Καὶ ὁ Σίμων· Τί δὲ εἰ ὁ Θεὸς αὐτὸς ἐνεψύχωσεν αὐτὴν, οὐκ αὐτὸς αἴτιός ἐστιν ὧν αὐτὴ τίκτει κακῶν; Καὶ ὁ Πέτρος· Εἰ ὁ Θεὸς αὐτὴν ἐνεψύχωσε κατὰ τὴν αὐτοῦ βούλησιν, τὸ αὐτοῦ πνεῦμα αὐτὴν ἐργάζεται, καὶ οὐκέτι τῷ Θεῷ ἐχθρόν τί ἐστιν ἢ ἰσοδύναμον· ἢ ἀδύνατον, ὅτι πᾶν τὸ γινόμενον ὑπ' αὐτοῦ, ὡς θέλει, γίνεται. Ἀλλ' ἐρεῖς· Αὐτὸς τῆς κακίας αἴτιος, εἴπερ αὐτὸς δι' αὐτῆς ἐργάζεται τὰ κακά. C Ποῖα ἄρα ἐρεῖς τὰ κακά; Ἑρπετὰ ἰοβόλα [43] καὶ βοτάνας θανασίμους, ἢ δαίμονας, ἢ καὶ ἄλλα τινὰ τῶν ἀνθρώποις ὀχλεῖν δυναμένων; Ἅπερ τὰ [νῦν κα] λεπὰ [44] οὐκ ἂν ἦν, εἰ μὴ ἡμαρτήκει ὁ ἄνθρωπος, οὗ εἵνεκεν θάνατος παρεισῆλθεν· ἀναμαρτήτου [45] γὰρ ὄντος τοῦ ἀνθρώπου οὐχ ἑρπετῶν ὁ ἰὸς εἰργάζετο, οὐ τῶν κακῶν βοτανῶν αἱ ἐνέργειαι, οὐ δαιμόνων ὀχλήσεις ἐγίνοντο, οὐδὲ **385** ἄλλο τι πάθος αὐτῷ προσεῖναι φύσιν εἶχεν· δι' ἁμαρτίαν δὲ ἐκπεσὼν τοῦ ἀθάνατος εἶναι, ὡς ἔφην, παντὸς πάθους γέγονε δεκτικός. Εἰ δὲ ἐρεῖς· Διὰ τί οὖν κατ' ἀρχὰς ἐγένετο ἡ ἀνθρωπεία φύσις θανάτου δεκτική; Φημί σοι· Διὰ τὸ αὐτεξούσιον. Εἰ γὰρ οὐκ ἦμεν θανάτου δεκτικοί, ἐπὶ αὐτεξουσίῳ ἁμαρτήματι τιμωρεῖσθαι ὡς ἀθάνατοι οὐκ ἐδυνάμεθα. Καὶ οὕτως διὰ τὸ ἀπαθὲς πλεῖόν τι, D κἂν τῇ προαιρέσει ἦμεν κακοὶ [46], ἢ καὶ δικαιοσύνη

(*c*) Matth. viii, 31.

VARIÆ LECTIONES.

[40] αἰεί C. [41] ἀϊδίῳ κτήσει conj. C. ἀϊδιότητι proposuit D., δι' ἀϊδιότητα mavult S. [42] Post ἔμψυχος O., repetit οὖσα expunctum. [43] O., commate distinguit post ἑρπετά et ἰοβόλα. [44] Lacunam codicis excipiunt litteræ λεπόν (sic). [45] Pro ἀναμαρτήτου lacuna in O., sed ad oram man. rec. ἴσως ἀναμαρτήτου. [46] Ita man. rec. ad oram codicis, in cuj. textu κακόν. Subinde ἢ καί p. ἡ και idem.

VARIORUM NOTÆ.

(64) Hucusque ms. Cotelerii. At tria jam peracta sunt lustra, ex quo in cod. Ottoboniano inveni reliquam *Clementinorum* partem (inde a vbb. hom. xix, 14, φαίνεται καρποὺς ἐκφύουσα εἰς τροφὴν πάντων usque ad hom. xx, 23 ὁρμήσειν Ἀντιόχειαν ἔσπευσεν) hactenus incognitam, quam nunc primum evulgavi. Lacunas quæ occurrunt, conjectando explevi uncisque inclusi. DRESSEL.

ἐξησθένει, τῶν κακὰς ἐχόντων προαιρέσεις ἀπαθείας αἰτίᾳ τιμωρηθῆναι μὴ δυναμένων.

mortales puniri non possemus. Et hoc modo, si ex consilio mali essemus, etiam justitia ob indolentiam magis imminueretur, cum qui mala foveant consilia immunitatis causa pœnis affici non possent.

XVI. Καὶ ὁ Σίμων πρὸς ταῦτα ἔφη· Περὶ πονηροῦ τι ἔτι ἔχω ἕτερον λέγειν. Ἢ ὅτι ἐξ οὐκ ὄντων αὐτὸν ἐποίησεν ὁ Θεὸς, καὶ κατὰ τοῦτο κακὸς ὁ ποιήσας, ὃς τὸ μὴ ὂν ἐποίησεν εἶναι, καὶ ταῦτα δυνάμενος αὐτὸν ἀγαθὸν ποιῆσαι τῷ τὸν γινόμενον μηδὲν πρὸς κακίας προαίρεσιν ἰδίαν κεκτῆσθαι φύσιν. Καὶ ὁ Πέτρος· Τὸ ἐξ οὐκ ὄντων αὐτὸν ποιῆσαι προαίρεσιν ἔγοντα, ὅμοιόν ἐστιν ᾧ προειρήκαμεν λόγῳ, ὅτι πρὸς τὸ χαίρειν αὐτὸν κακοῖς τὴν κρᾶσιν ποιήσας αὐνὸς αἴτιος φαίνεται τοῦ γενομένου. Μιᾶς οὖν οὔσης τῆς ἀμφοτέρων ἐπιλύσεως, τὸ διὰ τί χαίρειν αὐτὸν ἐπ' ὀλέθρου κακῶν ἐποίησεν ὕστερον ἐροῦμεν. Καὶ ὁ Σίμων· Εἰ αὐτεξουσίους ἐποίησε καὶ τοὺς ἀγγέλους, ὁ δὲ πονηρὸς ἀπέστη τοῦ δίκαιος εἶναι, καὶ διὰ τί ἀρχῇ τετίμηται; Ὁ τιμήσας, δι' οὗ [47] τετίμηκεν, ὡς κακοῖς χαίρων φαίνεται. Καὶ ὁ Πέτρος· Εἰ ἀποστάντα αὐτὸν ὁ Θεὸς ἄρχειν τῶν ὁμοίων κατέστησε **386** νόμῳ, τὴν τιμωρίαν ἐπάγειν τοῖς ἁμαρτάνουσι κελεύσας αὐτῷ, οὐκ ἄδικός ἐστιν. Εἰ δὲ ὅτι καὶ ἀποστάντα τετίμηκεν, τὸ χρήσιμον ὁ τιμήσας προεῖδεν, ὅτι καὶ ἡ τιμὴ πρόσκαιρος, καὶ ὅτι δίκαιον τοὺς κακοὺς ὑπὸ κακοῦ ἄρχεσθαι καὶ ἁμαρτάνοντας ὑπ' αὐτοῦ τιμωρεῖσθαι.

XVI. Ad hæc Simon: De malo aliud quid dicere habeo. Nimirum si Deus eum ex nihilo fecit, hac quoque ratione creator est malus, utpote qui non existentem ejusmodi fecerit, quamvis liceret, eum facere bonum, si genitum ita creasset, ut propria natura propensitatem ad malum non possideret. Tum Petrus: Quod fecerit ex nihilo propensitate præditum non differt ab illo, quod supra diximus, eum quia malis gauderet mistione composita causam esse videri eorum, quæ proveniunt. Cum eadem sit utriusque solutio, posthac explicabimus, cur ita ordinatum sit, ut malorum pernicie gaudere videatur. Et Simon: Si et angelos liberæ potestatis fecit, malus autem justus esse destitit, cur imperio honorabatur? Nimirum is qui honoravit, ob quem honoravit, malis gaudere videtur. Tum Petrus: Si post defectionem Deus, ut similibus regnaret, lege constituit ei præcipiens, ut pœnas peccatoribus infligeret, non ideo injustus est. Quod si etiam post defectionem eum honoravit, utile inde proventurum prævidit, qui honoravit; nam et honor temporalis est, et justum malos a malo regi atque peccatores ab eo puniri.

XVII. Καὶ ὁ Σίμων· Μήτι ἀεὶ ὢν καὶ οὕτως ἀναιρεῖται τὰ τῆς μοναρχίας, συναρχούσης καὶ ἑτέρας τῆς κατὰ τὴν ὕλην δυνάμεως; Καὶ ὁ Πέτρος· Εἰ διάφοροί εἰσι ταῖς οὐσίαις, διάφοροί εἰσι καὶ ταῖς δυνάμεσιν. καὶ ὁ κρείττων ἄρχει τοῦ ἥττονος. Εἰ δὲ τῆς αὐτῆς εἰσὶν οὐσίας, τότε ἰσοδύναμοι τυγχάνουσιν, καὶ ὁμοίως ἀγαθοὶ ἢ κακοί. Ὅτι δὲ οὐκ εἰσὶν ἰσοδύναμοι, οὐ τῆς αὐτῆς οὐσίας [48] φαίνονται· ὑπὸ γὰρ τοῦ Δημιουργοῦ ἡ ὕλη εἰς οἷον ἠθέλησε κόσμου ἠνέχθη σχῆμα. Καὶ μήτι γε ἔστιν εἰπεῖν, ὅτι ἀεὶ ἦν οὐσία, οὖσα ὕλη [49] ὡς Θεοῦ ταμεῖον. Οὐ γὰρ ἔστιν εἰπεῖν, ὅτι [50] ἦν [ταμεῖον], ὅτε ἀκτήμων ἦν ὁ Θεὸς, ἀλλὰ ἀεὶ ἦν μόνος ἄρχων αὐτῆς. Διὸ καὶ ἀΐδιος μό-[νος] [51], καὶ ἐπὶ ταύτῃ τῇ ὑποθέσει καλῶς ἂν λέγοιτο ὄντος καὶ τοῦ ἄρχοντος καὶ τοῦ [ἀϊδίου.] Καὶ ὁ Σίμων ἔφη· Τί οὖν ἑαυτὸν ἐποίησεν ὁ πονηρός; Καὶ οὕτως ἀγαθὸς ὁ Θεὸς, ὅτι, εἰδὼς αὐτὸν ἐπὶ κακῷ ἐσόμενον, γινόμενον αὐτὸν οὐκ ἀνεῖλεν, ὅτε ὡς ἀτελὴς ἀναιρεθῆναι δυνατὸς ἦν; Εἰ γὰρ ἐξαίφνης συμβέβηκε καὶ ταῦτα τέλειος, καὶ διὰ ταῦτα τέλειος **387** καὶ διὰ ταῦτα προσπολεμεῖ τῷ δημιουργῷ, ὡς ἐξαίφνης ἰσοδύναμος αὐτῷ γεγονώς.

XVII. Tum Simon: Si sempiternus non fuit, annon eo ipso et monarchiæ et reliquæ ex materia provenientis potentiæ consortium deletur? Et Petrus: Si substantiis differunt, differunt etiam facultatibus, et potentior imperat inferiori. Sin autem ejusdem sint substantiæ, eadem potentia præditi exsistunt, et quidem simili modo vel boni sunt vel mali. Sed cum pari potentia non utantur, ejusdem quoque substantiæ non esse videntur; materies enim a Creatore impensa fuit, in qualem mundi formam ille voluit. Neque contendi potest, semper exstitisse substantiam, quippe quæ, ut materies, fuerit Dei cella penaria. Non enim licet dicere, eam fuisse cellam penariam, cum inops esset Deus; at vero semper is exstitit solus illius dominus. Quam ob rem et æternus solus, ideoque bene ea diceretur esse vere exsistentis et domini atque sempiterni. Tum Simon: Quid, inquit, si semetipse creaverit malus? An Deus et hoc modo bonus est, ut, etsi cognitum habebat, versaturum eum in malo, non deleverit, qui non absolutus exstingui poterat? Etenim si subito simul cum eo factus fuerit, et id quidem fluitus eoque perfectus, ob ipsam causam bellaretur contra creatorem, cui nimirum ab initio par natus erat potentia.

XVIII. Καὶ ὁ Πέτρος· Ἀδύνατα λέγεις· καὶ γὰρ κατ' ὀλίγον γιτόμενον αὐτὸν ὡς ἐχθρὸν ὑπ' αὐτοῦ προαιρέσει ἀνελεῖν ἠδύνατο. Καὶ προγινώσκων γίνεσθαι αὐτὸν οὐ καλὸν, οὐ [52] συνεχώρει, εἰ μὴ πρὸς αὐτῷ χρή-

XVIII. Excepit Petrus: Dicis, quæ fieri non possunt; neque enim eum paulo ante genitum ut inimicum e consilio ipse exstinguere potuit. Ac cum prævideret, eum non bonum futurum, non sibi as-

VAVLÆ LECTIONES.

[47] Leg. fortasse δι' ὅν. [48] Vbb. οὐ τῆς αὐτῆς οὐσίας addidi de conjectura. [49] οὖσα οὐχ ὕλη O. [50] ὅτι non est in cod. [51] μο (sine accentu) seq. lacuna O. [52] οὐ adjunxi ex conjectura.

sociasset, nisi cognovisset, ita eum sibi fieri utilem. Neque subito per semetipsum perfectus evadere potuit. Nam is qui nondum erat, formare se ipse non potuit, neque perfectus facultatem habet ex nihilo oriundi, neque eum ortum æqua potentia præditum recte aliquis dixerit. Respondit Simon: An non forte illorum est, quæ ad finem aliquem creabantur? Hoc modo malignum non est malum perenne, ut aqua quidem igni, bona autem suo tempore terræ sitienti; quomodo et ferrum bonum in agricultura, malum autem ad necem perpetrandam: etiam desiderium ad matrimonia ineunda haud pravum, ad adulterium autem noxium; ut et occidere nefas, quamvis pulchrum ex occidentis consilio; et avaritia malum, quamvis dulce avaro, et, quæcunque sunt hujusmodi, eodem se modo habent. Sed hac ratione neque malum est malum, neque bonum contingit esse bonum, cum alterum operetur alterum. Qui autem id, quod male fieri videtur, auctorem delectat, ei vero dolores creat, qui patitur? Et si quis ob nimium sui amorem quantum fieri potest sese oblectans male facere putatur, cui non res esse videtur injusta, si ob illum amorem per justum judicem gravius patiatur?

XIX. Et Petrus: Ipsi viriliter nos castigare debemus, quando libido ad alterius noxam vult impellere, scientes quippe malum delere posse improbos, ut qui ab initio eorum acceperit potestatem. Neque hoc malum iis qui mala perpetrarunt; ast pœnam animas eorum post peremptionem exspectantem pro male prædispositis omni cum jure aliquis dicat duram. Quare, ut dixi, evitetur oportet alia injustitia pro brevi voluptate, ne ob parvam lætitiam æterna luatur pœna. Tum Simon: An forte non exsistit, quod natura malum est aut bonum, sed modo differt et more? Ita apud Persas mos est matrimonium ineundi cum matribus, sororibus, filiabus, alias autem ducere sævissimum appellatur. Unde malorum non definitorum Dei judicium non esse potest pro omnibus. Et Petrus dixit: Hoc subsistere nequit: nam omnibus exsecrandus videtur coitus cum matribus, si etiam Persæ, qui partiuncula sunt generis humani, iniquitatem exosi eorum moris non capiant. Ita et Britanni palam coram omnibus coeunt sine pudore; alii humana carne vescuntur sine fastidio; alii ea quæ canes et alia nefanda perpetrant. Hoc modo non judicandum est de sensu secundum naturam perverso. Nam et occili malum est, etiamsi non omnes ita dicant, cum nemo ipse sibi dolores parere velit, nec pœna ob furtum sibi inflicta ullus delectetur. Si quis ergo nullatenus concedit peccatum exsistere, necessario et tertium judicium ob ea recte exspectandum est. Qui cum Petrus dixisset,

A σιμον γινόμενον ἠπίστατο. Καὶ τέλειος ἐξαίφνης ἀφ ἑαυτοῦ γενέσθαι οὐχ οἷός τε ἦν. Ἑαυτὸν γὰρ ὁ μήπω ὢν πλάττειν οὐκ ἐδύνατο, καὶ τέλειος οὔτε ἐξ οὐκ ὄντων γενέσθαι τι οὐσίαν ἔγειν [53] δύναται, καὶ γεννητὸν ὑπάρχοντα τῷ ἀεὶ ἰσοδυναμεῖν οὐκ ὀρθῶς ἂν εἴποι τις. Καὶ ὁ Σίμων· Μήτι οὖν τῶν πρός τί ἐστιν; Καὶ οὕτως πονηρὸν οὐκ [54] ἔστι κακὸν μένον ὡς ὕδωρ πυρὶ, ἀγαθὸν δὲ τῇ εὐκαίρως διψώσῃ γῇ· ὥσπερ γε καὶ σίδηρος εἰς μὲν γεωργίαν καλὸς, εἰς δὲ φόνους κακός· καὶ ἡ ἐπιθυμία δὲ εἰς μὲν γάμους οὐ κακὴ, εἰς δὲ μοιχείαν χαλεπή· ὡς καὶ τὸ φονεῦσαι κακὸν, ἀλλὰ τῷ φονεύσαντι πρὸς ὃ βεβούλευται καλὸν, καὶ ἡ πλεονεξία κακὸν, ἀλλὰ τῷ πλεονεκτοῦντι ἡδύ· καὶ ὅσα τοιαῦτα τυγχάνει τοῦτον περιέχει τὸν τρόπον. Τούτῳ δὲ τῷ λόγῳ οὔτε τὸ κακὸν κακόν ἐστιν, οὔτε τὸ ἀγαθὸν ἀγαθὸν
B τυγχάνει· ἑκάτερον γὰρ τὸ ἕτερον ἐργάζεται. Μήτι γε [55] τὸ δοκοῦν κακῶς γίνεσθαι εὐφραίνει μὲν τὸν ποιοῦντα, κολάζει δὲ τὸν πάσχοντα; Καὶ εἰ ἄδικον δοκεῖ τὸ ἑαυτὸν ἀγαπήσαντα εὐφραίνειν ὡς δυνατόν ἐστιν, καὶ διὰ τοῦτο χαλεπὰ **388** πείσεσθαι ὑπὸ δικαίου δικαστοῦ περὶ τοῦ ἑαυτὸν ἠγαπηκέναι, τίνι [56] οὐκ ἄδικον φαίνεται;

XIX. Καὶ ὁ Πέτρος· Ἑαυτὸν χρὴ κολάζειν τότε τῇ ἐγκρατείᾳ, ὅταν ἡ ἐπιθυμία πρὸς ἑτέρου βλάβην ὁρμῆσαι θέλῃ, εἰδότα ὅτι [57] ὁ πονηρὸς τοὺς μὲν κακοὺς ἀνελεῖν δύναται, ἀπ' ἀρχῆς τὴν κατ' αὐτῶν εἰληφὼς ἐξουσίαν. Καὶ οὔπω τοῦτο κακὸν τοῖς κακὰ πράξασιν, ἀλλὰ τὸ μετὰ τὴν ἀναίρεσιν τὰς ψυχὰς αὐτῶν κολαζομένας διαμένειν, τοῦτο ὄντως εἶναι χαλεπὸν δικαίως
C τῶν κακῶς προδιωρισμένων ὀρθῶς ἔχειν εἴποι τις [58]. Οὗ εἵνεκεν παραιτεῖσθαι χρὴ, ὡς ἔφην, βραχείας χάριν ἡδονῆς ἄλλον ἄδικον πρὸς τὸ μὴ αὐτόν τινα ὀλίγης χάριν ἡδονῆς ἀϊδίῳ περιβαλεῖν κολάσει. Καὶ ὁ Σίμων· Μήτι οὖν οὐκ ἔστι τῇ φύσει πονηρὸν ἢ ἀγαθὸν, ἀλλὰ νόμῳ διαφέρει καὶ ἔθει; [Οὕτω] [59] παρὰ Πέρσαις ἴδιον τὸ γαμεῖν μητέρας, ἀδελφὰς, θυγατέρας, ἄλλας δὲ ὥσπερ χαλεπώτ[ατον ἀ]γορεύεται. Ὅθεν τῶν κακῶν μὴ ὡρισμένων πᾶσι τὴν ἐκ Θεοῦ κρίσιν προσδοκᾷν οὐκ ἔστιν. Καὶ ὁ Πέτρος ἔφη· Οὐ δύναται τοῦτο συστῆναι· πᾶσι γὰρ φαίνεται, ὅτι τὸ μητράσι μίγνυσθαι μυσαρὸν, κἂν Πέρσαι, μόριον ὑπάρχοντες τοῦ παντὸς, ὑπὸ κακοῦ ἔθους τῆς μυσαρᾶς αὐτῶν πράξεως τὸ ἄνομον μὴ ἀντιλαμβάνωνται [60]. Ὡς καὶ Βρεττανοὶ ἐμφανῶς ἐπὶ πάντων κοινωνοῦσιν, καὶ οὐκ αἰδοῦνται· καὶ ἄλλοι σάρκας ἀνθρώπων ἐσθίουσιν, καὶ οὐ μυσάττονται· **389** καὶ ἕτεροι τὰ κυνῶν καὶ ἄλλα ἄῤῥητα πράσσουσιν [61]. Οὕτως οὐ χρὴ αἰσθήσει ὑπὸ ἔθους τοῦ κατὰ φύσιν ἐκτραπείσῃ τὰς κρίσεις ποιεῖσθαι. Καὶ γὰρ τὸ φονευθῆναι κακὸν ἐστιν, κἂν μὴ πάντες λέγωσιν, ὅτι μηδεὶς αὐτοπαθεῖν θέλει, καὶ κλοπῇ οὐδεὶς ἐπὶ τῇ ἑαυτοῦ κολάσει ἥδεται. Κἂν οὖν ἑνὸς οὐ-

VARIÆ LECTIONES.

[53] ἔχει O. [54] οὐκ adjunxi ex conjectura. [55] Ita leg. notat O in margine, μήτοι γε in textu. [56] τινί O. [57] ὅτι ascripsi ex conjectura. [58] Σικαίως τὸν κακῶς προδιωρισμένον (sic) ὀρθῶς ἔχειν εἰπόντος O. [59] Supra lacunam, quam explevi vox [ουτω] signa ʺ apparent. Fortasse legendum [ἢ] *nonne* et signum interrogandi in fine enuntiationis ponendum. [60] ἀντιλαμοάνονται O. [61] καὶ ἕτεροι κυνῶν καὶ ἄλλοι ἄῤῥητα πρασσουσιν O.

δήποτε ὁμολογουμένου εἶναι ἁμαρτήματα, ἐξ ἀνάγκης A καὶ τρίτην κρίσιν πρὸς τὰ ἁμαρτήματα ὀρθῶς ἔστι προσδοκᾷν. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ὁ Σίμων ἀπεκρίνατο· Οὕτως σοι δοκεῖ τὰ κατὰ τον πονηρὸν εἶναι; Εἰπέ μοι.

XX. Καὶ ὁ Πέτρος· Μεμνήμεθα τοῦ Κυρίου ἡμῶν καὶ Διδασκάλου, ὡς ἐντελλόμενος εἶπεν ἡμῖν· Τὰ μυστήρια ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου φυλάξατε. Διὸ καὶ τοῖς αὐτοῦ μαθηταῖς κατ' ἰδίαν ἐπέλυε τῆς τῶν οὐρανῶν βασιλείας τὰ μυστήρια [62]. Σοὶ δὲ, πολεμοῦντι ἡμᾶς καὶ μηδὲν ἕτερον διασκοποῦντι ἢ τὰ ἡμέτερα εἴτε ἀληθῆ ὄντα, εἴτε ψευδῆ, τὰ ἀπόῤῥητα λέγειν, ἀσεβεῖν ἐστίν. Ἀλλ' ἵνα μὴ δόξωσί τινες τῶν παρεστώτων, ὅτι ἀδυνατῶ πρὸς τὰ ὑπὸ σοῦ ῥηθέντα ἀποκρίνασθαι (προφάσεως διαμηχανῶμαι), ἐρῶ πρότερον πυνθανόμενός σου, εἰ τὸ μὴ ἀλγεῖν ἦν, τί ἂν ἔστιν ἦν ὁ πονηρός. Καὶ ὁ Σίμων ἔφη· Οὐδέν. Καὶ ὁ Πέτρος· Ἆρά γε τὸ πονηρὸν τὸ ἀλγεῖν ἐστι καὶ τὸ θανεῖν; Καὶ ὁ Σίμων· Φαίνεται. Καὶ ὁ Πέτρος [63]. B Οὐκ ἄρα ὑπάρχει τὸ πονηρὸν ἀεὶ, ἀλλ' οὐδὲ μὴν ὑπάρξαι δύναται· τὸ γὰρ ἀλγῆσαι καὶ θανεῖν τῶν συμβαινόντων [64] ἐστὶν, ὧν οὐθέτερόν ἐστι παρούσης **290** εὐσθενείας. Τί [65] γάρ ἐστιν ἀλγεῖν ἢ τὸ ἀναρμοστεῖν; Τί δὲ θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Οὔτ' οὖν ἁρμονίας οὔσης τὸ ἀλγεῖν ἔστιν· τὸ γὰρ θανεῖν οὐδὲ ὅλως τῶν ὑπαρκτῶν ἐστὶν, ὅτι θάνατος οὐδέν ἐστιν, ὡς ἔφην, ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, οὗ συμβάντος, τὸ μὲν σῶμα φύσει ἀναίσθητον ὂν λύεται, ἡ δὲ ψυχὴ αἰσθητὴ οὖσα ζῶσα ὑπάρχει. Ὅθεν ἁρμονίας οὔσης οὐκ ἀλγεῖν ἔστιν, οὐκ ἀποθανεῖν, ἀλλ' οὐδὲ μὴν βοτάναι θανάσιμοι, οὐχ ἑρπετὰ ἰοβόλα, οὐδὲ ἄλλο τι τοιοῦτον, οὗ τὸ τέλος θάνατος. Ὅθεν ἀθανασίας ἐπικρατούσης εὐλόγως πάντα γεγονότα φανήσεται. Ὅπερ καὶ οὕτως ἔσται, ὁπόταν δικαιοσύνης αἰτίᾳ C ὁ ἄνθρωπος ἀθάνατος γένηται τῆς τοῦ Χριστοῦ εἰρηνι[κῆς] ἐπικρατούσης βασιλείας· ὅτε αὐτοῦ καὶ ἡ κρᾶσις εὔκρατός ἐστιν, ἵνα μὴ ὀξείας [φύῃ] ὁρμάς· ἔτι τε καὶ γνῶσις ἄπταιστος, ἵνα μή τι τῶν κακῶν ὡς ἀγαθὸν π[ικροποιοῦν] [66] τε ἀλγοῦν ἔσται, ἵνα μὴ θνητὸς ᾖ.

XXI. Καὶ ὁ Σίμων ἔφη· Ταῦτα μὲν ὀρθῶς ἔφης· πλὴν ἐν τῷ νῦν κόσμῳ οὐ δοκεῖ σοι παντὸς πάθους δεκτικὸς εἶναι ὁ ἄνθρωπος; Λέγω δὲ ἐπιθυμίας, ὀργῆς, λύπης καὶ τῶν τοιούτων. Καὶ ὁ Πέτρος· Κα' ταῦτα τῶν συμβαινόντων ἐστὶν, οὐ τῶν ἀεὶ ὄντων, χρησίμως δὲ τῇ ψυχῇ συμβαίνοντα νῦν εὑρεθήσεται. Ἥτε γὰρ ἐπιθυμία ἐκ τοῦ πάντα καλῶς δημιουργήσαντος συμβαίνειν τῷ ζώῳ γεγένηται, ἵνα ὑπ' αὐτῆς ἀγόμενον πρὸς κοινωνίαν τὴν ἀνθρωπότητα [67] πληθύνῃ, ἀφ' ἧς πλῆθος ἐκλογῆς κρειττόνων γίνεται D **291** πρὸς αἰώνιον ζωὴν ἐπιτήδειον [68]. Πλὴν ἄνευ ἐπιθυμίας τὴν πρὸς γυναῖκα κοινωνίαν οὐδεὶς ἂν ἀνεδέξατο· νῦν δὲ προφάσει ἡδονῆς ὡς ἑαυτῷ χαριζόμενος ὁ ἄνθρωπος τὸ ἐκείνου βούλημα ποιεῖ. Πλὴν

respondit Simon: Dic mihi, an de malo ita tibi videatur?

XX. Tum Petrus: Recordamur, Dominum nostrum et Magistrum nobis præcepisse: Mysteria mihi et filiis domus meæ custodite. Quare et discipulis suis seorsum regni cœlestis mysteria explicabat (*a*). At impium esset, si revelaremus tibi ineffabilia, adversanti nobis et nihil aliud dispicienti quam dicta nostra sive vera sive falsa. Attamen ne circumstantium aliqui credant, me non posse respondere a te prolatis (similitudine utor), respondebo, quando ex te audivero, quid significet *erat malus*, si *non dolere* erat. Et Simon dixit: Nihil. Tum Petrus: Num dolere et mori malum est? Respondit Simon: Ita esse videtur. Et Petrus: Non igitur malum semper exstitit, sed ne exstitisse quidem potest; nam dolere et mori accidentium sunt, quorum neutrum præsenti saluti est conjunctum. Quid enim est dolere nisi non congruere? Quid autem mors, nisi separatio animæ a corpore? Neque igitur, si harmonia exsistit, dolor intrat; nam mori ne omnino quidem exsistentium est, quia mors nihil aliud est, ut dixi, quam separatio animæ a corpore, quæ cum evenit, corpus quidem sensu expers dissolvitur, anima autem sensu affecta vivere pergit. Quare neque dolor adest neque mors, ubi harmonia existit, sed ne plantæ quidem letiferæ sunt, neque reptilia venenata, neque aliud horum quidquam, quorum finis est mors. Unde omnia recte creata videntur prævalente immortalitate. Et hoc ita eveniet, quando justitiæ gratia homo immortalis fit, regno Christi pacifico prævalente, quandoquidem temperamentum ejus mite est, ne acres procreet cupiditates, insuper etiam sapientia non erronea, ut nihil malorum tanquam bonum ad servitutem vel dolorem ferat, ita ut ille non sit mortalis.

XXI. Respondit Simon: Hæc quidem recte dixisti. At homo in hoc mundo nonne tibi cujusvis mali capax esse videtur? Dico autem cupiditatis, iracundiæ, luctus et hujuscemodi. Et Petrus: Et hæc quidem sunt accidentium, non æternorum; verumtamen animæ utiliter conjuncta jam invenientur. Etenim cupiditas ab illo, qui omnia bene creavit, opifice animali unita est, qua ad mistionem impulsum multiplicet humanum genus, cujus electa meliorum multitudo idonea redditur ad vitam æternam. Præterea sine cupiditate coitum cum muliere nemo faceret; jam vero voluptatis specie homo sibi ipse gratificans illius facit voluntatem. Itaque si quis cupiditate ad legitimum utitur connubium,

(*a*) Marc. IV, 34.

VARIÆ LECTIONES.

[62] Cfr. hom. XVII, 6. [63] Vbb. καὶ ὁ Πέτρος desiderantur in O. [64] συμβενόντων O., qui deinde in textu ἀσθενείας, in margine γρ. εὐσθενείας. [65] τό O. [66] Scripsi [πικροποιοῦν] ob analogiam cum seq. participio, etsi π[ικροποιόν] usui melius respondisset. ἀλγῶν p. ἀλγοῦν O. [67] ἀνθρωπότηταν O. [68] ἐπιτήδειος O.

impie non agit, sed in adulterium prorumpens impietatem committit, ideoque castigabitur, ut qui male usus sit eo, quod bene fuerit ordinatum. Simili modo etiam iracundiæ concessa a Deo est vis nos aggrediendi, ut ea excitemur ad peccatorum ultionem. Verumtamen immodice qui ea utitur, injuste agit, recte ea utens justum peragit. At luctui quoque subjecti sumus, quo doloris esse possimus participes obitus propinquorum, mulieris, vel liberorum, vel fratrum, vel genitorum, vel amicorum aliorumve. Commiserationis enim expertes hominis naturam exuissemus. Simul reliqua omnia apta esse reperientur, si considerentur modo a me indicato.

XXII. Tum Simon : Cur autem et homines præmature moriuntur, et morbi periodici veniunt, insuper et dæmones, insaniæ et calamitates multiformes magna castigandi facultate præditæ exsistere pergunt? Excepit Petrus : Quia homines omnino libidini suæ indulgentes inconsiderate coeunt, et ita seminibus alieno tempore sparsis ex naturæ indole innumerabilia procreantur mala. Debebant potius reputare, uti tempus definitum sit ad plantandum et seminandum aptum, ita et constitutos fuisse dies ad coitum idoneos. Hinc certe aliquis Moysis traditis peritus populum ob peccata accusans, noviluniorum secundum lunam et sabbatorum filios appellabat. At vero in principio mundi homines et longævi erant morbique immunes. Sed usu negligenter derelicto, filii illorum vicissim ob ignorantiam, ut non licuit, miscentes se, innumerabilibus calamitatibus liberos suos reddiderunt obnoxios. Quare et magister noster de illo, qui a nativitate cæcus erat et per eum vidit, interrogantibus, utrum hic peccaverit an genitores ejus, ut cæcus nasceretur, respondit : Neque hic in aliquo peccavit, neque ejus genitores, sed ut in eo manifestaretur Dei potestas, quæ ignorantiæ peccata sanat (*a*). Ac profecto ignorantiæ causa ejusmodi res eveniunt, quod videlicet ignoretur quando conjuge uti oporteat, et an libera sit a menstrua pollutione. Jam vero calamitates, quarum antea mentionem fecisti, ex ignorantia proveniunt, non e malo peracto. Concede insuper non peccantem et accipe non patientem, atque etiam alios patiendi immunes ad ei serviendum aptos invenies. Exempli gratia Moyses propter pietatem totius vitæ tempus consummavit mali expers, et Ægyptios ob peccata patientes precibus sanavit.

XXIII. Tum Simon : Hæc quidem ita sese habeant. Sed inæqualitas inter homines nonne tibi videtur injustissima? Alter enim mendicat, alter divitiis abundat, alter ægrotat, alter nimia valetudine fruitur, et quæ hujusmodi innumerabilia in humana

A ἐάν τις τῇ ἐπιθυμίᾳ χρῆται πρὸς νόμιμον γάμον, οὐκ ἀσεβεῖ, πρὸς μοιχείαν δὲ ὁρμῶν [69] δυσσεβεῖ, καὶ διὰ τοῦτο τιμωρεῖται, ὅτι τῷ [70] καλῶς τεθέντι ἐχρήσατο κακῶς. Ἔτι τε ὁμοίως ἡ ὀργὴ ἐν ἡμῖν ἐξάπτεσθαι φύσιν ἔχειν εἴληφε παρὰ Θεοῦ, ἵνα πρὸσ ἄμυναν ἁμαρτημάτων ὑπ' αὐτῆς ἑλκώμεθα. Πλὴν ἀμέτρῳ αὐτῇ τις χρησάμενος ἀδικεῖ, κατ' ἀξίαν δὲ χρώμενος τὸ δίκαιον ἐκτελεῖ. Ἀλλὰ καὶ λύπης ἐσμὲν δεκτικοὶ, ἵνα τὸ συμπαθητικὸν ἔχωμεν ἐπί τε θανάτῳ οἰκείων, γυναικὸς ἢ τέκνων ἢ ἀδελφῶν ἢ γονέων ἢ φίλων ἢ ἄλλων τινῶν. Ἐπείπερ, εἰ τὸ συμπάσχειν οὐκ εἴχομεν, ἀπάνθρωποι ἂν εἶμεν [71]. Ὁμῶς καὶ τὰ ἄλλα πάντα οἰκείως εὑρεθήσεται ἔχοντα, ἐάν γε δι' ὃ ἔλεγον [72] ἐ[πι]νοηθῇ.

XXII. Καὶ ὁ Σίμων· Διὰ τί δὲ καὶ ἄωροι τελευτῶσιν, καὶ περιοδικαὶ νόσοι γίνονται, ἔτι μὴν καὶ B δαίμονες καὶ μανίαι καὶ πάθη παντοδαπὰ κολάζειν μεγάλως δυνάμενα ὑπάρχει; Καὶ ὁ Πέτρος· Ὅτι οἱ ἄνθρωποι τὰ πάντα αὐτῶν τῇ ἡδονῇ χαριζόμενοι ἀπαρατηρήτως κοινωνοῦσιν καὶ οὕτως ἡ τῶν σπερμάτων καταβολὴ ἀκαίρως ἐπιδοθεῖσα φυσικῶς τὰ μυρία ἐκφύει κακά. Ἐχρῆν δὲ αὐτοὺς λογίζεσθαι, ὅτι, ὡς τοῦ φυτεῦσαι καὶ σπεῖραι καιρὸς ἐπιτήδειος ὥρισται, οὕτω καὶ τοῦ κοινωνῆσαι ἐπιτηρήσιμοι ἡμέραι προσῳκείωνται. **392** Ἔνθεν γοῦν τις ἐκ τῆς Μωϋσέως παραδόσεως μεμαθηκὼς, αἰτιώμενος τὸν λαὸν ἐπὶ ἁμαρτίας, υἱοὺς νεομηνιῶν τῶν κατὰ σελήνην καὶ σαββάτων ἀπεκάλει. Ἀλλὰ καὶ κατ' ἀρχὰς τοῦ κόσμου οἱ ἄνθρωποι πολυετεῖς τε ἦσαν καὶ ἄνοσοι. Ὁπότε δὲ ἀμελήσαντες τὴν παρατήρησιν ἀπέλιπον, ἔκτοτε κατὰ διαδοχὴν υἱοὶ ἀγνοίας αἰτίᾳ [ὡς] μὴ δεῖν κοινωνοῦντες C ὑπὸ μυρία πάθη τὰ ἑαυτῶν τιθέασι τέκνα. Ὅθεν καὶ [Διδάσκ]αλος ἡμῶν περὶ τοῦ ἐκ γενετῆς πηροῦ καὶ ἀναβλέψαντος παρ' αὐτοῦ ἐξετά[ζων ἐρωτήσασιν], εἰ [73] οὗτος ἥμαρτεν ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ, ἀπεκρίνατο· οὔτε οὗτός τι ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα δι' αὐτοῦ φανερωθῇ ἡ δύναμις τοῦ Θεοῦ τῆς ἀγνοίας ἰωμένη τὰ ἁμαρτήματα. Καὶ ἀληθῶς ἀγνοίας αἰτίᾳ τὰ τοιαῦτα γίνεται, ἤτοι τῷ μὴ εἰδέναι πότε δεῖ κοινωνεῖν τῇ γαμετῇ, εἰ καθαρὰ ἐξ ἀφέδρου τυγχάνει. Πλὴν ἃ προείρηκας πάθη ἐξ ἀγνοίας ἐστίν, οὐ μέντοι ἐκ πονηροῦ εἰργασμένου. Προσέτι δὲ δὸς τὸν μὴ ἁμαρτάνοντα καὶ λάβε τὸν μὴ πάσχοντα, καὶ πρὸς τὸ μὴ πάσχειν καὶ ἄλλους αὐτὸν θεραπεῦσαι δυναμένους εὑρήσεις [74]ι Αὐτίκα γοῦν Μωϋσῆς διὰ εὐσέβειαν ἀπαθὴς τὸν πάντα τῆς ζωῆς D διετέλεσε χρόνον, καὶ τοὺς Αἰγυπτίους δι' ἁμαρτίας πάσχοντας εὐχαῖς ἴατο.

XXIII. Καὶ ὁ Σίμων· Ἔστω μὲν ταῦτα οὕτως ἔχειν. Οὐ δοκεῖ σοι ἀδικωτάτη ἡ ἐν ἀνθρώποις ἀνωμαλία; Ὃς μὲν γὰρ πένεται, ὃς δὲ πλουτεῖ, **393** καὶ ὃς μὲν νοσεῖ, καὶ [ὃς δὲ] ὑγιαίνει, καὶ ὁμῶς τοιαῦτά τινα μυρία ἐν τῷ ἀνθρωπίνῳ βίῳ. Καὶ ὁ Πέτρος·

(*a*) Joan. IX, 2, 3.

VARIÆ LECTIONES.

[69] ὁρμῶ O. [70] τό O. [71] ἂν εἶ (subnotatum) εἶμεν O. [72] λέγον (sic) O. [73] εν absque spiritu O., qui dein ἐγεννήθη. [74] εὕρης O., qui dein διό p. διά.

Οὐ συνορᾷς, ὦ Σίμων, ὅτι πάλιν ἐκτὸς τοῦ σκοποῦ τοὺς λόγους πέμπεις; Περὶ πονηροῦ γὰρ ἡμῶν διαλεγομένων, σὺ ἐκτροπὴν ποιήσας περὶ τῶν δοκούντων ἀσοπημάτων τὸν λόγον εἰσηγήσω. Πλὴν καὶ εἰς αὐτὸ ἐρῶ. Ὁ κόσμος ὄργανόν ἐστι τεχνικῶς γεγονὸς [75], ἵνα τῷ ἐσομένῳ ἄῤῥενι αἰωνίως ἡ θήλεια τίκτῃ δικαίους αἰωνίους υἱούς. Οὐκ ἐδύναντο δὲ εὐσεβεῖς [76] ἐνταῦθα ἀποτελεσθῆναι, εἰ μὴ ἦσαν οἱ ἐνδεεῖς οἷς ἐπικουρήσουσιν. Ὁμοίως τε καὶ διὰ τοῦτο εἰσὶ καὶ νοσοῦντες, ὧν προνοήσουσιν. Καὶ τὰ ἑξῆς τοῦτον περιέχει τὸν λόγον. Καὶ ὁ Σίμων· Οὐκοῦν ἠτύχηται τοῖς ταπεινοῖς; Πρὸς γὰρ τὸ ἀποτελεσθῆναι δικαίους αὐτοὶ κακουχοῦνται. Καὶ ὁ Πέτρος· Εἰ ἦν αἰώνιος ταπείνωσις αὐτῶν, ἀτυχία ἂν ἦν μεγίστη. Ἀλλὰ πρὸς τῷ κλήρῳ τὰ ταπεινώματα καὶ ὑψώματα ἀνθρώποις γίνεται. Ὧ δ' ἂν μὴ ἀρέσκῃ ὁ κλῆρος, ἔνεστιν ἐκκλήτως χρησάμενον καὶ νομίμως διαδικασάμενον τὸν ὑπ' αὐτοῦ ὑπαλλάξαι βίον. Καὶ ὁ Σίμων· Τίς οὗτος ὁ κλῆρος, καὶ ἔκκλητος; Καὶ ὁ Πέτρος· Τοῦτο ἑτέρου λόγου ἐξήγησίς ἐστιν. Πλὴν ἐὰν ἐπιτρέψῃς, δεῖξαί σοι δυνάμεθα, πῶς ἀναγεννηθεὶς καὶ τὴν γένεσιν ὑπαλλάξας καὶ νομίμως βιώσας αἰωνίου τεύξῃ σωτηρίας.

XXIV. Καὶ ὁ Σίμων ταῦτα ἀκούσας ἔφη· Μήτι νομίσῃς, ὡς ἐπειδὴ εἰς ἕκαστον κεφάλαιον ζητῶν [σε] συνετιθέμην ὡς πληροφορούμενος ἐφ' **394** ἕτερον ἐρχόμενον κεφάλαιον; ἀλλ' ἀγνοίας σοι τὸ [77] πείθεσθαι παρεῖχον, ἵνα ἐπ' ἄλλο ἔλθῃς κεφάλαιον, ὅπως πάσης ἀγνοίας σου μαθὼν μὴ στοχαζόμενος καταγινώσκω σου. Ἀλλὰ πεπληροφορημέ[νων] νῦν ἤδη [78] τριῶν ἡμερῶν μοι συγχώρησον, καὶ ἐλθὼν δείξω σε μηδὲν εἰδότα. Ταῦτα τοῦ Σίμωνος εἰπόντος καὶ ἐξιέναι μέλλοντος ὁ ἐμὸς ἔφη πατήρ· Βραχέα μου, Σίμων, ἐπακούσας, ὥς σοι φίλον ἐστὶν, πορεύου. Μέμνημαι, ὡς τὴν ἀρχὴν πρὸ τῆς ζητήσεως, ὡς μήπω πεῖράν μου λαβὼν, προλήψεις μου κατέφερες. Καὶ νῦν δὲ ἐπαλλήλως ἀκούσας τῆς ζητήσεως καὶ Πέτρον [79] ἐν ὑπεροχῇ γνοὺς καὶ αὐτῷ τὸ ἀληθεύειν νῦν δοὺς, τί σοι φαίνομαι ὀρθῶς κρίνειν εἰδὼς, ἢ οὔ; Εἰ μὲν γὰρ ὀρθῶς κρίναντά με φαίης, μὴ συνθῇ, ἵνα μὴ φαίνῃ [80] προειλημμένος, ὁ καὶ μετὰ ὁμολογίαν ἥττων [81] συνθέσθαι μὴ θέλων. Εἰ δ' ἄρα μὴ ὀρθῶς τὸν Πέτρον ἐν ὑπεροχῇ τῆς ζητήσεως ἀπεφαινόμην, σὺ ἡμᾶς πεῖσον, πῶς οὐκ ὀρθῶς ἐκρίναμεν, ἢ τοῦ ζητεῖν αὐτῷ ἐπὶ πάντων μὴ παύσῃ, ἐπεὶ ἔσται σοι ἑκάστοτε ἡττωμένῳ καὶ συντιθεμένῳ· Ἢ δὲ τὸ αἰδεῖσθαι ἔχεις ἀπὸ πάντων τῶν ἀκροατῶν ἀντὶ μεγίστης τιμωρίας καταγινωσκομένῳ καὶ ἀσχημονοῦντι ὑπὸ συνειδήσεως [82] τὴν σεαυτοῦ ἀλγεῖν ψυχήν· τὸ γὰρ νενικῆσθαι ἔργῳ εἴδομεν, τὸν δὲ ἐπαγγελλόμενόν σου λόγον ἠκούσαμεν. Πέρας γοῦν οὐκ οἶμαι, σὲ ἐπὶ τὴν ζήτησιν **395** ἐλθεῖν, ὡς ὑπέσχου, ἀλλὰ πρὸς τῷ δοκεῖν μὴ αἰτιᾶσθαι [83] ἐξιὼν ἐπανελθεῖν ὑπέσχησαι [84].

vita reperiuntur alia. Et Petrus: Nonne vides, Simon, te iterum extra propositum sermones mittere? Nobis enim de malo colloquentibus, digrediens disceptationem de iis tu introducis, quæ sibi contradicere videntur. Nihilominus tibi respondebo Mundus est opus artificiose factum, ut masculo in æternum futuro femina pariat justos ac æternos filios. At pii hic ad perfectionem venire non possent, nisi pauperes exsisterent, quibus auxilium ferrent. Simili modo et ægrotantes adsunt, quibus provideant. Et eo spectant reliqua. Tum Simon: Quid ergo, pauperes nonne infelices sunt? Male nimirum patiuntur, ut justi ad perfectionem veniant. Et Petrus: Si eorum humilitas esset æterna, infortunium esset maximum. Sed humiliationes et exaltationes hominibus sorte attribuuntur. Cui autem sors non placet, illi licet vitam, qua electa utitur, recte dijudicatam per semetipsum commutare. Tum Simon: Quænam est illa sors, et ea quidem electa? Et Petrus: Hoc alius disquisitionis argumentum est. Verumtamen, si non vetueris, tibi ostendere possumus, quomodo generatione commutata iterum natus tu recte vivendo æternam salutem adipisci valeas.

XXIV. Quibus auditis Simon respondit: An non intelligis, quomodo capitulatim disquirens tibi ad proximum progredienti caput consenserim quasi satisfactus? Sed dedi occasionem inscitiam tibi persuadendi, ut ad aliud capitulum progressus tota ignorantia tua cognita non conjectans te dijudicem. Sed tres cum jam præterierint dies, mecum dissere et continuando ego ostendam te nihil scire. Hæc cum Simon locutus esset et exire vellet, pater meus dixit: Paululum me ausculta, Simon, et postea, si lubet, proficiscere. Memini te initio disputationis, quasi me non cognoveris, divinationes meas contempsisse. Sed jam cum alterius partis disquisitionem audiverim, rectene tibi statuere videor an non, si Petrum te superiorem crediderim, eumque verum dicere confitear? Si quidem recte me censere dicis, noli pacisci, ne videaris quamvis præoccupatus vel ex consensu et victus nolle concedere. Sin Petrum in disputatione superiorem esse non recte ostendebam, persuade nobis, quomodo non recte censuerimus, aut noli cessare a disquisitione coram omnibus, cum tibi alterutrum eligere licebit, aut superari aut componere. Sed tu fortasse pudere coram omnibus auditoribus maximam putas pœnam ei, qui dijudicatus est, quia partes male egerit; et ex conscientia dolorem patiatur; nam victum te esse re ipsa scimus, cum orationem a te prolatam audiverimus. Præterea quoque non credo te venisse ad disputationem, quemadmodum promiseras, sed, ne arguaris, rediturum te exiens promisisti.

VARIÆ LECTIONES.

[75] γεγονώς O. [76] Ita scrib. monet amanuensis codicis O. in margine, ἀσεβεῖς in textu. [77] τοῦ O. [78] νῦν δέ O. [79] πέτρος O., qui deinde καὶ τί p. τί. [80] ἵνα μὴ φαίνῃ dedi ex conjectura, δὲ σὺ φαίνῃ O. [81] ἥτταν O. [82] συνειδηάσεως O. [83] αἰτεῖσθαι O. [84] ὑπέσχηται O.

XXV. Ac Simon, cum hæc audisset, præ ira dentibus stridens tacite abiit. Petrus autem cum non paucum temporis diei superesset, ægrotis ad sanandum manibus impositis, multitudinem dimisit, cumque familiaribus domum ingressus consedit. Tum comitum unus, cui Sophoniæ nomen: Benedictus, inquit, sit Deus, qui te, Petre, elegit, ut probi sapientiæ acquiescere possent. Nam vere magnifice et cum patientia contra Simonem disputasti. Nunc a te petimus, ut et nobis de malis colloquaris, sperantes genuiniorem te nobis facturum sermonem, non autem jam hac hora, sed cras, si tibi placet: etenim parcendum tibi est ob labores, quos in disquisitione pertulisti. Respondit Petrus: Scire vos volo, inter ipsos labores eum acquiescere, qui lubenter laborat, cum, qui invitus operetur, in ipsa quiete vel maxime laboret. Itaque maximam mihi recreationem præbetis, si me de iis colloqui facitis, quæ mihi in deliciis sunt. Ita de consilio ejus satisfacti et lassitudini indulgentes rogavimus ut in noctem differret, quemadmodum mos ei erat cum familiaribus colloquendi. Ac postea cibo sumpto ad somnum conversi sumus.

HOMILIA XX.

I. Ubi noctu surrexit, nobis expergefactis consedit secundum morem et dixit: Interrogate me, de quibus lubet. Tum Sophonias primus ei dicere incœpit: Explica nobis discere cupientibus, quid reapse de malo sit sentiendum. Et Petrus: Jam, inquit, in disputatione cum Simone habita id demonstravi, licet variis in capitulis non perspicue apparuerint, quæ de eo disserui; multa quippe capitula quibus vis deesse videtur æquo veritati, etiam multitudini notitiam aliquam veri suppeditant: ita ut si nunc vobis dicam, quæ tum Simoni dixi per multa capitula, nolite credere, vos eodem modo honorari ac illum. Et Sophonias: Recte, inquit, dicis; nam si nunc nobis ex multis tunc perhibitis capitulis definis, quod verum sit clarius ostendes.

II. Tum Petrus: Jam audite, inquit, veritatem de recta mali harmonia. Deus duobus regnis definitis duo quoque æva constituit, malo præsentem mundum assignans, quia brevis temporis spatium permanet celeriterque transit, bono autem se daturum promisit mundum futurum, grandem quippe atque æternum. Ac hominem creavit libero arbitrio præditum, ut facultate polleret inclinandi ad agenda, quæ ei placerent. Et corpus ejus tripartitum est, cum originem ducat ex femineo; nam affectum est cupiditate, ira, luctu et quæ ad ea pertinent. Simili modo spiritus cum non trium generum sit, sed triplex, ortus ex masculo et capax est ratiocinandi, cognoscendi, metuendi et eorum,

A XXV. Ὁ δὲ Σίμων ταῦτα ἀκούσας ὑπὸ ὀργῆς τοὺς ὀδόντας βρύξας, σιωπῶν ἐπορεύθη. Ὁ δὲ Πέτρος ἔτι ὥρας οὐκ ὀλίγης οὔσης τὸν πολὺν ὄχλον χειροθετήσας πρὸς ἴασιν καὶ ἀπολύσας, μετὰ τῶν συνηθεστέρων εἰσιὼν οἴκοι ἐκαθέσθη. Καὶ δή τις τῶν ἀκολούθων Σοφωνίας [85] ὄνομα ἔφη· Εὐλόγηται, Πέτρε, ὁ Θεὸς, ὁ ἐκλεξάμενός σε καὶ σοφίας ἀναπαύσεως μὲν ἕνεκεν τῶν εὐγνωμόνων· ἀληθῶς γὰρ μεγάλως καὶ ἀνεξικάκως διειλέχθης [86] πρὸς Σίμωνα. Καὶ ἡμῖν δὲ περὶ πονηρῶν διαλεχθῆναί σε ἀξιοῦμεν, ἐλπίζοντες γνησιώτερόν σε ἡμῖν τὸν περὶ αὐτοῦ ἐκφάναι λόγον, καὶ ταῦτα οὐκ αὐτῆς ὥρας, ἀλλ' αὔριον, εἴ σοι φίλον ἐστίν· συγγινώσκομεν γάρ σοι διὰ τοὺς ἐκ τῆς ζητήσεως καμάτους. Καὶ ὁ Πέτρος· Εἰδέναι ὑμᾶς θέλω, ὅτι ὁ μετὰ ἡδονῆς ποιῶν τι ὑπ' αὐτῶν τῶν καμάτων ἀναπαύεται, μὴ ποιῶν δὲ ἃ βούλε- B ται ὑπ' αὐτῆς τῆς ἀναπαύσεως κάμνει τὰ μέγιστα. Ὥστε μοι τὰ μεγάλα τῆς ἀναπαύσεως χαρίζεσθε τὰ ἐμοὶ φίλα διαλέγεσθαι ποιοῦντες. Πλὴν ἐπὶ τῇ προαιρέσει αὐτοῦ ἐξαρκεσθέντες καὶ τοῖς καμάτοις συγγνόντες εἰς τὴν νύκτα [87], ὡς αὐτῷ ἔθος ἦν πρὸς τοὺς γνησι[ωτέρους] λέγεσθαι, τὴν ὑπέρθεσιν γενέσθαι ἠξιώσαμεν. Καὶ δὴ ἁλῶν μεταλαβόντες εἰς ὕπνον [ἐτρά]πημεν.

396 ὉΜΙΛΙΑ Κ'.

I. Νύκτωρ δὲ διαναστὰς καὶ διυπνίσας ἡμᾶς, καθεσθεὶς συνήθως ἔφη· Πυνθάνεσθέ μου, περὶ ὧν βούλεσθε. Καὶ ὁ Σοφωνίας αὐτῷ πρῶτος ἤρξατο· Πῶς ὄντως ὁ περὶ πονηροῦ λόγος ἔχει, ἐπιθυμοῦσιν C ἡμῖν μαθεῖν ὑφήγησαι. Καὶ ὁ Πέτρος. Ἤδη μὲν, ἔφη, καὶ διὰ τῆς πρὸς Σίμωνα διαλέξεως ἐξέφηνα, τῷ δὲ σὺν ἑτέροις κεφαλαίοις τὰ περὶ αὐτοῦ εἰρηκέναι οὐ πάνυ σαφῶς ἐφωτίσθη· πολλὰ γὰρ κεφάλαια ἰσοδυναμεῖν δοκοῦντα τῷ ἀληθεῖ αὐτοῦ τοῦ ἀληθοῦς τοῖς πλείοσι παρέχει τινὰ γνῶσιν· ὥστε, ἐὰν νῦν ὑμῖν εἴπω, ἃ τότε μετὰ πολλῶν εἰρήκειν κεφαλαίων τῷ Σίμωνι, μὴ οἰηθῆτε ἴσῃ αὐτῷ τιμῇ τετιμῆσθαι. Καὶ ὁ Σοφωνίας· Ὀρθῶς, ἔφη, λέγεις· εἰ νῦν γὰρ ἡμῖν ἐκ πολλῶν τῶν τότε εἰρημένων κεφαλαίων ἀφορίζεις, αὐτὸ τὸ ἀληθὲς ποιήσεις φανερώτερον.

II. Καὶ ὁ Πέτρος· Ἀκούσατε, ἔφη, τοιγαροῦν τῆς περὶ τοῦ πονηροῦ ἁρμονίας τὴν ἀλήθειαν. Ὁ Θεὸς δύο βασιλείας ὁρίσας καὶ δύο αἰῶνας συνεστήσατο, κρίνας τῷ πονηρῷ δεδόσθαι τὸν παρόντα κόσμον διὰ τὸ μικρόν τε αὐτὸν εἶναι καὶ παρέρχεσθαι ὀξέως, τῷ D δὲ ἀγαθῷ σώσειν ὑπέσχετο τὸν μέλλοντα αἰῶνα, ἅτε δὴ μέγαν ὄντα καὶ ἀΐδιον. Τὸν οὖν ἄνθρωπον αὐτεξούσιον ἐποίησεν, ἐπιτηδειότητα ἔχοντα νεύειν πρὸς ἃς βούλεται πράξεις. Καὶ τὸ μὲν σῶμα αὐτοῦ ἐστι τριμερὲς, ἐκ θηλείας ἔχον τὴν γένεσιν. **397** Ἔχει γὰρ ἐπιθυμίαν, ὀργὴν, λύπην καὶ τὰ τούτοις ἑπόμενα. Τὸ δὲ πνεῦμα καὶ αὐτὸ οὐ τριτογενὲς ὄν, ἀλλὰ τριμερὲς, ἐκ τοῦ ἄῤῥενος ἔχει τὴν γένεσιν, καὶ δεκτικόν ἐστι λογισμοῦ, γνώσεως, φόβου καὶ τῶν τού-

VARIÆ LECTIONES.

[85] Σοφονίας O., ut etiam infra constanter. [86] Nolui scribere διελέχθης. [87] νύκταν O.

τοις ἑπομένων. Ἑκατέρα δὲ τῶν τριάδων μίαν ἔχει τὴν ῥίζαν, ὡς εἶναι τὸν ἄνθρωπον ἐκ φυραμάτων δύο, θηλείας τε καὶ ἄῤῥενος. Διὸ δὴ καὶ δύο αὐτῷ ὁδοὶ προετέθησαν, νόμου τε καὶ ἀνομίας· δύο τε βασιλεῖαι ὡρίσθησαν, ἡ μὲν οὐρανῶν λεγομένων, ἡ δὲ τῶν ἐπὶ γῆς νῦν βασιλευόντων. Ἀλλὰ καὶ δύο βασιλεῖς ἐτάχθησαν, ὧν ὁ μὲν τοῦ παρόντος καὶ προσκαίρου κόσμου νόμῳ βαφιλεύειν χειροτονεῖται, ὃς καὶ ἐπ' ὀλέθρῳ πονηρῶν χαίρειν ἐκράθη· ὁ δὲ ἕτερος, καὶ αὐτὸς βασιλεὺς ὑπάρχων τοῦ ἐσομένου αἰῶνος, στέργει πᾶσαν ἀνθρώπων φύσιν, ἐν τοῖς παροῦσι τὴν παῤῥησίαν ἔχειν οὐ δυνάμενος, [ἀλλ'] ὥς τίς ποτ' ἐστὶ λανθάνειν πειρώμενος τὰ συμφέροντα συμβουλεύει.

III. Τῶν δὲ δύο τούτων [ὁ ἕτερος] τὸν ἕτερον ἐκβιάζεται, Θεοῦ κελεύσαντος. Ἕκαστος δὲ τῶν ἀνθρώπων ἐξουσίαν ἔχει, [ἐκείν]ῳ αὐτῶν, ᾧ βούλεται, πείθεσθαι πρὸς τὸ πράσσειν ἀγαθὰ ἢ κακά. Πλὴν ἐὰν τὰ ἀγαθά τις πράσσειν ἕληται, τοῦ ἐσομένου ἀγαθοῦ βασιλέως γίνεται κτῆμα· εἰ δὲ φαῦλα πράξειέ τις, τοῦ παρόντος [88] γίνεται πονηροῦ ὑπηρέτημα. Ὃς δι' ἁμαρτίας κρίσει δικαίᾳ τὴν κατ' αὐτοῦ λαβὼν ἐξουσίαν καὶ πρὸ τοῦ μέλλοντος αἰῶνος θελήσας αὐτῇ χρῆσθαι [89] ἐν τῷ νῦν βίῳ κολάζων ἥδεται, καὶ **398** ὡς ἰδίᾳ χαριζόμενος ἐπιθυμίᾳ τὴν τοῦ Θεοῦ βούλησιν ἐκτελεῖ. Ὁ δὲ ἕτερος ἐπὶ δικαίων ἐξουσίᾳ χαίρειν [90] δημιουργηθεὶς, δίκαιον εὑρὼν μεγάλως εὐφραίνεται, σώζων αὐτὸν ἀϊδίῳ ζωῇ, καὶ αὐτὸς δὲ ὡς ἑαυτῷ χαριζόμενος τὴν ὑπὲρ τούτων εἰς Θεὸν ἀναφέρει χάριν. Ἔξεστι δὲ παντὶ ἀδίκῳ μεταμεληθέντι σώζεσθαι, καὶ παντὶ δικαίῳ ἀνδρὶ ἐπὶ τελευταίας ἁμαρτίας δίκην ὑπέχειν. Πλὴν οἱ δύο ἡγεμόνες οὗτοι ταχεῖαι χεῖρές εἰσι Θεοῦ προλαμβάνειν ἐπιθυμοῦσαι, τὸ αὐτοῦ θέλημα ἐπιτελεῖν. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, εἴρηται καὶ τῷ νόμῳ ἐκ προσώπου τοῦ Θεοῦ· Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι. Ἀληθῶς γὰρ ἀποκτείνει [91] καὶ ζωογονεῖ. Ἀποκτείνει μὲν διὰ τῆς ἀριστερᾶς, τοῦτ' ἔστι διὰ τοῦ ἐπὶ κακώσει τῶν ἀσεβῶν χαίρειν κραθέντος πονηροῦ. Σώζει δὲ καὶ εὐεργετεῖ διὰ τῆς δεξιᾶς, τοῦτ' ἔστι διὰ τοῦ ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ δικαίων χαίρειν δημιουργηθέντος [92] ἀγαθοῦ. Εἰσὶ δὲ οὗτοι τὰς οὐσίας ἔχοντες οὐκ ἔξωθεν τοῦ Θεοῦ· οὐδὲ γὰρ ἔστιν ἑτέρα τις ἀρχή. Οὐ μὴν ἀπὸ τοῦ Θεοῦ ὡς ζῶα προεβλήθησαν, ὁμόδοξοι γὰρ αὐτῷ ἦσαν· οὔτε συμβεβηκόσιν αὐτομάτως παρὰ τὴν αὐτοῦ βουλὴν γεγονότες. Ἐπεὶ τὸ τῆς δυνάμεως αὐτοῦ μέγιστον ἀνῄρητο ἄν. Ἀλλὰ ἀπὸ τοῦ Θεοῦ μὲν προβέβληνται τὰ πρώτιστα στοιχεῖα τέσσαρα τό τε θερμὸν καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρόν. Ὅθεν δὴ καὶ πατὴρ τυγχάνει πάσης οὐσίας οὔσης γνώμης τῆς κατὰ τὴν κρᾶσιν· ἔξω γὰρ κραθεῖσιν αὐτοῖς ὡς τέκνον ἡ προαίρεσις ἐγεννήθη. Ὁ οὖν πονηρὸς πρὸς τῷ [93] **399** τοῦ ἐνεστῶτος κόσμου τέλει ὑπουργήσας ἀμέμπτως τῷ Θεῷ, ἅτε δὴ οὐ μιᾶς οὐ-

A quæ huc pertinent. Utrique autem triadum eadem radix est, ita ut homo duabus commistionibus, feminei cum masculo, compositus sit. Quapropter etiam duæ viæ, æquitatis ac iniquitatis, propositæ, duo quoque regna definita sunt, alterum cœlorum appellatum, alterum eorum, qui nunc in terra regnant. Ac similiter duo reges constituti sunt quorum alter præsenti ac temporaneo mundo regnare et pernicie malorum gaudere lege tenetur; alter autem, rex et ipse, futuri quidem ævi, universam diligit naturam humanam: qui libertatem agendi etsi in præsenti non habet, nihilominus de utilibus suadendis latenter sollicitus est.

III. Horum, duorum, Deo ordinante, alter alteri B vim infert. Quisque autem hominum facultatem habet, eorum cui vult obediendi ad bona perficienda aut mala. Ac si quis bona facere sibi eligit, proprietas redditur futuri boni regis; sin quis iniqua perpetret, præsentis mali fit adjutor. Qui quidem cum propter peccata justo judicio eum puniendi acceperit facultatem et ante ævum æternum ea uti cupiat, in hac vita castigando gaudet et quasi suo ipsius desiderio gratificans Dei voluntatem perficit. Alter vero conditus, ut justorum imperio gaudeat, bono quodam invento magnopere lætatur, cumque vitæ æternæ salvat, et ipse vere quasi sibi indulgens amorem ergo eos in Deum refert. Attamem quivis injustus converti potest atque salvari, quilibet vir justus peccata commissa pœna luere. Hi C quidem duo duces veloces Dei manus sunt ad anticipandum promptæ, ut ejus voluntatem exsequantur. Quod ita se habere, dictum est etiam in lege ex ipsius Dei persona: *Ego occidam et ego vivere faciam; percutiam et ego sanabo* (a). Nam vere occidit et vivificat. Occidit autem sinistra, id est per malum, qui lætari tenetur impiorum exitio. Vivificat autem et benefacit dextra, id est per bonum, qui ita creatus est, ut beneficentia et salute justorum gaudeat. At hi facultate pollentes non extra Deum existunt; alius enim extra eum principatus est nullus. Neque autem ex Deo ut animalia projecti sunt, cum æqua pollerent potestate ac ille: neque exstiterunt per semetipsos contra illius voluntatem geniti, cum ita summum imperium ei tolleretur. Sed ex Deo quidem projecta sunt priora D quatuor elementa, calidum et frigidum, humidum et siccum. Quare etiam pater est cujusvis materiæ, ut quæ mistura evenerit secundum ejus sententiam; commistis enim ipsis consilium extra nascebatur ut fetus. Malus igitur in fine præsentis mundi integre coram Deo vivens, cum jam non pertineat ad solam iniquitatis substantiam, instauratus potest bonus fieri. Etenim jam non amplius male agit,

(a) Deut. xxxii, 39.

VARIÆ LECTIONES.

[88] παρόνοντος O. [89] Vbb. αὐτῇ χρῆσθαι add. ex conjectura. [90] χάριν O. [91] ἀποκτέννει scr. O. Ita et subinde. [92] δημιουργηθέντα O. [93] τό O.

quamquam malus est, cum lege facultatem acceperit male agendi.

ΚΛΗΜΗΣ ΙΑΚΩΒῼ (2) τῷ κυρίῳ, καὶ ἐπισκόπῳ, καὶ ἐπισκόπων ἐπισκόπῳ, τῷ τὴν Ἰερουσαλὴμ [39] ἁγίαν τῶν Χριστιανῶν Ἐκκλησίαν διέποντι, καὶ τὰς πανταχῇ Θεοῦ προνοίᾳ ἱδρυθείσας [40] καλῶς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἐκκλησίας, σύν τε πρεσβυτέροις καὶ διακόνοις καὶ τοῖς λοιποῖς ἅπασιν ἀδελφοῖς, εἰρήνη εἴη πάντοτε.

I. Γνώριμον ἔστω σοι, κύριέ μου, ὅτι ἐγὼ Κλήμης Ῥωμαίων πολίτης ὤν, καὶ τὴν πρώτην ἡλικίαν δυνηθεὶς ζῆσαι σωφρόνως, λογισμόν τε δεξάμενος, οὐχ

CLEMENS JACOBO domino et episcopo, et episcoporum episcopo, regenti Hierosolymam sanctam Christianorum Ecclesiam, atque Christi Dei nostri Ecclesias, quæ ubique Dei providentia præclare fundatæ sunt; una cum presbyteris, et diaconis, et cæteris omnibus fratribus, pax sit semper.

I. [41-100] Notum tibi sit, domine mi, quod ego Clemens, qui civis Romanus sum, et primam vitæ ætatem pudice ac moderate transigere valui, cum

VARIÆ LECTIONES.

[37] al. καὶ περιόδων τοῦ. Al. ἐπιδημιῶν κηρυγμάτων. [38] al. αἷς. [39] al. διέποντι δὲ τὴν ἐν Ἱερ. [40] al. ἱδρυνθείσας. [41-100] *Clementina*, hom. I, c. 1, etc. *Recogn*. I. I, c. 1, etc.

VARIORUM NOTÆ.

(1) Κλήμεντος ἐπισκόπου Ῥώμης. Titulus hoc pacto conceptus exstat in duobus scriptis libris: Κλήμεντος ἐπισκόπου Ῥώμης Ἰακώβῳ ἐπισκόπῳ Ἱεροσολύμων, περὶ τῶν πράξεων καὶ περιόδων τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, αἷς καὶ ὁ αὐτοῦ βίος συμπεριείληπται. Additur in tertio: Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων Ἐπιτομή. Quod habet inscriptio *Clementinorum*, quodque solum pro titulo exhibet unum exemplar. Alio modo quatuor codices: Βίος τοῦ ἁγίου ἱερομάρτυρος (vel μάρτυρος) Κλήμεντος ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου. Cot.

(2) Κλήμης Ἰακώβῳ. Superscriptionem cum sex primis vocabulis quæ eam sequuntur sumpsit compactor ex Epistola ad Jacobum. Id.

animo percepissem cogitationem, quæ nescio unde in me irrepserat, crebrasque mihi de morte commentationes pariebat, cum laboribus et anxietatibus vivebam. Reputabam enim num, cum mortus fuero, non ero, nullusque erit unquam qui mei mentionem faciat, tempore nimirum cuncta oblivioni tradente? Cum autem non fuero, an quodammodo futurus sum, eos qui non sunt cognoscens; nec cognoscens, nec cognitus; quique non fuerim, non sim? et aliquandone factus sit mundus; et ante quam fieret, quidnam erat? Nam si semper fuit, semper etiam erit: sin vero ortum habet, omnino etiam dissolvetur; et post dissolutionem quidnam erit iterum? quod nunc impossibile mihi est mente concipere.

A οἶδα πόθεν ἐπεισελθόντα μοι, καὶ περὶ θανάτου πυκνὰς ποιούμενον ὑπομνήσεις, πόνοις τὸ λοιπὸν καὶ ἀθυμίαις συνέζων. Ἆρα γὰρ, ἐλογιζόμην, ὅτι θανὼν οὐκ εἰμί, καὶ οὐδεὶς ἔσται μου ποτὲ μνήμην ποιούμενος, τοῦ χρόνου πάντα τῇ λήθῃ παραδιδόντος; ἄρα δὲ μὴ ὢν, πῶς ἔσομαι [1-6] τοὺς οὐκ ὄντας εἰδὼς, οὐ γινώσκων, οὐ γινωσκόμενος, οὐ γεγονὼς, οὐ γινόμενος; Καὶ ἄρά ποτε [7] γέγονεν ὁ κόσμος, καὶ πρὸ τοῦ γενέσθαι τί ἄρα καὶ ἦν; Εἰ γὰρ ἦν ἀεὶ, καὶ ἔσται· εἰ δὲ γέγονε, καὶ λυθήσεται πάντως· καὶ μετὰ λύσιν ἄρα τί ἔσται πάλιν; ὃ νῦν ἀδύνατόν μοι νοῆσαι.

II. Hæc atque his similia, nescio unde, indesinenter animo volutans, perpetuo semper mœrore afficiebar, in tantum ut pallerem ac tabescerem: et quod gravissimum erat, si quando harum rerum sollicitudinem abjicere tanquam vanam cogitarem, vehementius multo me premebat affectus: et eam rem moleste ferebam, nesciens quod contubernalem haberem præclaram cogitationem, quæ immortalitatis mibi causa exstitit, ut postea ex rerum exitu agnovi, et Deo cunctorum effectori gratias egi. Cum enim ab initio me illa cogitatio vexaret, ad rerum inquisitionem venire coactus sum: et quos principio per ignorantiam beatos prædicabam, postea veluti miseros non cessavi lugere.

B II. Ταῦτά τε καὶ τὰ τούτοις ὅμοια, οὐκ οἶδα πόθεν, ἀπαύστως διενθυμούμενος, ἄπαυστον εἶχον ἀεὶ τὴν λύπην, καὶ τοσοῦτον, ὡς ὠχριακότα με τήκεσθαι· καὶ τὸ δεινότατον, εἴποτε καὶ ἀπώσασθαι τὴν περὶ τούτων φροντίδα, ὡς ματαίαν, ἐλογισάμην, ἀκμαιότερόν μοι μᾶλλον τὸ πάθος ἐγίνετο· καὶ ἠχθόμην ἐπὶ τούτῳ, οὐκ εἰδὼς σύνοικον καλὴν ἔχων ἔννοιαν, ἀθανασίας αἰτίαν μοι γενομένην, ὡς ὕστερον ἔγνων ἀπὸ τοῦ τέλους, καὶ Θεῷ τῷ πάντων ηὐχαρίστησα ποιητῇ. Ὑπὸ γὰρ τῆς καταρχάς με πιεζούσης ἐννοίας, ἠναγκάσθην εἰς τὴν τῶν πραγμάτων ἐλθεῖν ζήτησιν· καὶ οὓς τὴν ἀρχὴν δι' ἄγνοιαν μακαρίζειν ἐκινδύνευον, ὕστερον ταλανίζειν οὐκ ἐπαυσάμην.

III. Igitur cum a puero in hujusmodi versarer considerationibus, ad philosophorum adventabam scholas, ut inde aliquid certi discerem: sed et sic, nihil aliud ab eis studiose coli videbam, quam dogmatum destructiones et adstructiones, contentionesque, et syllogismorum artificia, itemque sumptionum excogitationes: et aliquando quidem prævalebat, verbi gratia, quod anima immortalis sit; aliquando vero, quod mortalis. Et quidem quando ea opinio, quæ animum facit immortalem, superior erat, gaudebam: quando autem ea, quæ mortalem censet, mœrore afficiebar: rursumque magis animum despondebam, quod nec utriusque partis quispiam mentem meam poterat confirmare: tantum intelligebam sententias controversiarum, pro viribus propugnatorum, vel falsas, vel veras judicari, non vero prout ipsæ se habent in seipsis revera, comprehendi: propter quod plus adhuc in negotio æstuabam dubitatione, ac ex animæ profundo gemebam: neque enim de hujusmodi curam rejicere poteram, licet valde cuperem, ut jam supra indicavi; neque firmum quid valebam retinere.

III. Ἐκ παιδὸς οὖν ἐν τοιούτοις ὢν λογισμοῖς, εἰς C τὰς τῶν φιλοσόφων ἐφοίτων διατριβὰς, ὥστε τι βέβαιον ἐκεῖθεν μαθεῖν. Ἀλλὰ καὶ οὕτως οὐδὲν ἕτερον παρ' αὐτοῖς τὸ σπουδαζόμενον [8] ἑώρων, ἢ δογμάτων ἀνασκευὰς καὶ κατασκευὰς, ἔριδάς [9] τε καὶ συλλογισμῶν τέχνας, καὶ δὴ καὶ λημμάτων ἐπινοίας· καί ποτε μὲν ἐπεκράτει, φέρε λέγειν, ὅτι ἀθάνατος ἡ ψυχή· ποτὲ δὲ, ὅτι θνητή. Καὶ ὅτι μὲν λόγος ἐπικρατῶν ἦν, ὅτι ἀθάνατος ἡ ψυχὴ, ἔχαιρον· ὅτε δὲ ὅτι θνητὴ, ἠνιώμην· π..έον δὲ πάλιν ἠθύμουν, ὅτι οὐδ' ὁποτέρων [10] τις τὸν ἐμὸν βεβαιῶσαι νοῦν ἠδύνατο. Πλὴν ἐνενόουν ὅτι αἱ δόξαι τῶν ὑποθέσεων, παρὰ τοὺς ἐκδικοῦντας, ἢ ψευδεῖς, ἢ ἀληθεῖς ἀποφαίνονται, καὶ οὐχ ὡς ἔχουσιν αὐταὶ ἐφ' ἑαυτῶν ἀληθείας καταλαμβάνονται· παρ' ᾧ [11] καὶ ἔτι μᾶλλον ἐν τοῖς πράγμασιν ἰλιγγιῶν, καὶ ἀπὸ τοῦ τῆς ψυχῆς βάθους ἐστέναζον· οὔτε D γὰρ οἷός τε ἦν ἀποβαλέσθαι τὴν περὶ τούτων φροντίδα, καίτοιγε σφόδρα βουλόμενος, ὡς ἤδη φθάσας ἐγνώρισα, οὔτε βέβαιόν τι καταλαβεῖν ἠδυνάμην.

IV. Iterum ergo angustiis hæsitationis pressus, dicebam apud me: Quid inaniter laboro, cum manifesta sit res? Quod, si quidem post mortem non ero; nunc, quando sum, contristari non oportet: quocirca tristitiam ad illud tempus reservabo, quo, cum futurus non sim, non contristabor: si autem forte ero, cur mihi nunc superflue inest tristitia?

IV. Πάλιν γοῦν ἀπορούμενος ἔλεγον ἐμαυτῷ· Τί ματαιοπονῶ, σαφοῦς ὄντος τοῦ πράγματος; Ὅτι εἰ μὲν θανὼν οὐκ εἰμὶ, νῦν ὄντα με λυπεῖσθαι οὐ προσήκει. Διὸ τηρήσω τὸ λυπεῖσθαι τηνικαῦτα, ὅτε οὐκ ὢν οὐ λυπηθήσομαι· εἰ δὲ ἄρα εἰμὶ, τί νῦν μοι ἐκ περισσοῦ πρόσεστι τὸ λυπεῖσθαι; Καὶ εὐθέως μετὰ τοῦτο ἕτερος ἐπεισῄει μοι λογισμός. Ἔλεγον γὰρ, μή τί γε

VARIÆ LECTIONES

[1, 6] Deest in uno ms. [7] al. ἄρα ποτε. [8] al. τῶν σπουδαζομένων. [9] al. ἔρεις. [10] al. ὁποτέρεις. [11] al. παρ' ὅ

ἄρα τοῦ νῦν με λυποῦντος χείρονα ἐκεῖ πείσομαι, μὴ βεβιωκὼς εὐσεβῶς, καὶ παραδοθήσομαι κατ' ἐνίων φιλοσόφων λόγους, Πυριφλεγέθοντι καὶ Ταρτάρῳ, ὡς Σίσυφος, ἢ Τιτυὸς, ἢ Ἰξίων, ἢ Τάνταλος, καὶ ἔσομαι ἐν ᾄδου τὸν αἰῶνα κολαζόμενος; Πάλιν δὲ ἀνθυπέφερον λέγων, ὡς ἀδήλου ὄντος τοῦ πράγματος, ἀκινδυνότερόν ἐστι μᾶλλον εὐσεβῶς βιῶναί με, καὶ τῶν τοῦ σώματος κρατεῖν ἡδονῶν, εἰ καὶ μὴ ἀκριβῶς, ὅτι ποτέ ἐστι δίκαιον καὶ ἀρέσκον Θεῷ, πεπληροφόρημαι, οὔτε εἰ ἡ ψυχὴ ἀθάνατος, ἢ θνητή.

V. Τούτων οὖν τῶν λογισμῶν στρεφόντων μου τὴν ψυχὴν, εἰς Αἴγυπτον πορεύσομαι, εἶπον, καὶ τοῖς τῶν ἀδύτων ἱεροφάνταις καὶ προφήταις φιλιωθήσομαι, καὶ μάγον ζητήσας καὶ εὑρὼν, χρήμασι πείσω πολλοῖς, ψυχῆς ἀναπομπὴν τὴν λεγομένην νεκρομαντίαν [12] ἐργάσασθαι, ἐμοῦ δῆθεν ὡς περὶ πράγματός τινος πυνθάνεσθαι βουλομένου· ἡ δὲ πεῦσις ἔσται, περὶ τοῦ μαθεῖν ἄρα εἰ ἀθάνατος ἡ ψυχή. Τοῦτο δὲ πάντως οὐκ ἐκ τοῦ ἀποκρίνασθαι ὅτι [13] ἀθάνατός ἐστιν, ἔστι [14] μοι γνῶναι, ἀλλ' ἀπὸ τοῦ ὀφθῆναι μόνον ὅτι ἐστίν. Ἰδὼν γὰρ αὐτὴν αὐτοῖς ὄμμασιν, ἱκανὴν ἕξω πληροφορίαν, καὶ οὐκέτι πιστότερα ὀφθαλμῶν ὦτα ποιήσομαι. Ὅμως φιλοσόφῳ τινὶ τῶν συνήθων, καὶ ταύτην ἐκοινούμην τὴν γνώμην, ὁ δὲ συνεβούλευέ μοι μὴ λυσιτελὲς εἶναι τοῦτο τολμῆσαι δυοῖν ἕνεκα. Εἴ τε γὰρ, ἔφη, πάντως οὐχ ὑπακούσεται ἡ ψυχὴ τῷ μάγῳ, καὶ σὺ τοῖς ταῦτα ποιεῖν ἀπαγορεύουσι νόμοις ὡς ἀντιπράξας, δυσσυνειδήτως βιώσεις· εἰ δὲ καὶ εἰσακούσεται, μετὰ τοῦ δυσσυνειδήτως σε βιοῦν, οἶμαι καὶ τὰ τῆς εὐσεβείας μηκέτι σοι προχωρεῖν, οὗ ἕνεκεν τὰ τοιαῦτα ἐτόλμας. Ἐχθραίνειν γὰρ τὸ θεῖον λέγουσιν ἐπὶ τοῖς σκύλλουσι τὰς ψυχὰς μετὰ τὴν ἀπὸ τοῦ σώματος ἐκείνων διάλυσιν. Ἐγὼ δὲ ταῦτα ἀκούσας, ὀκνηρότερος μὲν ἐπὶ τὸ ἐγχείρημα ἐγενόμην· ἀλλὰ τῆς προτέρας ἐννοίας ἐκείνης παντάπασιν ἀποστῆναι οὐκ ἠδυνάμην.

VI. Καὶ ἵνα μή σοι τὰ τοιαῦτα μακρὸν ἀποτείνω λόγον, ἐν τοσούτοις λογισμοῖς καὶ πράγμασιν ὄντος μου, φήμη τις ἠρέμα, Τιβερίου Καίσαρος τὰ Ῥωμαϊκὰ διέποντος σκῆπτρα, ἔαρος ἤδη ἀρχομένου, ηὔξανεν ὁπόσαι ἡμέραι, καὶ ὡς ἀληθῶς ἀγαθὴ Θεοῦ ἄγγελος διῄει τὸν κόσμον, τὸ τοῦ Θεοῦ σιγῇ βούλημα στέγειν οὐ δυναμένη· μᾶλλον δὲ καὶ πλείων ἑκάστης ἡμέρας καὶ μείζων ἐγίνετο, λέγουσα ὥς τίς ποτε ἐν Ἰουδαίᾳ ἐξ ἐαρινῆς τροπῆς λαβὼν τὴν ἀρχὴν, Ἰουδαίαν [15] τὴν τοῦ ἀϊδίου Θεοῦ εὐαγγελίζεται βασιλείαν, ἧς ἀπολαύειν μέλλει [16], ἐάν τις αὐτῷ ἀρίστην διὰ πάντων ἐπιδείξηται πολιτείαν· τοῦ δὲ πιστεύεσθαι αὐτὸν χάριν, ὅτι θεότητος γέμων ταῦτα διδάσκει, πολλὰ θαυμάσια, τέρατά τε καὶ σημεῖα ἐργάζεται, ῥήματι μόνῳ κωφοὺς ἀκούειν ποιῶν, τυφλοὺς ἀναβλέπειν, χωλοὺς περιπατεῖν, καὶ πᾶσαν νόσον ἀπε-

A Statimque postea alia me subiit cogitatio. Dicebam quippe: ne forte ibi pejora eo quod nunc me cruciat patiar, si non vixero pie; ac secundum quorumdam philosophorum sententias tradar Pyriphlegethonti et tartaro, quemadmodum Sisyphus, vel Tityus, vel Ixion, vel Tantalus, atque in inferno æternum puniar? Rursus autem excipiebam, dicens: in re quæ incerta est, tutius multo est me pie vivere, et voluptates corporis vincere, quamvis absolute et certo pleneque non sciam quidnam justum sit ac Deo gratum, nec utrum immortalis sit anima, an mortalis.

V. His itaque cogitationibus animum meum versantibus: In Ægyptum proficiscar, dixi, et adytorum hierophantis, ac prophetis amicus efficiar, B magoque quæsito ac invento, multa pecunia ei persuadebo, ut animæ evocationem, quam necromantiam vocant, faciat, tanquam videlicet de negotio aliquo percontari velim: porro erit percontatio, ut discam utrum anima sit immortalis. Id autem prorsus cognoscam, non ex eo quod respondebit se esse immortalem, sed ex eo duntaxat quod illam existere videbo: nam oculis meis cernens eam, satis magnam habebo certitudinem, nec jam plus fidam auribus, quam oculis. Verumtamen cum philosopho quodam ex familiaribus meis hoc quoque consilium communicavi: is vero monuit me, non expedire ut id auderem, duas ob causas. Si enim, inquit, plane mago non obedierit anima, tu quoque, ut pote qui legibus hæc agere vetantibus adversatus fueris, male tibi conscius vives; sin autem paC ruerit, præterquam quod vives male tibi conscius, etiam quæ ad pium cultum pertinent (cujus rei gratia talia aggressus fueris), non jam tibi bene cessura existimo. Divinitatem enim aiunt infestam esse iis, qui animas, postquam a corporibus suis dissolutæ sunt, vexant. Ego vero his auditis, segnior quidem ad propositum factus sum, sed illa superiore cogitatione omnino non poteram absistere.

VI. Ac ne de his tibi longum sermonem faciam, cum in talibus considerationibus ac negotiis versarer, Tiberio Cæsare Romana sceptra tractante, post initium veris, fama quædam sensim diebus singulis percrebuit, et revera bonus Dei nuntius mundum pervasit, Dei voluntatem silentio tegere non valens: sed et per singulos dies amplior et D major fiebat, sic referens: Quidam in Judæa, initio sumpto a verno tempore, æterni Dei regnum inibi prædicat, quod percepturus sit, qui optimam per omnia vitam ipsi exhibebit: ut autem credatur, eum divinitatis plenum docere ista, [17] multa mirabilia, prodigia et signa edit, solo verbo faciens audire surdos, cæcos videre, claudos ambulare; et omnem morbum depellit, omnemque dæmonem fugat: quinetiam leprosi eminus tantum intuentes

VARIÆ LECTIONES.

[12] al. νεκυομαντίαν. [13] al. αὐτὴν ὅτι [14] al. ἔσται [15] al. Ἰουδαίοις [16] al. λέγει. [17] l. *Recogn.* l. v, c. 10.

eum, sanati abeunt, mortui oblati suscitantur, nihilque est quod facere nequeat. Atque quo plus temporis præteribat. eo major ac firmior per complures illinc advenientes existebat, non amplius, inquam, fama, sed ipsa rei veritas. Jam vero et cœtus per loca fiebant, ut consultaretur ac dispiceretur, quisnam esset is, qui apparuisset, et quid vellet dicere.

VII. Cum autem annus ad autumnum jam vergeret, homo quidam stans in loco publico: Viri, inquit, Romani, audite: Dei Filius in Judæa adest, cunctis volentibus promittens vitam æternam si fecerint quæ jubet is qui misit illum. Quapropter convertimini a deterioribus ad meliora, a temporariis ad æterna; et agnoscite Deum, qui in tribus Personis unus est, cujus mundum injuste incolitis ante justos ejus oculos. Verum si convertamini, et secundum voluntatem illius vivatis, in aliud sæculum sublati, æternique effecti, ineffabilibus ejus bonis perfruemini: sin vero morem non gesseritis, postquam ex hac vita migrabitis, in locum ignis conjiciemini, ubi æternum puniti. frustra ducemini pœnitentia: nam pœnitentiæ tempus in præsenti uniuscujusque vita consistit. Hæc igitur ille dixit. Ego vero cum audissem, ægre ferebam quod nemo ex tanta multitudine, audita tam magna nuntiatione, dixisset: In Judæam proficiscar, ut videam an iste vera loquatur, dum ait, Dei Filium advenisse in Judæam, propter sempiternam ac bonam spem, qui Patris a quo missus est voluntatem annuntiet; quandoquidem et id quod aiunt eum prædicare, non est exiguum: quorumdam enim animas affirmat, ut pote immortales, immortalibus etiam ac æternis bonis fruituras: quorumdam vero, in ignem inexstinctum projectas, æternum puniendas.

VIII. Cum ita erga cæteros affectus essem, hæc quoque ad meipsum dicebam; Quare vero alios incuso, qui in eodem cum illis crimine negligentiæ versor? nec, dispositis prius rebus meis, in Judæam vado, testis eorum omnium futurus ipse? Itaque dum hoc consilium agitarem, multum interim temporis terebatur, negotiis hujus sæculi me ad se pertrahentibus, nec valente me ab iis expediri. Sed tandem, cum vitam considerassem, quam instabilis sit ac inæqualis, cumque dein omne præteritum tempus in memoriam revocassem, quod modo subblandiente mihi semper spe, hucusque permansissem, quodque sic omnes homines occupati moriamur; cuncta mea prout erant relinquens, confestim

λαύνει, καὶ πάντα δαίμονα φυγαδεύει· ἀλλὰ καὶ λεπροὶ ἐκ διαστήματος μόνον ἐνορῶντες αὐτῷ, ἰώμενοι ἀπαλλάσσονται, νεκροὶ προσφερόμενοι ἐξεγείρονται, καὶ οὐδέν ἐστιν ὃ μὴ δυνατὸς εἴη ποιεῖν. Καὶ ὅσῳ γε μᾶλλον ὁ χρόνος προέκοπτε, πολὺ μείζων [18] διὰ πλειόνων τῶν ἐπιδημούντων καὶ βεβαιοτέρα καθίστατο, οὐκ ἔτι φήμη λέγω, ἀλλ' αὐτὴ τοῦ πράγματος ἡ ἀλήθεια. Ἤδη γάρ ποτε καὶ συστήματα κατὰ τόπους ἐγίνετο, βουλῆς καὶ σκέψεως ἕνεκα, τὸ τίς ἂν ὁ φανεὶς εἴη, καὶ τί βούλεται λέγειν.

VII. Ἄρτι δὲ τοῦ ἔτους πρὸς τὸ φθινοπωρινὸν ἀποκλίνοντος, ἀνήρ τις δημοσίᾳ στὰς, Ἄνδρες, ἔφη, Ῥωμαῖοι, ἀκούσατε· ὁ τοῦ Θεοῦ Υἱὸς ἐν Ἰουδαίᾳ [19] πάρεστιν, ἐπαγγελλόμενος πᾶσι τοῖς βουλομένοις ζωὴν αἰώνιον, ἐὰν τὰ κατὰ γνώμην τοῦ πέμψαντος αὐτὸν [20] πράξωσι. Διὸ μεταβάλλεσθε ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα, ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια, καὶ γνῶτε τὸν ἐν τρισὶν Ὑποστάσεσιν ἕνα Θεὸν [21], οὗ τὸν κόσμον ἀδίκως οἰκεῖτε ἔμπροσθεν τῶν αὐτοῦ δικαίων ὀφθαλμῶν. Ἀλλ' ἐὰν μεταβάλλησθε [22], καὶ κατὰ τὴν αὐτοῦ βιώσητε βούλησιν, εἰς ἕτερον ἐνεχθέντες [23] αἰῶνα, καὶ ἀΐδιοι γινόμενοι, τῶν ἀποῤῥήτων αὐτοῦ ἀγαθῶν ἀπολαύσετε· ἐὰν δὲ ἀπειθήσητε, μετὰ τὴν ἐνθένδε ἀποβίωσιν, εἰς τὸν τόπον τοῦ πυρὸς ἐμβληθήσεσθε, ὅπου ἀϊδίως κολαζόμενοι, ἀνόνητα μεταμεληθήσεσθε. Ὁ γὰρ τῆς μετανοίας καιρὸς, ἡ νῦν ἑκάστου ζωὴ τυγχάνει. Ταῦτα μὲν οὖν ἐκεῖνος ἔλεγεν. Ἐγὼ δὲ ἀκούων ἠχθόμην, ὅτι μηδεὶς ἐκ τοσούτου πλήθους τηλικαύτην ἀγγελίαν ἀκούσας, Εἰς Ἰουδαίαν, εἶπε, πορεύσομαι, ἵνα ἴδω, εἰ οὗτος ἀληθεύει λέγων, ὡς ἄρα Υἱὸς τοῦ Θεοῦ ἐπιδεδήμηκε τῇ Ἰουδαίᾳ αἰωνίας τε καὶ ἀγαθῆς χάριν ἐλπίδος, τὴν τοῦ πέμψαντος Πατρὸς βούλησιν καταγγέλλων· ἐπεὶ καὶ ὅπερ λέγουσιν αὐτὸν κηρύσσειν, οὐκ ἔστι μικρόν· ὧν μὲν γὰρ τὰς ψυχὰς διαβεβαιοῦται, αἰωνίους οὔσας, αἰωνίων ἀπολαύσεσθαι καὶ τῶν ἀγαθῶν· ὧν δὲ ἐν πυρὶ ἀσβέστῳ ῥιφείσας, εἰς αἰῶνα [24] κολασθήσεσθαι [25].

VIII. Οὕτω περὶ τῶν λοιπῶν ἔχων, τοιαῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον· Τί δή ποτε μέμφομαι τοὺς ἄλλους, ἐν ἴσῳ τῆς ἀμελείας ὢν ἐκείνοις ἐγκλήματι, καὶ οὐ πρότερον τὸν ἐμὸν διαθεὶς βίον, εἰς Ἰουδαίαν ἀφικνοῦμαι, μάρτυς τῶν τοιούτων αὐτὸς γενησόμενος; οὕτως οὖν βουλευσαμένῳ, πολὺς ὁ μεταξὺ διετρίβετο χρόνος, τῶν βιωτικῶν με πραγμάτων πρὸς ἑαυτὰ περισπώντων, καὶ δυσεκλύτων μοι γινομένων. Τέλος γοῦν συννοήσας τὸν βίον ὅπως ἄστατός ἐστι καὶ ἀνώμαλος, εἶτα καὶ τὸν προτοῦ χρόνον ἅπαντα διαμνημονεύσας, ὅπως ὑποσαινούσης με ἀεὶ τῆς ἐλπίδος εἰς δεῦρο παρέμεινα, καὶ ὅτι οὕτως ἀσχολούμενοι πάντες ἄνθρωποι θνήσκομεν, τὰ πάντα μου ὡς ἔτυχεν ἀφεὶς, εἰς Πόντον (3) εὐθὺς ὥρμησα, καὶ εἰς τὸν λιμένα

VARIÆ LECTIONES

[18] al. μεῖζον. [19] al. inser. νῦν. [20] al. inser. πατρός. [21] Τὸν ἐν τρισὶν Ὑποστάσεσιν ἕνα Θεόν. Pia interpolatio, sed parum necessaria. Similiter alibi. Cor. [22] al. μεταβάλησθε. [23] al. ἀναχθέντες. [24] al. αἰῶνας. [25] al. κολάζεσθαι.

VARIUM NOTÆ.

(3) Forte Πόρτον, *Portum*; nempe, Romanum. Vide *Martyrium Ignatii* n. VI, et infra, n. LXXVIII CLER.

ἐλθών τε καὶ ἀναχθεὶς, ἀνέμων ἀντιπνοίαις, ἀντὶ τοῦ εἰς Ἰουδαίαν κατᾶραι, προσώκειλα τῇ Ἀλεξανδρείᾳ. Ἐκεῖ δὲ συνεφοίτων τοῖς φιλοσόφο,ς, πνευμάτων ἐπηρείας ἤδη μοι τὸν πλοῦν ἐπεχούσης, καὶ τὰ περὶ τῆς φήμης, ἣν ὁ φανεὶς ἐν Ῥώμῃ διήγγειλε,καὶ τίνα γε ἃ καταγγέλλοι, σαφῶς ἕκαστα καταλέγειν ἠξίουν. Οἱ δέ, Φανέντα μὲν, εἶπον, ἐν Ῥώμῃ τοιόνδε τινὰ ὅλως οὐκ ἴσμεν· περὶ δὲ τοῦ ἐν Ἰουδαίᾳ γενομένου, καὶ Υἱοῦ Θεοῦ ὑπὸ τῆς φήμης κηρυττομένου, παρὰ πολλῶν τῶν ἐκεῖθεν ἐληλυθότων, ἠκούσαμεν, καὶ περὶ πάντων ὧν ἐποίει καὶ ψιλῷ τῷ ῥήματι θαυμασίων ἐμάθομεν.

IX. Ἐμοῦ δὲ εἰπόντος·ἐβουλόμην τινὶ τῶν [26] ἑωρακότων αὐτὸν συγγενέσθαι, καὶ ὅσα ποθῶ μαθεῖν ἀκοῦσαι περὶ αὐτοῦ, ὑπολαβόντες ἐκεῖνοι, Ἔστι τις ἐνταῦθα, φασὶν, οὐ μόνον ἱστορήσας αὐτὸν, ἀλλὰ καὶ τῆς ἐκεῖθεν γῆς ὑπάρχων, ἀνὴρ τίμιος ὀνόματι Βαρνάβας, ὃς ἕνα καὶ τῶν αὐτοῦ μαθητῶν ἑαυτὸν εἶναι λέγει, καὶ ἐνταῦθά που καθεζόμενος, τὰ παρ' ἐκείνου ὑπεσχημένα τοῖς τῶν τοιούτων ἀξίοις, ἑτοίμως τῷ βουλομένῳ διέξεισι. Καὶ δῆτα τὸν τόπον καταλαβὼν εἰς ὃν ὁ ἀνὴρ εἰώθει καθέζεσθαι, καὶ μέρος καὶ αὐτὸς τοῦ περιεστηκότος πλήθους γενόμενος, ἔστην ἐπακούων τῶν λεγομένων, καὶ συνενόουν τἀληθῆ οὐ διαλεκτικῇ τινὶ τέχνῃ διδάσκοντα τοῦτον, ἀλλ' ἀπαρασκευάστως οὕτω καὶ ἁπλῶς ἐκτιθέμενον, ἅ τε ἤκουσε καὶ ἑώρακε τὸν τοῦ Θεοῦ φανέντα Υἱὸν πεποιηκέναι τε καὶ εἰρηκέναι. Πολλοὺς δὲ μάρτυρας τῶν ὑπ' αὐτοῦ λεγομένων θαυμασίων τε καὶ λόγων, ἐξ αὐτοῦ τοῦ παρεστῶτος ὄχλου παρείχετο.

X. Ἐπεὶ δὲ πρὸς τὰ παρ' αὐτοῦ ἀπανούργως λεγόμενα ἡδέως οἱ ὄχλοι διέκειντο, οἱ ἐκ παιδείας κοσμικῆς ὁρμώμενοι φιλόσοφοι, χλευάζειν αὐτὸν καὶ γελᾷν ἐπειρῶντο, σκώπτοντες ἀμέτρῳ θράσει, καὶ διασύροντες, καὶ οἷα μεγάλοις ὅπλοις τοῖς συλλογισμοῖς κατ' αὐτοῦ χρώμενοι. Ὁ δὲ ἀπωθούμενος αὐτῶν τὸν λῆρον, οὐ συνέτρεχεν αὐτῶν τῇ πανούργῳ πεύσει, ἀλλὰ καὶ ἀκατάπληκτος ὢν λέγειν οὐκ ἀφίστατο. Καί ποτέ τις διαπαίζων δῆθεν αὐτὸν ἐπυνθάνετο. Διὰ τί, ὦ νέε διδάσκαλε, κώνωψ ἐγένετο, καὶ βραχύτατος ὢν, ἓξ πόδας ἔχων καὶ πτερὰ φέρει· ἐλέφας δὲ τὸ μέγιστον ζῶον ἄπτερος ὢν, τέσσαρας μόνους ἔχει πόδας; Ὁ δὲ τὴν διδασκαλίαν πρὸς τὴν ἐρώτησιν μικρὸν ἐπισχὼν, οὐδεμιᾶς μέντοι τῷ ἐρωτήσαντι πρὸς ταῦτα μεταδοὺς ἀποκρίσεως, τὸν ἀπ' ἀρχῆς αὐτῷ προκείμενον αὖθις ἀνελάμβανε λόγον· τούτῳ μόνῳ προοιμίῳ καθ' ἑκάστην ἐγκοπὴν χρώμενος· Ἡμεῖς τοῦ πέμψαντος ἡμᾶς τοὺς λόγους καὶ τὰς θαυμασίους πράξεις εἰπεῖν ὑμῖν μόνον ἔχομεν ἐντολὴν, καὶ ἀντὶ τῆς λογικῆς ἀποδείξεως μάρτυρας παρέχομεν ὑμῖν τῶν ἐνταῦθα παρεστώτων πολλούς· λοιπὸν τῆς ὑμετέρας ἐστὶν ἐξουσίας, ὑπείκειν ἢ ἀπειθεῖν. Τοῦ δὲ λέγειν ὑμῖν τὸ συμφέρον, οὐ παύσομαι, ὅτι ἐμοὶ μὲν ζημία τὸ σιωπᾷν, ὑμῖν δὲ τὸ ἀπειθεῖν βλάβη. Ἐδυνάμην μὲν οὖν καὶ εἰκαίων ὑμῶν προβλημάτων ἀποδοῦναι τὰς ἀποδείξεις, εἴγε φιλαλήθως ἑώρων ὑμᾶς περὶ τούτων πυνθανομένους· κώνωπος δὲ καὶ ἐλέφαντος τὴν αἰτίαν τῆς διαφόρου δημιουργίας, νῦν

ad mare properavi; et in Pontum veniens, atque subvectus, ventis adversantibus, pro Judæa ad quam deferri cupiebam, Alexandriam appuli. Ibi autem ad philosophos ventitabam (ventorum quippe vis adhuc navigationem inhibebat),petebamque ut singula clare enarrarent de eo rumore, quem is qui Romæ conspectus fuerat annuntiasset, ac quænam ille divulgasset. At illi responderunt: Talis quispiam an Romæ visus fuerit, plane nescimus; de eo autem qui in Judæa, degit, et Filius Dei esse a fama prædicatur,audivimus a multis qui illinc venerunt,et intelleximus de mirabilibus omnibus quæ solo etiam verbo edidit.

IX. Et cum dicerem cupere me in colloquium venire cum aliquo eorum qui illum vidissent, atque de eo audire quæcunque scire cuperem; excipientes illi dixerunt: Est hic quidam, qui non solum vidit eum,sed et ex ea regione oriundus est, eximius, nomine Barnabas, qui se etiam ait unum esse ex discipulis illius; et hic alicubi sedens, quæ ab illo promissa sunt, talium dignis, ei qui velit narrat ultro. Et quidem ad locum in quo vir sedere solitus erat veni, atque ipse quoque pars fui circumstantis multitudinis, stetique audiens quæ dicebat: ac intellexi vera eum non dialectica ulla arte docere, sed adeo sine præmeditatione ac simpliciter exponere quæ audierat et viderat Dei Filium, qui apparuit, fecisse ac dixisse. Multos autem testes verborum ac mirabilium quæ ab ipso proferebantur, ex ipsa assistente plebe producebat.

X. Verum quia ad ea quæ ab ipso candide dicebantur, libenter populus acquiescebat; philosophi, utpote qui ex hujusce mundi disciplina prodierant, ludificari eum ac ridere ordiebantur, immodica audacia cavillantes atque probris incessentes, et adversus eum utentes syllogismis tanquam armis potentibus. At ille ineptias eorum repellens, versute ipsorum interrogationi non occurrebat, verum imperterritus non desinebat loqui. Et aliquando quidam jocabundus rogabat eum: Quare, o nove doctor, ita factus est culex, ut minimus existens, et sex pedes nabens, insuperque alas gerat; elephas vero, maximum animal, cum careat alis, quatuor tantum pedes habeat? Ille autem doctrina ad interrogationem paulisper cohibita,nullo tamen de his dato responso ad eum qui interrogaverat, sermonem quem ab initio sibi proposuerat resumpsit; hoc solo utens proœmio in unaquaque interpellatione:Nobis demandatum solummodo est, ut vobis sermones ac mirabilia facta illius qui misit nos enarremus: ac pro demonstratione dialectica, testes vobis producimus eorum qui hic adstant multos: cæterum in vestra potestate est, obsequi, vel fidem non habere. Ego certe non cessabo vobis exponere quod utile est: quoniam mihi quidem damnum est, tacere; vobis vere noxa, non credere. Equidem possem reddere rationes futilium vestrarum quæstionum, si viderem vos de istis

veritatis studio percontari : verum causam diversæ creationis culicis et elephanti, nunc vobis aperire intempestivum esset, qui Deum omnium rerum ignoratis.

ὑμῖν οὐκ εὔκαιρον εἰπεῖν τοῖς [26] τῶν ὅλων ἀγνοοῦσι Θεόν.

XI. Hæc eo dicente, illi communi consensu, multum ac petulantem risum emiserunt, ad stuporem ac consilii inopiam nitentes eum redigere, veluti barbarum quemdam ac insanum. Quæ cum ego intuerer, animo cœpi incalescere, ac zelo nescio qua ratione correptus, tacere non potui, sed cum fiducia dixi : Jure Deus, o homines, voluntatem suam incomprehensibilem vobis fecit, indignos vos præsciens, sicut inpræsentiarum dat plene intelligere iis qui mentis judicio utuntur. Quandoquidem enim nunc ejus voluntatis præcones missi sunt, qui non arte aliqua et verborum rhetorico ornatu, sed simpliciter tantum et absque calliditate consilium ejus repræsentant, adeo ut quilibet qui audierit, intelligat quæ dicuntur ; adestis vos, ut non intelligatis quod vobis expedit, utque damno vestro rideatis veritatem, quæ inter barbaros ad vestram condemnationem versatur, quamque ad vos advenientem non vultis hospitio recipere, propter libidines vestras, et verborum illius vilitatem, ne arguamini, inconsulto philologi esse, amatores sermonum, non autem veri philosophi, sapientiæ studiosi. Quousque ergo discitis loqui, qui bene loqui nescitis ? Multa enim verba quæ profertis, unius verbi pretio non sunt æstimanda. Quid autem et dicet Græca vestra multitudo, unanimis aliquando facta, si judicium futurum est, ut iste ait ? Quare, Deus, voluntatem tuam non prædicasti nobis ? Nullatenus audiemini : vel forte et aliquam responsionem reportabitis, hujusmodi : Ego cum omnes futuras voluntates, ante constitutionem mundi cognoscerem, unicuique pro merito suo latenter prævius occurri : quod autem id ipsum ita se habeat, volens iis qui ad me confugerunt, plene manifestare, cur ab initio, a primis generationibus voluntatem meam palam non siverim prædicari ; nunc circa finem sæculi, præcones mei consilii misi ; illi vero et irridentur, et contumeliis affecti deluduntur ab iis qui nequaquam volunt adjuvari meamque amicitiam vehementer repudiarunt. O magnam injuriam ! invidiæ etiam periculum subeunt prædicatores Dei, idque per eos homines, qui ad salutem vocantur.

XI. Ταῦτα αὐτοῦ λέγοντος, ἐκ συμφωνίας ἐκεῖνοι πολὺν καὶ ἄτακτον ἠφίεσαν γέλωτα, εἰς ἀμηχανίαν αὐτὸν ἐμβάλλειν πειρώμενοι, καθάπερ βάρβαρόν τινα καὶ μαινόμενον. Ἐγὼ δὲ ταῦτα ὁρῶν, διαθερμαίνομαι τὴν ψυχὴν, καὶ ζήλῳ οὐκ οἶδ' ὅπως ληφθεὶς, σιγᾷν οὐχ ὑπέμενον, ἀλλὰ μετὰ παῤῥησίας, εὐλόγως, εἶπον, ὁ Θεὸς ὑμῖν, ὦ οὗτοι, ἀκατάληπτον τὴν αὐτοῦ βούλησιν ἔθετο, ἀναξίους ὑμᾶς προϊδὼν, ἐξ ὧν νῦν τοὺς κριτικὸν νοῦν ἔχοντας πληροφορῶν φαίνεται. Ἐπεὶ γὰρ νῦν τῆς αὐτοῦ βουλήσεως κήρυκες ἐξαπεστάλησαν, οὐ τέχνῃ τινὶ καὶ ῥητορείᾳ λόγων, ἀλλ' ἁπλῶς οὕτω καὶ ἀπανουργεύτως [27] τὴν αὐτοῦ βούλησιν παριστῶντες, ὡς πάντα ὁντιναοῦν τὸν ἀκούσαντα νοεῖν τὰ λεγόμενα, πάρεστε νῦν ὑμεῖς πρὸς τῷ μὴ νοεῖν τὸ ὑμῖν συμφέρον, ἐπὶ τῇ ὑμετέρᾳ βλάβῃ γελᾷν τὴν ἐπὶ τῇ ὑμετέρᾳ καταδίκῃ πολιτευσαμένην ἐν βαρβάροις ἀλήθειαν, ἣν καὶ ὑμῖν ἐπιδημήσασαν ξενίσαι οὐ βούλεσθε, διὰ τὰς ἀσελγείας ὑμῶν, καὶ τὸ λιτὸν τῶν λόγων αὐτῆς, ἵνα μὴ ἐλεγχθῆτε, ὅτι εἰκῆ φιλόλογοί ἐστε, καὶ οὐκ ἀληθεῖς φιλόσοφοι. Μέχρι μὲν οὖν ποτε λαλεῖν μανθάνετε, οἱ τὸ καλῶς λαλεῖν οὐκ ἔχοντες (4); Πολλὰ γὰρ παρ' ὑμῶν ῥήματα, ἑνὸς οὐκ ἄξια λόγου. Τί δὲ ἄρα καὶ ἐρεῖ ὑμῖν [28] τό Ἑλληνικὸν πλῆθος μία ψυχή ποτε γενόμενον, εἴπερ ἔσται κρίσις ὡς οὗτός φησι ; Διὰ τί, ὦ Θεὲ, τὴν σὴν βούλησιν οὐκ ἐκήρυξας ἡμῖν ; Οὐ πάντως ἀκούσεσθε, εἴπερ τινὸς ἄρα καὶ ἀποκρίσεως καταξιωθήσεσθε, ὡς, ἐγὼ πάσας τὰς ἐσομένας πρὸ καταβολῆς κόσμου προαιρέσεις εἰδὼς, ἑκάστῳ πρὸς τὸ αὐτοῦ ἄξιον λανθανόντως προαπήντησα· τοῦτο δὲ αὐτὸ ὅτι οὕτως ἔχει, βουληθεὶς τοὺς προσπεφευγότας μοι πληροφορῆσαι, διὰ τί ἀπαρχῆς ἐκ προτέρων γενεῶν τὴν ἐμὴν βούλησιν δημοσίᾳ οὐκ εἴασα κηρυχθῆναι, νῦν πρὸς τῷ τέλει τοῦ βίου [29] κήρυκας ἐμῆς βουλῆς ἀπέστειλα, οἳ καὶ γελῶνται, καὶ ὑβριζόμενοι χλευάζονται ὑπὸ τῶν μηδὲν ὠφελεῖσθαι βουλομένων, καὶ ἐπιτεταμένως τὴν ἐμὴν φιλίαν παραιτησαμένων. Ὢ μεγάλης ἀδικίας, ὅτι μέχρι φθόνου [30] κινδυνεύουσιν οἱ τοῦ Θεοῦ κήρυκες, καὶ ταῦτα ὑπὸ τῶν εἰς σωτηρίαν καλουμένων ἀνδρῶν.

XII. Quæ cum dicerem, aliaque his consentanea, multum in plebe ortum est murmur : atque alii quidem Barnabam miserantes, mihi favebant ; alii vero, qui erant stolidi, graviter in me stridebant dentibus. Porro cum jam vespera advenisset, Bar-

XII. Ταῦτά μου λέγοντος καὶ τὰ τούτοις ἀκόλουθα, πολὺς τῶν ὄχλων ἐγένετο θρύλλος· καὶ οἱ μὲν ὡς τὸν Βαρνάβαν ἐλεοῦντες συνῆράν μοι· οἱ δὲ ἠλίθιοι ὄντες, δεινῶς κατ' ἐμοῦ ἔβρυχον τοὺς ὀδόντας. Ἐπεὶ δὲ ἤδη καὶ ἡ ἑσπέρα κατέλαβε, τῆς χειρὸς λαβὼν τὸν

VARIÆ LECTIONES.

[26] al. add. τόν. [27] al. ἀπανούργως. [28] l. ὑμῶν ex mss. [29] Vertit Cotelerius, quasi perinde esset ac τοῦ αἰῶνος, sententia postulante, sed sine exemplo, quod quidem sciam. CLER. [30] al. φόνου.

VARIORUM NOTÆ.

(4) Οἱ τὸ καλῶς λαλεῖν οὐκ ἔχοντες. Verte : *Qui bene loqui non potestis* ; quia boni nihil didicerant. CLER.

Βαρνάβαν, καὶ μὴ βουλόμενον βίᾳ εἰς τὴν ἐμὴν ἦγον οἰκίαν, ἔνθα καὶ μένειν αὐτὸν ἐποίησα, ἵνα μή τις αὐτῷ χεῖρας ἐπιβάλλῃ [31]. Καὶ ἡμέρας ὀλίγας σὺν ἐμοὶ διατρίψας, καὶ τοῦ ἀληθινοῦ λόγου βραχέα με κατήχησε [32]· σπεύδειν [33] γὰρ ἔλεγεν εἰς Ἰουδαίαν ἀφικέσθαι τῆς ἑορτῆς χάριν, ὡς καὶ τοῦ λοιποῦ συνεῖναι τοῖς αὐτοῦ ὁμοεθνέσιν ἐθέλων.

XIII. Ἐμοῦ δὲ λίαν τῆς ἐκείνου γλώττης κρεμαμένου, καὶ σφοδρῶς ἐγκειμένου, καὶ οὐκ ἀνιέντος, ἀλλὰ λὴν λοιπὴν ἀπαιτοῦντος διδασκαλίαν, καὶ λέγοντος· σὺ μόνον οὓς ἤκουσας τοῦ φανέντος Θεοῦ ἐκτίθου μοι λόγους, κἀγὼ τῷ ἐμῷ λόγῳ κοσμήσας, τοῦ Θεοῦ κηρύξω τὴν βούλησιν. Εἶθ' οὕτως καὶ ἐντὸς ὀλίγων ἡμερῶν συνεκπλεύσω σοι. Λίαν γὰρ ποθῶ παρὰ τὸν τῆς Ἰουδαίας γενέσθαι τόπον. Τάχα δὲ καὶ συνοικήσω ὑμῖν τὸν πάντα μου τῆς ζωῆς χρόνον. Αὐτὸς τούτων ἀκούσας, εὐθὺς ἀπεκρίνατο· Σὺ εἰ μὲν ἱστορῆσαι τὰ ἡμέτερα καὶ μαθεῖν τὸ συμφέρον ἐθέλεις, ἐξαυτῆς μοι, φησὶ, σύμπλευσον· εἰ δὲ μὴ βούλει, ἀλλὰ τὰ σημεῖα τῆς οἰκήσεώς μου, καὶ ὧν θέλεις ἐγώ σοι σήμερον γνωριῶ, ἵνα ὅτε καὶ βούλει παραγενόμενος εὕρῃς ἡμᾶς· ἐγὼ γὰρ αὔριον ἐπὶ τὰ ἐμαυτοῦ πορεύσομαι. Καὶ δὴ ἀδυσώπητον οὕτως ἰδὼν τὸν Βαρνάβαν, συνῆλθον αὐτῷ μέχρι καὶ τοῦ λιμένος· καὶ μαθὼν παρ' αὐτοῦ ἅπερ ἔλεγε σημεῖα τῶν οἰκήσεων, φημὶ πρὸς αὐτόν· Ὡς εἰ μὴ αὔριον ἔμελλον ἀπαιτῆσαί τι τῶν ὀφειλομένων μοι, ἐξαυτῆς ἂν καὶ συνεπλεόν σοι· πλὴν ἀλλὰ τάχιόν σε καταλήψομαι. Ταῦτα εἰπὼν, καὶ παραθέμενος αὐτὸν τοῖς τοῦ πλοίου ἡγουμένοις, ὑπέστρεφον μετὰ λύπης, μεμνημένος τοῦ καλοῦ καὶ συνήθους φίλου.

XIV. Ἡμέρας δὲ διατρίψας, καὶ τὸ χρέος δι' ὃ καὶ ἐπεσχέθην οὐχ ὅλον λαβεῖν δυνηθεὶς, ἀμελήσας τοῦ περιλειπομένου διὰ τὸ ταχὺ τὸν ἄνδρα καταλαβεῖν, ὡς ἐμποδίου μοι γενομένου, καὶ αὐτὸς εἰς Ἰουδαίαν ἀπέπλευσα, καὶ διὰ πεντεκαίδεκα ἡμερῶν, τῇ Στράτωνος ἐπιδημῶ Καισαρείᾳ. Ἐπιβάντος δέ μου τῆς γῆς, καὶ ξενίαν ἐπιζητοῦντος, μανθάνω Πέτρον τινὰ λεγόμενον, τοῦ ἐν Ἰουδαίᾳ φανέντος Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ σημεῖα καὶ τέρατα πεποιηκότος, τὸν δοκιμώτατον μαθητὴν, αὔριον Σίμωνι τῷ ἀπὸ Γιτθῶν [34] Σαμαρεῖ, μέλλειν ἰέναι πρὸς διαλέξεις. Ἐγὼ δὲ ταῦτα ἀκούσας, ἐδεήθην τὴν τούτου μοι μηνυθῆναι μονήν. Καὶ ὁμῶς ἔμαθον, καὶ τῷ πυλῶνι ἐπέστην. Θεασάμενοι δὲ οἱ ἐν τῷ οἴκῳ, ἀντιβάλλοντες ἦσαν, τίς τε εἰμὶ, καὶ πόθεν ἥκω. Καὶ ἰδοὺ Βαρνάβας ἐκβὰς, ἅμα τῷ [35] ἰδεῖν περιεπλάκη μοι, πολὺ χαίρων καὶ δακρύων. Καὶ λαβόμενός μου τῆς χειρὸς, εἰσῆγεν εἰς τὴν οἰκίαν. Εἶτα καὶ τὸν Πέτρον ὑποδεικνὺς, οὗτός ἐστιν, ἔλεγε, Πέτρος, ὃν μέγιστον ἐπὶ τῇ τοῦ Θεοῦ σοφίᾳ ἐπηγγελλόμην σοι, Κλήμη, ᾧ πάντα τε καὶ τὰ κατὰ σὲ καλὰ καὶ τὴν προαίρεσιν ἀεὶ διηγούμην, ὡς ἐντεῦθεν γλίχεσθαι καὶ αὐτὸν ἰδεῖν σε, καὶ τὴν σὴν ἐπιποθεῖν συντυχίαν. Μέγα οὖν αὐτῷ δῶρόν σε διὰ τῶν ἐμῶν προσφέρω χειρῶν. Καὶ τοῦτο εἰπὼν, προσαγαγὼν, ἔφη· οὗτός ἐστι Κλήμης, Πέτρε.

A nabæ manu apprehensa, eum licet nolentem, vi ad meam domum duxi, ubi et feci manere, ne quis ei manus injeceret. Paucosque dies mecum moratus, nonnulla veræ religionis rudimenta me docuit: aiebat enim quod properaret venire ad Judæam propter festum, ut qui vellet in posterum cum suis popularibus degere.

XIII. Ego vero cum valde ab illius lingua penderem, ac vehementer instarem, nec desisterem, sed reliquam doctrinam postularem, ac dicerem: Tu tantum mihi expone Dei qui apparuit, quos audisti, sermones; et ego oratione mea eos ornans, voluntatem Dei prædicabo. sicque postea intra paucos dies navigabo tecum: admodum enim cupio ad Judææ regionem venire: ac forte vobiscum toto vitæ meæ tempore habitabo; ille his auditis, illico
B respondit, ac dixit: Tu, si quidem videre nostra, et quod expedit cupis discere; mecum statim navigato: sin vero non vis navigare, ego hodie signa domicilii mei, eorumque quos convenire desideras indicabo; ut quando volueris venire, nos invenias: ego namque cras ad mea me conferam. Et vero cernens Barnabam adeo esse inexorabilem, comitatus sum eum usque ad portum, acceptisque ab eo signis quæ dixerat domiciliorum, aio ad illum: Nisi cras repetendum mihi esset aliquid eorum quæ mihi debentur, profecto jamjam tecum navigarem; attamen cito te assequar. His dictis, commendatoque eo navis ductoribus, reversus sum cum tristitia, memor boni ac concordis amici.

C XIV. Aliquot autem dies moratus, et debitum, propter quod retentus fueram, non totum accipere valens; ut celeriter hominem attingerem, neglecto quod supererat, quia mihi esset impedimento; ipse quoque in Judæam enavigovi, et quintodecimo die Cæsaream Stratonis advenio. Cumque terram tetigissem, et hospitium quærerem, audio quemdam nomine Petrum, Jesu Christi Dei Filii, qui in Judæa apparuerat et signa atque prodigia ediderat, probatissimum discipulum, crastino die cum Simone ex Gitthis Samaritano venturum ad disputationem. Quæ ego audiens rogavi indicari mihi illius mansionem. Et statim ac didici, præsto fui ad fores. Intuiti autem qui in domo erant, inter se conferebant quisnam essem, ac unde proficiscerer.
D Et ecce Barnabas egressus, statim ut vidit complexus est, multum gaudens ac lacrymans; apprehensaque manu mea, in domum introduxit. Deinde Petrum ostendens: Hic est, inquit, Petrus, quem maximum in Dei sapientia tibi denuntiabam, o Clemens, cuique omnia quæ in te sunt bona et propositum tuum semper narrabam, ut ex eo ipse etiam cupiat videre te, tuamque congressionem expetat. Magnum igitur ei munus te manibus meis offero. Quod cum dixisset, obtulit me, et dixit: Hic est Clemens, Petre.

VARIÆ LECTIONES.

[31] al. ἐπιβάλῃ [32] al. κατηχήσας. [33] Deest in al. [34] al. Γητθῶν. [35] al. τοῦ.

XV At Petrus, postquam nomen audivit, memoria repetens Barnabæ narrationes, confestim, eo habitu quo erat, prosiliit, meque benigne ac germane exosculatus, atque assidere faciens : Recte fecisti, inquit, qui veritatis præconem Barnabam hospitio exceperis in veri Dei honorem ; admodum excelso te gessisti animo, qui imperitorum furorem non fueris veritus. Revera enim beatus es tu, quod veritatis legatum ita omni cum honore susceperis hospitem : pro quibus factis, ipsa quoque veritas te qui hospes es, suæ urbis civem designabit, tuncque magnopere lætaberis ; quia parvam gratiam nunc fœneratus, bonamque doctrinæ voluntatem, eris hæres commodorum æternorum, bonorumque quæ auferri non possunt. Nec vero laborem subeas referendi mihi mores tuos : omnia enim quæ ad te pertinent, amator iste veritatis Barnabas indicavit, fere quotidie bonam tui mentionem faciens. Et ut tibi, tanquam vero amico, breviter rem aperiam ; nisi tibi aliquid impedimento est, iter nobiscum habe, ac percipe sermonem veritatis, quem per singulas civitates habiturus sum Romam usque ipsam.

XVI. Ego vero ad illum : Paratus quidem sum proficisci tecum, inquam : hoc namque nescio quo modo constitui lætus : verum cupio prius certior de veritate fieri ; ut sciam, utrum anima immortalis sit, an mortalis ; et si est sempiterna ; num ob ea quæ hic gessit, judicari debeat ; item, quidnam sit justum ac Deo gratum ; præterea, factusne sit mundus, et quare factus ; et an sit dissolvendus, necne, an melior futurus, an nec futurus omnino, ac, ne singula prosequar, hæc atque his similia vellem discere. Hic autem, divino spiritu cognoscens quid sibi vellent ea verba, citum responsum dedit, ut et cito me ad veritatem revocaret. Atque ego, inquit, breviter tibi, o Clemens, rerum scientiam exhibebo : et jam nunc audi.

XVII. Dei voluntas multas ob rationes hominibus occulta fuit. Primo quidem quod illi detinerentur prava institutione, convictu vitioso, consuetudine perniciosa, malis colloquiis, non recta opinionum anticipatione, atque caprupter errore ; dein contemptu, incredulitate, fornicatione, avaritia, inani gloria, aliisque similibus ; quæ cum in mundum, tanquam plurimus fumus in unam domum intraverint, intusque habitantium hominum visum offuscarint, eos non sinunt aspicere, neque mundi creatorem Deum intelligere ex iis in quibus ipse se pinxit, nec cognoscere quod ei placet. Quocirca oportet veritatis studiosi, intrinsecus ex animæ profundo, ad auxilium vera ratione vocent Deum solum, Dominum autem nostrum et Salva-

XV. Ὁ δὲ ἡνίκα τοῦ ὀνόματος ἤκουσεν, εἰς μνήμην ἐλθὼν τῶν Βαρνάβα διηγημάτων, ἐξήλατό τε ὡς εἶχεν εὐθὺς, καὶ προσηνῶς με καὶ γνησίως καταφιλήσας, καὶ παρακαθισάμενος· Καλῶς ἐποίησας, ἔφη, τὸν τῆς ἀληθείας κήρυκα ξενίσας Βαρνάβαν εἰς τιμὴν τοῦ ὄντος [36] Θεοῦ, καὶ λίαν μεγαλοφρόνως, οὐκ αἰδεσθεὶς τὸν [37] τῶν ἀπαιδεύτων θυμόν. Μακάριος γὰρ ὡς ἀληθῶς σὺ, τὸν τῆς ἀληθείας πρεσβευτὴν οὕτω ξενίσας πάσῃ τιμῇ· ἀνθ' ὧν αὐτὴ καί σε ἡ ἀλήθεια ξένον ὄντα, τῆς ἰδίας πόλεως καταστήσει πολίτην· καὶ τότε χαρήσῃ μεγάλως, ὅτι βραχεῖαν νῦν χάριν δανείσας καὶ ἀγαθὴν λόγων προαίρεσιν, καλῶν ἀϊδίων καὶ ἀναφαιρέτων ἀγαθῶν ἔσῃ κληρονόμος. Καὶ μὴ κάμνε ἀντιβάλλων μοι τὸ σὸν ἦθος· πάντα γὰρ τὰ κατὰ σὲ ὁ φιλαλήθης οὗτος ἀνὴρ ὁ Βαρνάβας ἀπήγγειλε, καθ' ἡμέραν σχεδὸν τὴν ἀγαθήν σου μνήμην ποιούμενος. Καὶ ἵνα σοι, ὡς γνησίῳ φίλῳ, δηλώσω κατ' ἐπιτομὴν τὸ προκείμενον, εἰ μή σοί τι ἐμποδίζει, συνόδευσον ἡμῖν, μεταλαμβάνων τὸν [38] τῆς ἀληθείας λόγον, ὃν [39] κατὰ πόλιν ποιεῖσθαι μέλλω μέχρι Ῥώμης αὐτῆς.

XVI. Ἐγὼ δὲ πρὸς αὐτόν, Σοὶ μὲν ἑτοίμως ἔχω συνοδεύειν, εἶπον· τοῦτο γὰρ οὐκ οἶδ' ὅπως χαίρων προῄρημαι· πλὴν περὶ ἀληθείας βούλομαι πρῶτον πληροφορηθῆναι, ἵνα γνῶ, εἰ ἡ ψυχὴ ἀθάνατος, ἢ θνητή· καὶ εἰ αἴδιος οὖσα, περὶ ὧν ἔπραξεν ἐνταῦθα, ἔχει κριθῆναι· καὶ τί ποτέ ἐστι δίκαιον ἢ ἀρέσκον Θεῷ, καὶ εἰ γέγονε κόσμος, καὶ διὰ τί γέγονε, καὶ εἰ λυθήσεται· καὶ εἰ οὐ λυθήσεται, καὶ [40] κρείττων ἔσται, ἢ οὐδὲ ἔσται· καὶ ἵνα μὴ τὸ κατ' εἶδος λέγω, ταῦτά τε καὶ τὰ τούτοις ἑπόμενα μαθεῖν ἤθελον. Ὁ δὲ, [41] τί ταυτὶ βούλεται τὰ ῥήματα τῷ θείῳ πνεύματι γνοὺς, ταχεῖαν τὴν ἀπόκρισιν ἐποιεῖτο, ἵνα καὶ ταχύ με πρὸς τὴν ἀλήθειαν ἐπαναγάγηται [42]. Καί, Συντόμως ἐγώ σοι, ἔλεγεν, ὦ Κλήμη, τὴν τῶν ὄντων γνῶσιν παρέξομαι· καὶ τὰ νῦν ἐξαυτῆς ἄκουε.

XVII. Ἡ τοῦ Θεοῦ βουλὴ κατὰ πολλοὺς τρόπους ἐν ἀδήλῳ γέγονε τοῖς ἀνθρώποις. Πρῶτα μὲν διὰ τὸ κρατηθῆναι αὐτοὺς εἰσαγωγῇ κακῇ, συντροφίᾳ πονηρᾷ, συνηθείᾳ δεινῇ, ὁμιλίᾳ κακῇ [43], προλήψει οὐκ ὀρθῇ, καὶ διὰ ταῦτα πλάνῃ· ἔπειτα ἀφοβίᾳ, ἀπιστίᾳ, πορνείᾳ, φιλαργυρίᾳ, κενοδοξίᾳ, καὶ ἄλλοις τοιούτοις, ἃ δὴ καθάπερ καπνοῦ πλῆθος εἰς ἕνα οἶκον ἐπεισελθόντα τὸν κόσμον, καὶ τῶν ἔνδοθεν οἰκούντων ἀνδρῶν ἐπιθολώσαντα τὰς ὁράσεις, ἀναβλέψαι αὐτοὺς οὐκ ἐᾷ, καὶ τῇ διαγραφῇ τὸν δημιουργήσαντα κατανοῆσαι Θεὸν, καὶ τὸ τούτῳ δοκοῦν γνωρίσαι. Διὸ χρὴ τοὺς φιλαλήθεις ἔσωθεν ἐκ βάθους ψυχῆς ἐκκαλέσασθαι πρὸς ἐπικουρίαν ἀληθεῖ λογισμῷ τὸν μόνον Θεὸν, Κύριον δὲ ἡμῶν και Σωτῆρα Ἰησοῦν Χριστὸν, καὶ παρ' αὐτοῦ γνῶσιν λαβεῖν, ἵνα τις ἐντὸς ὢν ἐν τῷ

VARIÆ LECTIONES.

[36] Lege τοῦ ὄντως Θεοῦ, *ejus, qui revera Deus est*, ut infra, num. XXIX. CLER. [37] al. inser. οὐ φοβηθείς. [38] al. τῶν. [39] al. λόγων, ὧν. [40] al. καὶ εἰ. [41] al. ὁ δὲ Πέτρος πρὸς ταῦτα ἀπεκρίνατο· Συντόμως σοι ὦ. [42] al. ἐπαγάγηται. [43] οὐ καλῇ.

οἴκῳ τῷ πεπλησμένῳ καπνοῦ, τῷ κόσμῳ τούτῳ, A φημὶ, προσιὼν ἀνοῖξαι δυνηθῇ θύραν, ὡς τὸ μὲν ἐκτὸς τοῦ ἡλίου φῶς εἰσκριθῆναι τῷ οἴκῳ, τὸν δὲ ἐντὸς τοῦ πυρὸς ὄντα ἐκβληθῆναι καπνόν· ὅπως διαβλέψαντες οἱ ἄνθρωποι πιστεύσωσιν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν πρὸ τῶν αἰώνων ἐξ αὐτοῦ ἀφράστως γεννηθέντα, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐξ αὐτοῦ ἀῤῥήτως ἐκπορευόμενον, ἕνα Θεὸν γνωρίζοντες ἐν τρισὶν Ὑποστάσεσιν, ἄναρχον, ἀτελεύτητον, αἰώνιον, ἀΐδιον, ἄκτιστον, ἄτρεπτον, ἀναλλοίωτον, ἁπλοῦν, ἀσύνθετον, ἀσώματον, ἀόρατον, ἀναφῆ, ἀπερίγραπτον, ἀπερίληπτον [45], ἄπειρον, ἀκατανόητον, ἀγαθὸν, δίκαιον, παντοδύναμον, πάντων κτισμάτων δημιουργὸν, παντοκράτορα, παντεπόπτην, πάντων προνοητὴν, ἐξουσιαστὴν, καὶ κριτήν· καὶ οὕτως ἀναγεννηθέντες δι' ὕδατός τε καὶ πνεύματος, συγκληρονόμοι καταστῶσι B τῶν πρὸς ἀφθαρσίαν ἀναγεννηθέντων υἱῶν τοῦ Θεοῦ.

torem Jesum Christum, et ab eo cognitionem accipiant; ut aliquis intus positus in domo fumi plena, in hoc, inquam, mundo, accedens possit aperire fores; quo lumen solis, quod extra est, intromittatur in domum; ignis vero fumus, qui intro est, ejiciatur [44]; ut homines, cum perspexerint, credant in unum Deum Patrem omnipotentem, et in unigenitum ejus Filium ex eo ante sæcula inenarrabili modo genitum, et in Spiritum sanctum ex eodem ineffabili ratione procedentem; atque unum Deum cognoscant in tribus Personis, principio carentem, finis expertem, æternum, perpetuum, increatum, immutabilem, variationi non obnoxium, simplicem, non compositum incorporeum, invisibilem, intactilem, incircumscriptum, incomprehensibilem, infinitum, non valentem perspici, bonum, justum, potentem omnia, creaturarum omnium opificem, omnipotentem, inspectorem cunctorum, provisorem omnium, dominatorem, ac judicem; atque ita aqua et spiritu renati cohæredes constituantur filiorum Dei renatorum ad incorruptionem [46].

XVIII. Διὸ πρὸ παντὸς ζητήματος καὶ αὐτὸς, ὦ Κλήμη, ἑτοίμως ὡς υἱὸς πατρὶ πρόσελθε, ἵνα καὶ τῶν ὁρωμένων καὶ τῶν ἀοράτων ἀψευδῶς τὴν γνῶσιν Θεὸς παράσχῃ σοι. Εἰ δὲ καὶ μετὰ τὸ κληθῆναι οὐ θέλεις, ἢ βραδύνεις, δικαίᾳ Θεοῦ κρίσει ἀπόκληρος [47] ἔσῃ, τῷ μὴ θελῆσαι μὴ θεληθείς. Καὶ μή τοι νομίσῃς ὅτι κἂν πάντων τῶν ποτὲ γενομένων εὐσεβῶν εὐσεβέστατος γένῃ [48], μὴ φθάσεις [49] δὲ τελειωθῆναι διὰ βαπτίσματος, ἐλπίδος ἀγαθῆς τυχεῖν δυνήσῃ ποτέ. C Ταύτῃ γὰρ πλείονα μᾶλλον ὀφέξεις τὴν κόλασιν, ὅτι καλοῖς ἔργοις οὐκ ἐχρήσω καλῶς [50]. Οὐδὲ γὰρ καλὸν τὸ καλὸν, ὅ φασιν (5), ὅταν μὴ καλῶς γίνηται. Σὺ δὲ εἰ οὐ θέλεις ὡς τῷ Θεῷ δοκοῦν βαπτισθῆναι, τῷ σῷ μᾶλλον ὑπηρετῶν θελήματι, ἐχθραίνεις πάντως τῇ ἐκείνου βουλῇ. Ἀλλ' ἴσως ἐρεῖς· Καὶ τί συμβάλλεται πρὸς εὐσέβειαν τὸ βαπτισθῆναί με ὕδατι; Πρῶτον μὲν ὅτι τὸ δόξαν Θεῷ πράττεις. Δεύτερον δὲ, ὅτι δι' ὕδατος καὶ πνεύματος ἀναγεννᾶσαι (6) Θεῷ καὶ τὴν ἐξ ἐπιθυμίας πρώτην σοι γενομένην καταλλάσσεις γέννησιν· καὶ οὕτω σωτηρίας τυχεῖν δυνήσῃ, ἄλλως δὲ ἄρα ἀδύνατον. Οὕτω γὰρ ὁ ἐπὶ σωτηρίᾳ καὶ ἀφθαρσίᾳ τοῦ γένους ἡμῶν ἐνανθρωπήσας Θεὸς Λόγος εἶπεν ἡμῖν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ἀναγεννηθῆτε δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διὸ πρόσελθε D τῷ βαπτίσματι· τοῦτο γὰρ μόνον τὴν τοῦ πυρὸς

XVIII. Quapropter ante omnem quæstionem tu quoque, o Clemens, prompte tanquam filius ad patrem accede, ut et visibilium et invisibilium cognitionem vere tibi præbeat Deus. Quod si postquam vocatus es, non vis, aut cunctaris; justo Dei judicio exhæres eris; et quia noluisti, nolet te Deus. Neque vero existimes, quod etsi omnium qui unquam fuerunt pii, piissimus sis, baptismi autem consummationem non fueris assecutus, bonam spem adipisci aliquando poteris. Eo enim majores pœnas dabis, quod bonis operibus non bene usus sis. Nam, ut aiunt, bonum non bonum est, quando non bene agitur. Tu vero si, quemadmodum Deo placet, nolis baptizari, ac tuæ potius voluntati obsequeris; profecto illius consilio repugnas. Sed forte dices: Et quid ad pietatem conferet, si aqua baptizer? Primo quidem, quia id quod Deo placuit facis. Secundo vero, quia per aquam et spiritum renasceris Deo, atque primam nativitatem quam ex concupiscentia traxisti permutas: sicque salutem consequi poteris: aliter autem fieri nequit. Ita enim, qui propter salutem et immortalitatem generis nostri incarnatus est Deus Sermo, dixit nobis: *Amen, dico vobis; nisi renati fueritis aqua et spiritu, non introibitis in regnum cærorum* [51]. Quodcirca ad baptismum accede: siquidem hic solus vim ignis

VARIÆ LECTIONES.

Recogn. I, 69. [45] al. ἀκατάληπτον. al. ἀπερίληπτον, ἀκατάληπτον. [46] *Clement.* hom. II, c. 24, etc. *Rec.* l. VI, c. 8, etc. [47] ἀποκληρώσῃ. [48] al. εὐσεβέστερος γένῃ, ἀβάπτιστος δὲ ᾖς, ἐλπίδος τυχεῖν. [49] al. φθάσῃς. [50] al. ὅτι καλὰ ἔργα οὐκ ἐποίησας καλῶς. Καλὴ γὰρ εὐποιία, ὁπότ' ἂν ὁ Θεὸς ἐκέλευσε γίνεται. [51] Joan. III, 5.

VARIORUM NOTÆ.

(5) Ὅ φασιν. Deuteron. XVI, 20: *Juste quod justum est persequeris.* Sapient. VI, 11: Οἱ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται. Ad verbum in *Vita Lucæ junioris* tomo II. Auctarii Combefisiani pag. 985, τὸ γὰρ καλὸν, οὐ καλὸν, φασὶν, ὅταν μὴ καλῶς γίνοιτο, et apud Gregorium Nazianzenum, orat. 33, p. 531, τὸ καλόν οὐ καλὸν, ὅταν μὴ καλῶς γίνηται Parique modo Zonaras ad Canonem Gangrensem 14, et Balsamon in Responsis ad Marci interrogationes cap. 6, necnon Origenes in Catena Lucæ ms. ad cap, I. vers. 5, ubi tamen in edita a Corderio nomen Simeonis apponitur, nescio an ob Σή quod ad marginem codicis Regii apparet, estque σημείωσαι Cos.

(6) Ἀναγεννᾶσαι. Lege ἀναγέννᾳ in Indicativo. CLER.

potest exstinguere. Neque differ; quoniam dilatio solet afferre periculum, propterea quod incertum sit præstitutum morti nostræ tempus.

XIX. [52] Postquam hæc dixisset, Equidem, inquam, modo gratias ago Deo Patri, et unigenito ejus Filio, et sancto ejusdem Spiritui, quia ut certus fieri volui, ita et mihi tribuit. Cæterum de me deinceps securus esto. Nunquam enim dubitabo de ullo eorum quæ a te prolata sunt. Igitur, Domine mi Petre, ne animo anxio sis, tanquam non sentienti homini maxima bona donaveris. Scio quippe hoc tale et adeo magnum esse, ut quilibet illud et celeriter velit accipere. Sentio enim mihi velociter datum charisma. Hæc postquam locutus sum, Petrus dixit: Gratiam habeo Deo, et pro salute tua, et pro commodo meo. Itaque per trium mensium dies jejuna, et baptismum accipies. Incipe ergo a die crastina. Erit autem mihi cras cum Simone Mago disputatio. Neque ambigas, mihi adesse in adversantium controversiis. His dictis, ipse etiam cibum sumpsit, meque jussit privatim sumere. Benedicto autem cibo, actisque gratiis, subjunxit, dicens: Det tibi Deus, ut in omnibus mihi similis efficiaris, utque baptizatus, ejusdem mecum particeps fias mensæ. Eoque pronuntiato, quiescere me præcepit: jam enim et tempus ad somnum vocabat.

XX. [55] Sequenti ergo die, ego Clemens, cum adhuc nox esset, e somno excitatus, ubi intellexi Petrum vigilare, et cum iis qui una erant de cultu Dei disserere (erant autem numero sexdecim; quorum hæc sunt nomina: Zacchæus, qui olim publicanus, et Sophonias frater ejus; Josephus, illiusque sodalis Michæas; præterea Thomas et Eliezerus gemini; Eneas sacerdos; Lazarus sacerdos, quem a mortuis excitavit quatriduanum Dominus noster Jesus Christus; Elisæus, Benjamin filius Saphræ, itidem Rubilus et Zacharias architecti, Ananias et Aggæas Ammeni; necnon Nicetas et Aquila socii): ego quoque ingressus sum, et postquam salutassem, jubente eo consedi.

XXI. Ille autem institutum sermonem interrumpens, et quasi se purgans, rationem reddibit cur non expergefecisset me, quo verborum ipsius essem auditor: cujus rei causam, navigationis molestiam assignabat: illam enim concoqui volens, me quiescere permisit. Siquidem quando anima, inquit, circa id quod corpori deest occupatur, vel aliqua calamitate premitur, non multa cum diligentia solet attendere iis quæ dicuntur. Et propter hoc nolo

A ὁρμὴν σϐέσαι δύναται. Καὶ μὴ ἀναϐάλλου· ὅτι ἡ ἀναϐολὴ κίνδυνον οἶδε φέρειν, διὰ τὸ ἄδηλον εἶναι τοῦ θανάτου τὴν προθεσμίαν.

XIX. Ταῦτα ἐκείνου εἰπόντος, Ἐγὼ μὲν, ἔφην, ἤδη εὐχαριστῶ τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ, καὶ τῷ Πνεύματι αὐτοῦ τῷ ἁγίῳ, ὅτι ὡς ἐϐουλόμην πληροφορηθῆναι, οὕτω μοι καὶ παρέσχε. Πλὴν περὶ ἐμοῦ τὸ λοιπὸν ἄφροντις ἔσο. Οὐδέ ποτε γὰρ ἐνδυάσω [53] πρός τι τῶν ὑπὸ σοῦ λαληθέντων· ὥστε, κύριέ μου Πέτρε, μὴ ἀθύμει, ὡς ἀναισθήτῳ μέγιστα δωρούμενος ἀγαθά. Οἶδα γὰρ ὅτι τοιοῦτόν ἐστι καὶ οὕτω μέγιστον, οἷον ἄν τις καὶ ταχέως λαϐεῖν βούλοιτο, Αἰσθάνομαι γὰρ τοῦ δοθέντος μοι διὰ τάχους χαρίσματος. Ταῦτά μου εἰπόντος, ὁ Πέτρος ἔφη· Χάριν ὁμολογῶ τῷ Θεῷ, καὶ περὶ τῆς σῆς σωτηρίας, καὶ περὶ τῆς ἐμῆς ἀπολαύσεως. Πλὴν νήστευ-
B σον τριῶν μηνῶν ἡμέρας, καὶ λαμϐάνεις τὸ βάπτισμα. Ἄρξαι τοίνυν ἀπὸ τῆς αὔριον. Ἔστι δέ μοι ἡ αὔριον πρὸς Σίμωνα τὸν μάγον διάλεξις. Καὶ μὴ ὀκλάσῃς παρεῖναί μοι ἐν ταῖς τῶν ἀντικειμένων ζητήσεσι. Ταῦτα εἰπὼν, καὶ τροφῆς αὐτὸς μεταλαϐὼν, ἰδίᾳ κἀμὲ μεταλαϐεῖν ἐκέλευσεν. Εὐλογήσας δὲ ἐπὶ τῆς τροφῆς καὶ εὐχαριστήσας, ἐπήγαγε λέγων· Δῴη σοι ὁ Θεὸς κατὰ πάντα ἐξομοιωθῆναί μοι, καὶ βαπτισθέντι [54] τῆς αὐτῆς μοι κοινωνῆσαι τραπέζης. Οὕτως εἰπὼν, ἡσυχάζειν μοι προσέταξεν· ἤδη γάρ που καὶ ὁ καιρὸς πρὸς ὕπνον ἐκάλει.

XX. Τῇ μὲν οὖν ἐπιούσῃ ἐγὼ Κλήμης, ἔτι τῆς νυκτὸς ἐχούσης, διϋπνισθεὶς, καὶ μαθὼν τὸν Πέτρον ἐγρηγορότα, καὶ τοῖς συνοῦσι περὶ θεοσεϐείας διαλεγόμενον, οἳ ἦσαν ἑκκαίδεκα τὸν ἀριθμὸν, ὧν καὶ
C τὰ ὀνόματά εἰσι ταῦτα, Ζακχαῖος ὅ ποτε τελώνης, καὶ Σοφωνίας [56] ὁ ἀδελφὸς αὐτοῦ, Ἰώσηφός τε καὶ ὁ τούτου σύντροφος Μιχαίας, προσέτι δὲ Θωμᾶς καὶ Ἐλιέζερος οἱ δίδυμοι, καὶ Ἐνέας ὁ ἱερεὺς, καὶ Λάζαρος ο ἱερεὺς, ὃν ἀνέστησεν ἐκ νεκρῶν τετραήμερον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ Ἐλισσαῖος, Βενιαμὶν ὁ τοῦ Σαφρᾶ, ὁμοίως γε Ῥεύϐιλος καὶ Ζαχαρίας οἱ οἰκοδόμοι, Ἀνανίας [57] τε καὶ Ἀγγαίας [58] οἱ ἀμμηνοί [59]· ἔτι τε Νικήτης καὶ Ἀκύλας οἱ ἑταῖροι· εἰσῆλθον κἀγὼ· καὶ προσαγορεύσας ἐκαθέσθην, ἐκείνου κελεύσαντος.

XXI. Ὁ δὲ τὸν προκείμενον ἐκκόψας [60] λόγον, ὥσπερ ἀπολογούμενος, ἐπληροφόρει τίνος ἕνεκεν οὐκ ἀφύπνισέ με, ὅπως ἀκροατὴς τῶν αὐτοῦ γένωμαι λόγων· καὶ τούτου αἰτίαν τὸν ἐκ τοῦ πλοῦ σκυλμὸν
D ἐποιεῖτο· ἐκεῖνον γὰρ πεφθῆναι θέλων [61], μὲ ἡσυχάζειν ἀφῆκεν. Ὁπότ' ἂν γὰρ (7) ἡ ψυχὴ, φησὶ, περὶ τὸ λεῖπον ἀσχολῆται τῷ σώματι, εἴτε τινὶ συμφορᾷ συνέχεται, οὐ μετὰ πολλῆς εἴωθε προσέχειν ἀκριϐείας τοῖς λεγομένοις. Τούτου δὲ ἕνεκεν οὐδὲ

VARIÆ LECTIONES.

[52] *Clement.* hom. I, c. 21, etc. *Recogn.* l. I, c. 18, etc. [53] al. ἐνδοιάσω. [54] al. βαπτισθέντα. [55] *Clement.* homil. II, c. 1, etc. *Rec.* l. II. c. 1, etc. [56] Σοφονίας. [57] Lege Αἰνείας, ut ad *Clementina* diximus. CLER. [58] al. Ἀγγαῖος [59] al. ἰαμμηνοί et ἀμηνοί et ἰαμμινοί. [60] al. ἐγκόψας. [61] al. πεφθῆναί μοι θέλων.

VARIORUM NOTÆ.

(7) Ὁπόταν γάρ. Excerptam sententiam hanc, ut Κλήμεντος πάπα Ῥώμης, legere est in ms. Regio 1500. CLER.

βούλομαι διαλέγεσθαι τοῖς ἢ λύπῃ κατεχομένοις, ἢ ἀμέτρως ὀργιζομένοις, ἢ τὸ σῶμα πεπονηκόσιν, ἢ βιωτικαῖς φροντίσιν, ἢ ἑτέρῳ πάθει τινὶ διενοχλουμένοις.

XXII. Καὶ μὴ λεγέτω τις, ὅτι οὐ χρὴ παραμυθίας καὶ νουθεσίας λόγους προσάγειν τοῖς φαῦλόν τι πράττουσι. Φημὶ γὰρ, ὡς εἰ μὲν ἀνύει τις, προφερέτω· εἰ δὲ μὴ, τῷ καιρῷ τέως παραχωρείτω. Καιρὸς γὰρ, ὡς Σολομῶντι δοκεῖ, παντὶ πράγματι. Διὸ χρὴ τοὺς τὴν ψυχὴν ῥωννύντας λόγους, πρὸ τῆς κακώσεως τοῖς ἀνθρώποις ἐπάγειν· ἵνα εἴ ποτέ τι [64] φαῦλον ἐπέλθοι, προωπλισμένος ὁ νοῦς, ὀρθῷ τῷ λογισμῷ δυνηθείη τὸ ἐπενεχθὲν ὑποστῆναι. Ὅθεν, ὦ φίλε Κλήμη, εἴγε τὰ τῷ Θεῷ διαφέροντα γνῶναι θέλεις, παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ διδάσκοντος [65] ἄνθρωπον γνῶσιν, παρὰ τούτου μόνου μαθεῖν ἔχεις, ὅτι μόνος οἶδεν ἀλήθειαν. Τῶν γὰρ ἄλλων εἴ τις ἐπίσταταί τι, παρὰ τούτου [66] μόνου, ἢ τῶν τούτου μαθητῶν λαβὼν ἔχει.

XXIII. Ἔστι τε αὐτοῦ τὸ βούλημα, ὅτι εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσιν, οὗ ὁ κόσμος ἔργον ὁ πᾶς, ὃς δίκαιος ὢν, πάντως ἑκάστῳ πρὸς τὰς πράξεις ἀποδώσει ποτέ. Ἀνάγκη γὰρ πᾶσα, φύσει δίκαιον εἶναι λέγοντα τὸν Θεὸν, καὶ τὰς ἀνθρώπων ψυχὰς ἀθανάτους εἶναι πιστεύειν. Ἐπεὶ ποῦ τὸ δίκαιον αὐτοῦ; ὅπου τινὲς εὐσεβῶς βιοτεύσαντες, καὶ κακουχηθέντες, βιαίως ἀνῃρέθησαν· ἔνιοι δὲ ἀσεβεῖς παρὰ πολὺ γεγενημένοι, ἐν πολυτελείᾳ βίου τρυφήσαντες, τὸν κοινὸν ἀνθρώπων ἐτελεύτησαν θάνατον. Ἐπεὶ οὖν χωρὶς ἀπάσης ἀντιλογίας ὁ Θεὸς ἀγαθὸς ὢν, δίκαιός ἐστιν, οὐκ ἄλλως δὲ δίκαιος εἶναι γνωσθήσεται, ἐὰν μὴ ἡ ψυχὴ μετὰ τὸν χωρισμὸν τοῦ σώματος ἀθάνατος ᾖ, ἵνα μετὰ τὸ ἀπολαβεῖν τὸ ἴδιον σῶμα ἐν τῇ ἀναστάσει, ὁ μὲν κακὸς, ὡς ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβὼν, ἐκεῖ περὶ ὧν ἥμαρτε κολασθῇ· ὁ δὲ ἀγαθὸς, ἐνταῦθα περὶ ὧν ἥμαρτε κολασθεὶς, ἐκεῖ ὡς ἐν κόλποις δικαίων, κληρονόμος τῶν ἀγαθῶν καταστῇ· ἐπεὶ τοίνυν ὁ Θεὸς δίκαιος, πρόδηλον ἡμῖν ἐστιν, ὅτι καὶ κρίσις γίνεται, καὶ αἱ ψυχαὶ ἀθάνατοι τυγχάνουσιν. Εἰ δέ τις, ὡς τῷ Σαμαρεῖ δοκεῖ Σίμωνι, καὶ οὐχ ὡς ὁ τῆς ἀληθείας βούλεται λόγος, τὸ δίκαιον εἶναι μὴ θέλοι δοῦναι Θεῷ, τίνι ἔτι τοῦτό τις δοῦναι δύναται;

XXIV. Ταῦτα ἀκούσας ἐγὼ Κλήμης, καὶ τίς ἄρα τυγχάνει, ἔφην, οὗτος ὃν λέγουσι Σίμωνα Σαμαρείτην, μαθεῖν ἤθελον. Ὁ δὲ Πέτρος· Εἰ θέλεις μαθεῖν, ἔφη, πάρεστί σοι τοῦ γνῶναι παρ' ὧν κἀγὼ πάντα τὰ κατ' αὐτὸν ἐπυθόμην. Καὶ μεταπεμψάμενος ἐκέλευσεν Ἀκύλαν τε καὶ Νικήτην πάντα μοι ἀκριβῶς τὰ κατὰ τὸν Σίμωνα διηγήσασθαι. Οἱ δὲ τὸν Θεὸν μαρτυράμενοι μηδὲν παρεκκλῖναι τῆς ἀληθείας, οὕτω τὰ κατ' αὐτὸν ἐξέθεντο. Καὶ πρῶτος Ἀκύλας ἤρξατο λέγειν οὕτως· Ἄκουσον, ὦ φίλτατε ἀδελφὲ, ὅπως καὶ αὐτὸς

A sermocinari cum iis qui aut ægritudine detinentur, aut immoderate irati sunt, aut corpore ægrotant; aut sæcularibus curis, vel alio quopiam affectu obturbantur.

XXII. [62] Neque dicat aliquis, non oportere consolationis et admonitionis verba iis admovere, qui mali aliquid habent ac gerunt. Aio enim, quod si quidem aliquis proficit, adhibeat; sin minus, interim tempori cedat. *Tempus* enim *est*, ut Salomoni videtur, *omni rei* [63]. Quare oportet sermones qui animam confirmant, hominibus ante vexationem inferre; ut si quid forte pravi acciderit, mens prius armata, recta ratione possit id quod illatum est, perferre. Unde, amice Clemens, si cupis quæ ad Deum pertinent cognoscere, a Domino et Deo
B et Salvatore nostro Jesu Christo, qui humanum genus docet scientiam; ab eo solo discere potes; quia solus novit veritatem. Aliorum enim si quis aliquid cognoscit, ab eo uno, aut ab ejus discipulis traditum accepit.

XXIII. [67] Est autem ejus sententia: Deum unum esse in tribus personis, cujus totus mundus opus est, quique justus existens, aliquando certe unicuique pro actionibus retribuet. Necesse quippe omnino est, ut qui asserit Deum natura esse justum, etiam credat immortales esse hominum animas. Quoniam ubi erit justitia ejus? quando aliqui, cum pie vixissent, tamen male habiti, per vim e medio sublati sunt: quidam vero, postquam valde impii exstitissent, atque vitæ luxui ac deliciis indulsissent, communi tamen hominum morte
C obierunt. Quandoquidem igitur absque ulla contradictione Deus, bonus cum sit, justus etiam est; nec aliunde justus esse cognoscetur, nisi anima post separationem a corpore, sit immortalis; ut quando in resurrectione suum corpus recuperarit; malus quidem, tanquam qui hic bona receperit, ibi pro iis quæ deliquit puniatur; bonus autem, hic pro delictis castigatus, illic quasi in sinu justorum, hæres bonorum constituatur: quandoquidem igitur Deus justus est, constat inter nos, judicium quoque fore, et animas esse immortales. Si quis vero, quemadmodum Samaritano Simoni placet, et non ut veritatis doctrina vult, Deo concedere nolit, justum esse, cui jam aliquis id tribuere potest?

XXIV. His auditis, ego Clemens. Et quisnam
D est, dixi, iste quem aiunt, Simon Samaritanus, scire vellem. Respondit autem Petrus: Si cupis discere, licet tibi ab iis cognoscere, a quibus et ego cuncta illius intellexi. Vocatisque Aquila et Niceta, præcepit eis, ut mihi omnia ad Simonem pertinentia diligenter enarrarent. At illi, Deum attestati se nullatenus a veritate declinaturos, hunc in modum res ejus exposuerunt. Ac prior Aquila cœpit ita dicere: Audi, charissime frater, ut tu

VARIÆ LECTIONES.

[62] *Clement.* hom. II, c. 12, etc. [63] Eccle. III, 1. [64] al. τινα. [65] Deest in al. [66] Deest in al. [67] I. *Recogn.*, l. VIII, c. 6.

quoque accurate cognoscas omnia viri illius ; cujusnam sit, et quis, et unde ; et quænam sint quæ facit, et quo modo, quamque ob causam.

XXV. [68] Simon igitur patre quidem Antonio, matre vero Rachele ortus est ; natione Samaritanus, ex Gitthis, vico qui non minus quam sex schœnis ab urbe Samaritanorum distat. Hic Alexandriæ Ægypti commoratus, ac in Græca doctrina plurimum exercitatus, et arte magica pollens, atque insolentia elatus, se vult existimari esse virtutem supremam, ipso quoque superiorem Deo qui totum orbem produxit. Interdum vero se Christum significans, Stantem appellat. Eamque appellationem usurpavit, quasi qui semper constiturus sit, nec habeat corruptionis causam qua corpore concidat. Nec vero Deum mundi conditorem, supremum esse ait : nec mortuos aliquando excitatum iri credit. Hierosolymam negat, montem Garizimum substituit, Pro vere Christo Deo nostro, seipsum prædicat. Legem, propria præsumptione aliter interpretatur; et judicium fore quidem dicit, verum non exspectat.

XXVI. Ut autem ipse religionis opinionem invaderet, factum est ita. Joannes quidam exstitit qui singulis diebus baptizaret : et quemadmodum Domino fuerunt duodecim discipuli, duodecim mensium solis gerentes numerum ; sic ei quoque fuerunt triginta viri principes, menstruam lunæ rationem implentes ; inter quos et una quædam erat mulier, vocata Helena ; ut ne hoc quidem absque premeditatione esset. Cum enim mulier dimidium sit viri, imperfectum tricenarii constituit numerum ; sicut et in luna, cujus incessus non perfectum mensis cursum conficit. Porro horum triginta, Joanni primus ac probatissimus erat Simon.

XXVII. [77] Post mortem autem Joannis, Simon, assumpta Helena, oberrat, plebem conturbans, dicensque eam Helenam de supremis cœlis in terras delatam esse : cujus gratia, inquit, Græci et barbari bellum gesserunt, imaginati speciem veritatis ; et edens multa prodigiosa miracula ; ita ut nisi cognovissemus eum illa per magiam efficere, ipsi quoque fuissemus decepti. Nunc autem quando vesanus ille voluit etiam imponere homnibus religiosis, ab eo secessimus. Etenim cæde se inquinare cœperat ; sicut nobis adhuc amicis velut amicus patefecit ; quod cum pueri animam a suo corpore separasset, infandis quibusdam adjuramentis futuram adjutricem ad eorum quæ ipse vellet repræsentatio-

A ἀκριβῶς πάντα τὰ κατὰ τὸν ἄνδρα εἰδῇς, τινος τε ὢν, καὶ τίς, καὶ πόθεν, καὶ τίνα ἐστὶν ἃ πράττει, καὶ ὅπως, καὶ διὰ τί.

XXV. Σίμων οὖν [69] πατρὸς μέν ἐστιν Ἀντωνίου, μητρὸς δὲ Ῥαχὴλ, Σαμαρεὺς τὸ γένος [70]. ἀπὸ Γιτθῶν [71] τῆς κώμης, οὐ μεῖον ἢ σχοίνους ἓξ τῆς Σαμαρέων πόλεως ἀπεχούσης. Οὗτος ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον γεγονὼς, Ἑλληνικῇ τε παιδείᾳ πάνυ ἑαυτὸν ἐξασκήσας, καὶ τῇ μάγῳ τέχνῃ πολλὰ δυνηθεὶς, καὶ εἰς ἀπόνοιαν ἐπαρθεὶς, θέλει νομίζεσθαί τις εἶναι δύναμις ἀνωτάτω [72], καὶ αὐτοῦ τὸν κόσμον πάντα παραγαγόντος Θεοῦ. Ἐνίοτε δὲ καὶ Χριστὸν ἑαυτὸν αἰνιττόμενος [73] προσαγορεύει (8). Καὶ ταύτῃ δὴ τῇ προσηγορίᾳ κέχρηται, ὡς δὴ συστησόμενός τε ἀεὶ, καὶ φθορᾶς αἰτίαν, ὥστε τὸ σῶμα πεσεῖν, οὐκ ἔχων. Καὶ
B οὔτε Θεὸν τὸν κτίσαντα τὸν κόσμον, ἀνώτατον λέγει εἶναι· οὔτε νεκροὺς ἐγηγέρθαι [74] πιστεύει ποτέ. Τὴν Ἱερουσαλὴμ ἀρνεῖται, τὸ Γαριζεὶν ὄρος ἀντεισφέρει. Ἀντὶ τοῦ ὄντως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἑαυτὸν ἀναγορεύει. Τὰ δὲ τοῦ νόμου ἴδια, προσλήψει [75] ἀλληγορεῖ, καὶ κρίσιν ἔσεσθαι μὲν λέγει, οὐ προσδοκᾷ δέ.

XXVI. Τὸ δὲ παρεισελθεῖν αὐτὸν τῆς [76] θεοσεβείας λόγον, γέγονεν οὕτως. Ἰωάννης τις ἐγένετο ἡμεροβαπτιστής· καὶ ὥσπερ τῷ Κυρίῳ γεγόνασι δώδεκα μαθηταὶ τὸν τοῦ ἡλίου δωδεκάμηνον φέροντες ἀριθμὸν, οὕτω καὶ αὐτῷ ἔξαρχοι γεγόνασιν ἄνδρες τριάκοντα, τὸν μηνιαῖον τῆς σελήνης λόγον ἀποπληροῦντες, ἐν οἷς καὶ μία τις ἦν γυνὴ καλουμένη Ἑλένη, ἵνα μηδὲ τοῦτο ἀνοικονόμητον ᾖ. Ἥμισυ γὰρ ἀνδρὸς οὖσα ἡ γυνὴ, ἀτελῆ τὸν τῆς τριακοντάδος τίθησιν ἀριθμόν· ὥσπερ
C ἄρα καὶ τῆς σελήνης, ἧς ἡ πορεία τοῦ μηνὸς οὐ τέλειον ποιεῖται τὸν δρόμον. Τούτων δὲ τῶν τριάκοντα, τῷ Ἰωάννῃ πρῶτος καὶ δοκιμώτατος ἦν ὁ Σίμων.

XXVII. Μετὰ δὲ τὴν τελευτὴν Ἰωάννου, τὴν Ἑλένην ὁ Σίμων παραλαβὼν, περιέρχεται, τοὺς ὄχλους ἀναστατῶν, αὐτήν τε τὴν Ἑλένην λέγων ἀπὸ τῶν ἀνωτάτω οὐρανῶν κατενεχθῆναι τῷ κόσμῳ· ἧς ἕνεκα Ἕλληνές τε, φησὶ, καὶ βάρβαροι ἐμαχέσαντο, εἰκόνα φαντασθέντες ἀληθείας· καὶ πολλὰ τερατώδη θαυμάσια ποιῶν, ὡς εἰ μὴ ᾔδειμεν ὅτι μαγείᾳ ταῦτα ποιεῖ, ἠπατήθημεν ἂν καὶ αὐτοί. Νῦν δὲ ὅτε πολυμανὴς [78] ἀπατᾷν ἤθελε καὶ τοὺς ἐν θεοσεβείᾳ, ἀπέστημεν ἀπ' αὐτοῦ. Καὶ γὰρ μιαιφονεῖν ἤρξατο, ὡς αὐτὸς ἔτι φίλοις
D οὖσιν ἡμῖν οἷα φίλος ἐξέφανεν, ὅτι παιδίου ψυχὴν τοῦ ἰδίου σώματος χωρίσας, ἀποῤῥήτοις ὅρκοις τισὶ, συνεργὸν πρὸς τὴν τῶν αὐτῷ δοκούντων φαντασίαν, τὸν παῖδα διαγράψας ἐπὶ εἰκόνος, ἔν τινι ἐνδοτέρῳ οἴκῳ, καθ'

VARIÆ LECTIONES.

[68] *Clement* hom. II, cap 18, 21, etc. [69] Σίμων οὖν al. Σίμων οὗτος, ut *Clementin*. II, 22. COT. [70] al. ἔθνος. [71] al. Γητθῶν et Γητθών. [72] al. ἀνωτάτη. [73] al. *Clement*. inser. ἑστῶτα. [74] al. ἐγερθήσεσθαι. [75] al. ἰδίᾳ προλήψει ut *Clement*. [76] al. εἰς τὸν τῆς. [77] *Clement*. hom. II, c. 25. *Recognit*. I. II, c. 12, etc. [78] al. πολὺ μανεὶς et πολυμανεῖς.

VARIORUM NOTÆ.

(8) Χριστὸν ἑαυτὸν αἰνιττόμενος προσαγορεύει. Mirum in nullo exemplari ante προσαγορεύει poni ἑστῶτα, quod et *Clementia* habent, et sequentia postulant. An vocem non intellexit Metaphrastes ? Vide nos ad *Recognit*. I. LXXII. COT.

ὃν αὐτὸς ὑπνοῖ, ἀνατεθειμένην ἔχει. Διὸ, ἀσέβειαν αὐτοῦ καταγνόντες, ἀπέστημεν ἀπ' αὐτοῦ.

XXVIII. Ταῦτα τοῦ Ἀκύλα εἰπόντος, ὁ ἀδελφὸς αὐτοῦ Νικήτης· Ἀναγκαῖον, ἀδελφὲ Κλήμη, ἔφη, τὰ παραλειφθέντα τῷ Ἀκύλᾳ ἐμὲ ὑπομνῆσαι. Πρῶτον μὲν γὰρ ὁ Θεὸς μάρτυς, ὡς οὐδὲν αὐτοῦ ἡμεῖς συνειργασάμεθα ἀσεβὲς, ἀλλ' ὅτι αὐτοῦ πράσσοντος ἱστορήσαμεν. Καὶ μέχρις ὅτε ἀβλαβῆ ποιῶν ἐπεδείνυτο, ἐτερπόμεθα· ὅτε δὲ τὰ μαγείᾳ τινὶ γινόμενα, θεότητι ποιεῖν πρὸς ἀπάτην θεοσεβῶν ἔλεγεν, οὐκ ἔτι αὐτοῦ ἠνεσχόμεθα, καίτοι πολλὰ ἡμῖν ἐπαγγελλομένου· πρῶτον μὲν ναὸν καὶ ἀνδριάντας ἡμῶν κατασκευασθῆναι, καὶ θεοὺς νομισθῆναι [80], καὶ ὑπὸ βασιλέων [81] δοξασθῆναι, καὶ δημοσίων τιμῶν καταξιωθῆναι, καὶ χρήμασιν ἀπεριορίστοις πλουτῆσαι.

XXIX. Ταῦτά τε καὶ τὰ τούτοις μείζονα νομιζόμενα, ἡμῖν ὑπέσχετο, μόνον ἵνα συνόντες αὐτῷ τὸ τῆς ἐγχειρήσεως κακὸν σιωπῶμεν, ὅπως αὐτῷ τὰ τῆς ἀπάτης προκόπτῃ. Καὶ ὅμως οὐ συνεθέμεθα· ἀλλὰ καὶ αὐτὸν τῆς τοιαύτης ἀπονοίας παύσασθαι συνεβουλεύσαμεν, λέγοντες αὐτῷ· Παῦσαι τῆς τοιαύτης τόλμης· Θεὸς εἶναι οὐ δύνασαι· φοβήθητι τὸν ὄντως Θεόν· γνῶθι ὅτι ἄνθρωπος εἶ, καὶ ὅτι σου μικρός ἐστιν ὁ τῆς ζωῆς χρόνος. Κἂν μέγα πλουτήσῃς, ἢ καὶ βασιλεύσῃς, τῷ μικρῷ σου χρόνῳ τῆς ζωῆς ὀλίγα τυγχάνει πρὸς ἀπόλαυσιν· καὶ ἀσεβῶς ζήσαντα αἰωνία κόλασις περιμένει. Διὸ φοβεῖσθαι [82] τὸν Θεὸν συμβουλεύομεν, ὑφ' οὗ κριθῆναι ἔχει ἡ ἑκάστου ψυχὴ περὶ ὧν ἔπραξεν ἐνταῦθα.

XXX. Ὁ δὲ ταῦτα ἀκούσας, ἐγέλασεν. Ἡμῶν δὲ εἰπόντων· Τί τῶν [83] τά σοι συμφέροντα συμβουλευόντων καταγελᾷς; ἐκεῖνος· Γελῶ ὑμῶν, ἔθη, τὴν μωρὰν ὑπόληψιν, ὅτι πιστεύετε ἀθάνατον εἶναι τὴν τοῦ ἀνθρώπου ψυχήν. Κἀγὼ ἔφην· Οὐ θαυμάζομεν, ὦ Σίμων, εἰ ἀπατᾷν ἡμᾶς ἐπιχειρεῖς, ἀλλ' ἐκπληττόμεθα [84] τίνι λόγῳ καὶ σεαυτὸν ἀπατᾷς. Λέγε οὖν ἡμῖν, ὦ Σίμων, εἰ καὶ τῶν ἄλλων οὐδεὶς πεπληροφόρηται ἀθάνατον εἶναι τὴν ψυχὴν, ἀλλ' οὖν γε σὺ καὶ ἡμεῖς; σὺ μὲν, ὡς ἀνθρωπείου σώματος χωρίσας αὐτὴν, καὶ προσομιλήσας καὶ ἐπιτάξας· ἡμεῖς δὲ, ὡς συμπαρόντες, καὶ τὴν ἐπιταγὴν ἀκούσαντες, καὶ τὸ κελευθὲν [85] ἐναργῶς ἱστορήσαντες. Καὶ ὁ Σίμων· Ἐγὼ μὲν οἶδα τί λέγετε· ὑμεῖς δὲ οὐκ οἴδατε περὶ τίνος [86] διαλέγεσθε. Καὶ ἐγὼ Νικήτης ἔφην· Ἐπεὶ οἶδας, λέγε· εἰ δὲ μὴ οἶδας, μὴ δόκει ἡμᾶς τῷ λέγειν σὲ μὲν εἰδέναι, ἡμᾶς δὲ μὴ, ἀπατᾶσθαι δύνασθαι. Οὐ γάρ ἐσμεν οὕτω νήπιοι, ἵνα πανοῦργον ἐνσπείρῃς ἡμῖν ὑποψίαν, καὶ τῷ [87] νομίζειν σέ τι τῶν ἀποῤῥήτων εἰδέναι, [88] ὑποχειρίους λάβῃς [89].

XXXI. Καὶ ὁ Σίμων ἔφη· Ὅτι μὲν ἐχώρισα ψυχὴν ἀνθρωπείου σώματος, οἶδα ὑμᾶς εἰδότας· ὅτι δὲ οὐχ

A nem; puero in imagine delineato, consecratam haberet imaginem in quadam interiori æde, in qua ipse caperet somnum. Quapropter, damnata ejus impietate, abscessimus ab eo.

XXVIII. [79] Hæc cum Aquila dixisset, frater ejus Nicetas: Necesse est, frater Clemens, inquit, ea me commemorare, quæ ab Aquila prætermissa sunt. Primum equidem Deus testis est, nos in nullo opere impio adjuvisse eum: sed illo faciente, tantum spectasse. Et quandiu opera innoxia edebat, delectabamur: quando autem quæ per magiam fiebant, per divinitatem se facere, ad pios homines decipiendos, dixit, non amplius eum passi sumus, quamvis multa nobis promitteret; primum quidem, fore ut templum et statuæ nobis exstruerentur, diique existi- B maremur; item a regibus magnificaremur atque donaremur publicis honoribus; nec non infinita vi pecuniæ ditesceremus.

XXIX. Hæc, et alia quæ putantur majora, nobis pollicebatur, modo ut cum eo viventes, pravum ejus molimen taceremus, quo fraus ei succederet. Attamen assensi non sumus: quinimo consilium dedimus, ut ab ista vecordia desisteret; dicentes ei: Cessa ab hujusmodi audaci facinore. Deus esse non potes: time eum qui vere Deus est; cognosce te esse hominem, breveque esse tempus vitæ tuæ. Quanquam admodum locuples, vel etiam rex evaseris, exiguo vitæ tuæ spatio pauca sunt quibus frueris: et viventem impie, æternæ pœna manet. Quare auctores sumus, Deum verearis, a quo judicari debet uniuscujusque anima, pro iis quæ hic C gessit.

XXX. Hæc ille audiens, risit. Cumque diceremus: Cur eos irrides, qui tibi utilia suadent? Ille: Rideo, inquit, stultam opinionem vestram, quod creditis immortalem esse hominis animam. Et ego respondi: Non miramur, o Simon, si fallere nos conaris, sed obstupescimus, qua ratione etiam te ipse decipias. Effare igitur nobis, Simon; licet aliorum nemo compertum haberet, animam esse immortalem; tu tamen et nos habemus: tu quidem, ut qui eam a corpore humano diremisti, qui collocutus es, qui imperasti: nos vero, ut qui adfuimus, et imperium audivimus, et quod jussum est vidimus clare. Ad hæc Simon: Ego quidem scio quid dicatis; vos autem nescitis qua de re loquamini. Ac D ego Nicetas dixi: Quandoquidem scis, edissere: quod si nescias, ne existimes decipi nos posse, dum ais, te quidem scire, nos autem nequaquam. Adeo enim stolidi non sumus, ut nobis vafram inseras suspicionem; redigasque nos in tuam potestatem, existimantes aliquid ineffabilium cognosci a te.

XXXI. Respondit Simon: Quod quidem disjunxerim animam ab humano corpore, novi vos scire:

VARIORUM NOTÆ.

[79] *Clement.* hom. II, c. 27, etc. [80] al. inser. καὶ ὑπὸ ὄχλων προσκυνηθῆναι. [81] al. βασιλέως. Paulo post μείζονα abest a duobus mss. Cot. [82] al. φοβεῖσθαί σοι et σε. [83] al. ἡμῶν. [84] al. ἐκπεπλήγμεθα. [85] al. κελευσθέν. [86] al. τίνων. [87] al. τοῦ. al. ἐκ τοῦ. Cot. [88] al præpon. καὶ οὕτως ἐπιθυμίᾳ κολαζομένους ἡμᾶς. [89] al. λαβὼν ἔχῃς.

quod vero non anima defuncti ministret, sed aliquis dæmon, qui se animam esse simulat, novi vos ignorare. Et ego Nicitas excepi : In vita multa incredibilia audivimus : hoc tamen sermone amentiorem nos unquam audituros non speravimus. Nam si dæmon fingit se animam mortui esse, quinam erat animæ usus, ut a corpore separaretur ? Nonne ipsi præsentes audivimus te, cum animam e corpore adjurando evocares ? Et qua ratione, uno adjurato, alter non adjuratus, tanquam veritus obedit ? Nonne etiam tu aliquando a nobis rogatus, quam ob causam interdum cessarent assessiones, respondisti : Quia anima, completo super terram tempore quod in corpore peractura erat, ad inferos vadit : ac subjunxisti, animas eorum, qui propria morte obierunt, quoniam in inferis hinc secedentes custodiuntur, non facile permitti venire ?

A ἡ τοῦ τεθνεῶτος ψυχὴ ὑπουργεῖ, ἀλλὰ δαίμων τις ὑποκρινόμενος [90] εἶναι ψυχὴ [91], οἶδα ὑμᾶς ἀγνοοῦντας· Καὶ ἐγὼ Νικήτης ἔφην· Πολλὰ ἐν τῷ βίῳ ἠκούσαμεν ἄπιστα· τοῦ δὲ τοιούτου λόγου ἀνοητότερον οὐ προσεδοκήσαμεν ἀκοῦσαί ποτε. Εἰ γὰρ δαίμων ὑποκρίνεται ἡ τοῦ τεθνεῶτος εἶναι ψυχὴ, τίς ἄρα τῆς ψυχῆς χρεία, τοῦ χωρισθῆναι τοῦ σώματος ; Οὐκ αὐτοὶ δὲ παρόντες ἠκούσαμέν σου, τοῦ σκήνους τὴν ψυχὴν ἐξορκίζοντος ; πῶς δὲ καὶ ἄλλου ὁρκιζομένου, ἕτερος μὴ [92] ὁρκισθεὶς, ὡς φοβηθεὶς, ὑπακούει ; Οὐκ ἄρα δὲ καὶ αὐτὸς ἐξεταζόμενός ποτο πρὸς ἡμῶν, τίνος χάριν ἐνίοτε καὶ παύονται αἱ προσεδρεῖαι, εἴρηκας, ὅτι ψυχὴ πληρώσασα τὸν ὑπὲρ γῆς χρόνον ὃν ἔμελλεν ἐν σώματι διατελεῖν, εἰς ᾅδην πορεύεται· προσετίθεις δὲ λέγων, ὅτι τῶν ἰδίῳ B θανάτῳ τελευτησάντων αἱ ψυχαὶ, ἐπειδὴ πρὸς ᾅδην αὐτόθι χωρήσασαι φρουροῦνται, εὐκόπως [93] ἐλθεῖν ἀφίενται ;

XXXII. Hæc Nicetas cum protulisset, Aquila iterum dixit : Cuperem a te id unum discere, Simon : sive anima sit, sive, dæmon, id quod adjuratur ; cujusnam tandem metu, adjurationes non contemnit ? Et Simon : Pœnas, inquit, persoluturam se intelligit anima, si non obtemperet. Aquila vero : Itaque si anima adjurata venit, etiam judicium fiet. Si ergo animæ sunt immortales, omnino et judicium erit. Quamobrem si eos quoque qui in malam actionem sunt adjurati, tumque non obtemperarunt, condemnandos ais ; quo modo tu non timuisti, eos cogere, cum qui coguntur, propter contumaciam puniantur ? Nam te jam non esse mulctatum pro iis quæ designasti, mirum non est : cum judicium nondum sit, ut tu quidem pœnas des eorum ad quæ coegisti ; quod autem coactum est, veniam accipiat, quia malo faciniori adjuramentum prætulerit. Simon autem, his auditis, ira percitus, mortem, nisi taceremus, nobis minatus est.

XXXII. Ταῦτα τοῦ Νικήτου εἰπόντος, Ἀκύλας αὐτὸς πάλιν ἔφη· Ἐβουλόμην παρὰ σοῦ τοῦτο μόνον μαθεῖν, Σίμων, εἴτε ψυχὴ, εἴτε δαίμων ἐστὶ τὸ ὁρκιζόμενον, τί δὲ καὶ φοβούμενον οὐ παραπέμπεται τοὺς ὅρκους ; Καὶ ὁ Σίμων· Κόλασιν, φησὶ, παρακούσασα οἶδε μέλλειν παθεῖν. Καὶ ὁ Ἀκύλας· Οὐκοῦν εἰ [94] ὁρκιζομένη ψυχὴ ἔρχεται, καὶ κρίσις ἄρα γίνεται. Εἰ οὖν αἱ ψυχαὶ ἀθάνατοι, πάντως ἐστὶ καὶ κρίσις. Ὥστε εἰ καὶ τοὺς ἐπὶ κακῇ πράξει ὁρκισθέντας, εἶτα καὶ παρακούσαντας καταδικασθῆναι φῄς, πῶς οὐ πεφόβησαι σὺ τούτους καταναγκάζειν, τῶν ἀναγκαζομένων ἐπὶ παρακοῇ κολαζομένων ; τὸ γὰρ ἤδη σε μὴ παθεῖν ἐφ' οἷς ἔδρασας, C οὐ θαῦμα· ἐπεὶ μήπω κρίσις ἐστὶν, ἵνα σὺ μὲν δίκην δῷς περὶ ὧν ἠνάγκασας, τὸ δὲ ἀναγκασθὲν ὑπὸ συγγνώμην γένηται, ὡς τῆς κακῆς πράξεως τὸν ὅρκον προτιμῆσαν. Ὁ δὲ τούτων ἀκούσας ὠργίσθη, θάνατον, εἰ μὴ σιωπῶμεν, ἡμῖν ἀπειλήσας.

XXXIII. Postquam Aquila hæc dixit, ego Clemens interrogavi, quænam essent miracula quæ faceret. Illi vero responderunt : [95] Facit ut statuæ ambularent, in igne volutans se, non uritur, interdum volat, ex lapidibus panes facit, serpens fit, in capram transformatur, duas facies ostendit, in aurum convertitur, portas occlusas aperit, ferrum solvit, in conviviis simulacra formarum omnigenum exhibet, facit ut in domo vasa sponte ferri ad ministerium videantur, nec cernantur qui ferunt. Ista memorantes audiens, mirabar : testabantur autem ipse talia se vidisse.

XXXIII. Ταῦτα τοῦ Ἀκύλα εἰπόντος, ἐγὼ Κλήμης ἐπυθόμην· τί δ' ἄρα ἐστὶν ἃ ποιεῖ θαυμάσια. Οἱ δέ· Ἀνδριάντας, εἶπον, ποιεῖ περιπατεῖν· καὶ κυλιόμενος ἐπὶ πῦρ οὐ καίεται· ἐνίοτε δὲ καὶ πέταται, καὶ ἐκ λίθων ἄρτους ποιεῖ, ὄφις γίνεται, εἰς αἶγα μεταμορφοῦται, διπρόσωπος γίνεται, εἰς χρυσὸν μεταβάλλεται· θύρας κεκλεισμένας ἀνοίγει, σίδηρον λύει, ἐν δείπνοις εἴδωλα παντοδαπῶν ἰδεῶν παρ- D ίστησι· τὰ ἐν τῇ οἰκίᾳ σκεύη ὡς αὐτόματα φερόμενα πρὸς ὑπηρεσίαν ὁρᾶσθαι ποιεῖ, τῶν φερόντων οὐ βλεπομένων. Γαῦτα λεγόντων, ἀκούων [96] ἐθαύμαζον· ἐμαρτύρουν δὲ τὰ τοιαῦτα αὐτοὶ ἱστορηκέναι [97].

XXXIV. [98] His ita enarratis, venit Zacchæus, et ista Petro significavit : Jam nunc, Petre tempus est, ut exeas ad disserendum cum iis qui convenerunt. Multa enim turba in atrio congregata te op-

XXXIV. Τούτων οὕτω ῥηθέντων, ἧκε Ζακχαῖος τοιαῦτα τῷ Πέτρῳ διασαφῶν· Ἤδη λοιπὸν, ὦ Πέτρε, καιρὸς πρὸς τὸ ἐκβάντα σε διαλεχθῆναι τοῖς συνελθοῦσι. Πολὺς γὰρ ἐπὶ τῆς αὐλῆς συναθροισθεὶς ἀνα-

VARIÆ LECTIONES.

[90] al. inser. ἐπεὶ μὴ ὑπάρχῃ ; vel ἐπεὶ μηδὲ ὑπάρχει. [91] al. inser. αὐτός. Al add. ἐνεργεῖ. [92] al. ὁ μή. [93] al. οὐκ εὐκόλως. *Clement.* οὐκ εὐκόπως. [94] al. ἡ. [95] l. s. *Recogn.* II, 9. Anast., Cedren., Niceph. [96] al. add. αὐτῶν. [97] al. inser. παρόντες. [98] *Clement.* hom. III, cap. 29, etc. *Recogn.* l. II. c. 19, etc.

μένει σε ὄχλος, οὗ ἐν μέσῳ καθάπερ τις πολέμαρχος [99] ὑπ' αὐτῶν δορυφορούμενος ἕστηκε Σίμων. Ὁ δὲ Πέτρος ἀκούσας, εὐχῆς χάριν ὑποχωρῆσαί μοι κελεύσας [100] μήπω τὸ σωτήριον βάπτισμα δεξαμένῳ, τοῖς ἤδη τελείοις· Ἀναστάντες, ἔφη, εὐξώμεθα, ἵνα Θεὸς τοῖς ἀνεκλείπτοις αὐτοῦ οἰκτιρμοῖς συνεργήσῃ μοι ὁρμῶντι πρὸς σωτηρίαν τῶν ὑπ' αὐτοῦ κτισθέντων ἀνθρώπων. Καὶ τοῦτο εἰπὼν, εὐξάμενος ἐξῄει εἰς τὸν ὕπαιθρον τῆς αὐλῆς τόπον μέγαν ὄντα, ἔνθα συνεληλυθότες ἦσαν πολλοὶ, ἵν' ἀκουσταὶ γένωνται τῶν λεχθησομένων. Στὰς οὖν καὶ ἰδὼν μετὰ πάσης ἡσυχίας τὸν πάντα λαὸν εἰς αὐτὸν ἀτενίζοντα, Σίμωνα δὲ τὸν Μάγον εἰς μέσον ἑστῶτα τοῦ λέγειν ἤρξατο οὕτως·

XXXV. Εἰρήνη εἴη πᾶσιν ὑμῖν τοῖς ἑτοίμως ἔχουσι δεξιὰς διδόναι τῇ τοῦ Θεοῦ ἀληθείᾳ, ἣν αὐτοῦ μεγάλην τε καὶ ἀσύγκριτον ἐν τῷ νῦν κόσμῳ ὑπάρχουσαν δωρεὰν, ὁ ἀποστείλας ἡμᾶς Κύριος Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ ζῶντος Θεοῦ, ταύτην ἡμῖν ἐνετείλατο τὴν προσηγορίαν, πρὸ τῶν τῆς διδασκαλίας λόγων ὑμῖν ἐπιφθέγγεσθαι· ἵνα ἐάν τις ᾖ ἐν ὑμῖν εἰρήνης τέκνον, διὰ τῆς διδασκαλίας ἡμῶν καταλάβῃ αὐτὸν ἡ εἰρήνη· εἰ δὲ ταύτην λαβεῖν ὑμῶν τις μὴ θέλοι, τότε καὶ ἡμεῖς ἀποτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν ἡμῶν εἰς μαρτύριον, εἰς ἑτέρων ἀπίωμεν [3] οἰκίας καὶ πόλεις. Καὶ ἀληθῶρ ὑμῖν λέγομεν· Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῷ τῆς ἀπειθείας τόπῳ ἐνδιατρίβειν· πρῶτον μὲν, ὅτι ἀφ' ἑαυτῶν οὐχ οἷοί τε γεγόνατε τὴν ἀλήθειαν ἐπιγνῶναι· δεύτερον, ὅτι τὰ καθ' ἡμᾶς ἀκούσαντες, οὐκ ἤλθετε μέχρις ἡμῶν· τρίτον, ὅτι καὶ ἐλθοῦσιν ἡμῖν ἠπειθήσατε. Διὸ φειδόμενοι ὑμῶν, προῖκα εὐχόμεθα τὴν εἰρήνην ἡμῶν ἐλθεῖν ἐφ' ὑμᾶς. Εἰ οὖν ταύτην ἔχειν ἐθέλετε, δεῖ ὑμᾶς προθύμως τοὺς περὶ τῆς εὐσεβείας δέξασθαι λόγους, καὶ τὴν Θεῷ ἀρέσκουσαν πολιτείαν ἐπανελέσθαι, ἵν' εὐσεβῶς καὶ δικαίως ζήσαντες, τῶν αἰωνίων ἀγαθῶν γένησθε κληρονόμοι.

XXXVI. Καὶ τοῦ Πέτρου ταῦτα εἰπόντος, καὶ περὶ τῶν ἔργων τοῦ Θεοῦ διδάξαντος, καὶ πόσα παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ τὰ ἀγαθὰ ἐδωρήθη, καὶ παραινέσαντος πολλὰ περὶ μοναρχίας, ὁ Σίμων ἔξω τοῦ ὄχλου βοῇ μεγάλῃ ἔφη· Τί ψευδόμενος ἀπατᾷν θέλεις τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον· πείθων αὐτοὺς, θεοὺς μήτε ὀνομάζειν, μήτε λέγειν ἐξὸν εἶναι; τῶν παρὰ Ἰουδαίοις δημοσίων βίβλων πολλοὺς θεοὺς λεγουσῶν. Καὶ νῦν δὲ μετὰ πάντων ἀπ' αὐτῶν σοι τῶν βιβλίων περὶ τοῦ δεῖν θεοὺς νομίζειν, συζητῆσαι βούλομαι· πρότερον περὶ οὗ ἔφης Θεοῦ, δείξας μὴ αὐτὸν τὴν ἀνωτάτω καὶ πάντα δυναμένην Πρόνοιαν, καθ' ὃ ἀπρόγνωστός ἐστιν, ἀτελὴς, ἐνδεὴς, καὶ ὅλως οὐκ ἀγαθός. Ἀμέλει καὶ τούτου δειχθέντος ἀπὸ τῶν Γραφῶν, ὡς ἐγὼ λέγω, ἕτερος ἀγράφως περιλείπεται εἶναι Θεὸς, προγνωστικὸς, τέλειος, ἀνενδεὴς, ἀγαθὸς,

A peritur; in quorum medio tanquam aliquis belli dux ab iis protectus ac stipatus constitit Simon. Hoc audito Petrus, cum orationis gratia secedere me jussisset, qui nondum consecutus fueram salutare baptisma ; ad jam perfectos ac baptizatos, Surgentes, inquit, oremus, ut Deus pro suis perpetuis miserationibus opituletur mihi prodeunti ob salutem hominum ab ipso creatorum. Utque hoc dixit, oratione facta, exiit in atrii locum subdialem et magnum, quo multi convenerant, ut fierent auditores eorum quæ dicenda essent. Stans, ergo, cernensque universum populum summo cum silentio oculos in ipsum conjicere, ac Simonem Magum in medio stare, hunc in modum loqui cœpit :

XXXV. [1] Pax sit omnibus vobis, qui parati estis B dexteras dare veritati Dei ; quam, magnum nempe ac incomparabile ejus munus in hoc mundo ut in salutationem vobis ante sermones doctrinæ acclamemus præcepit nobis qui misit nos Dominus Jesus Christus, Filius Dei vivi ; quo si aliquis inter vos sit filius pacis, per doctrinam nostram pax eum complectatur ; si quis autem vestrum eam accipere nolit, tunc et nos excusso pedum nostrorum pulvere in testimonium, ad aliorum domos ac civitates abeamus [2]. Ac vere dicimus vobis : Tolerabilius erit in die judicii, fuisse in terra Sodomorum et Gomorrhæ, quam in loco incredulitatis : primo quidem, quia non potuistis ex vobis agnoscere veritatem : secundo, quoniam de nostris cum audieritis, non venistis usque ad nos : tertio, quia etiam nobis ad vos profectis non credidistis. Quare C gratificantes vobis, ultro oramus, ut pax nostra veniat super vos. Si ergo eam habere vultis, oportet vos alacri animo suscipere habitos de pietate sermones, atque Deo placitam amplecti vitam ; ut, pia justaque vita transacta, æternorum bonorum hæredes sitis.

XXXVI. [4] Quæ cum Petrus dixisset, ac de operibus Dei docuisset, quantaque bona a Deo homini sint donata; atque multa monuisset de monarchia, id est unius Dei principatu, Simon extra turbam voce magna infit : Quid astantem tibi imperitam multitudinem vis mentiendo decipere, dum persuades eis, deos nec nominare licitum esse, nec dicere ? cum publici Judæorum libri multos deos D asseverent ? Et vero nunc coram omnibus, ex iis libris tecum disputare volo de eo, quod deos exsistere sit existimandum : et prius de eo Deo quem protulisti, ostendo eum non esse supremam ac omnipotentem Providentiam ; quia improvidus futurorum est, imperfectus, indigens, ac omnino non bonus. Quo, nimirum, demonstrato ex Scripturis, quomadmodum ego assero, restat ut sit alius Deus

VARIÆ LECTIONES

[99] al. πολεμάρχης. al. ταξίαρχος. [100] al. inser. μικρόν. [1] *Recogn.* l. II, c. 30. [2] Matth. x, 12. Marc. VI, 11 ; Luc. x, 5. [3] al. ἀπιώμενοι. [4] *Clement.* hom. III, c. 38, etc. l. s. *Rec.* II, 37. Cedren.

in Scriptura non commemoratus, præsolus futurorum, perfectus, non indigens, bonus, ab omnibus malis liber : ille autem quem loqueris, mundi opifex, contrariis oppositus est.

XXXVII. Statim ergo, qui ad ejus similitudinem factus est, Adamus, etiam cæcus creatur, propter quod et transgressor invenitur, atque a Deo ejicitur, morteque mulctatur. Simili quoque modo, qui finxit illum, quandoquidem cuncta non videt, in Sodomorum exitio, *Venite*, inquit, *et descendentes videamus, an secundum clamorem ipsorum, qui ad me venit, perficiant ; sin minus, ut sciam* [8], et ignarum se ostendit. Quando autem dicit de Adamo : *Ejiciamus eum, ne forte extensa manu sua attingat lignum vitæ, et comedat, et vivet in æternum* [9] ; invidet. Cumque scriptum est : *Secum reputavit Deus, quod fecisset hominem* [10] ; et pœnitentia ducitur, et ignorat : nam illud, *secum reputavit*, consideratio est, qua aliquis ob eorum quæ cupit ignorationem, finem diligenter explorare vult ; aut est pœnitentis de re quæ præter sententiam contigit. Quod etiam scriptum est : *Odoratus est Dominus odorem suavitatis* [16] ; indigentis est, et nidore carnium delectatum fuisse, non boni. Tentare autem, sicut scriptum est : *Tentavit Dominus Abrahamum* [18] ; mali est, ac ejus qui ignoret exitum patientiæ.

XXXVIII. Sicque Simon, multis Scripturæ dictis male assumptis probare nitebatur Deum perinde ac homines omni perpessioni obnoxium esse. Tum Petrus : An, inquit, qui malus ac plane improbus est nullatenus velit se ipse arguere in iis quæ peccat' responde mihi. Simon respondit : Minime velit. Et Petrus : Quo modo igitur malus ac improbus esse potest Deus, cum ipsius voluntate opprobria in illum conscripta, publice proposita sint? Ac Simon : Fieri potest, ut illius reprehensio citra ipsius sententiam ab alia Virtute sit scripta. Dixit Petrus : Primum ergo hoc quæramus. Si suo quidem consilio se reprehendit, ut tu prius ultro confessus es, improbus non est : sin vero alia Virtute, inquirendum est ac omnibus viribus examinandum, num quis eum qui solus bonus existat, omnibus malis subjecerit.

XXXIX. Et Simon : Manifestum est te nolle audire ex Scripturis reprehensionem Dei tui. Ac Petrus : Ipse id facere mihi videris ; qui enim ordinem quæstionis vitat, examen verum fieri non vult. Unde ego qui ordine utor, et volo primum scriptorem considerari ; manifeste cupio recta via incedere. Tum Simon : Primo fatere, an vera sint quæ scripta sunt in mundi opificem ; nec sit omnium supremus, cum juxta Scripturas omni nequitiæ sit obnoxius ; et postea scriptorem quæremus. Petrus

A πάντων ἀπηλλαγμένος κακῶν· ὃν δὲ σὺ φῂς δημιουργὸν, τοῖς ἐναντίοις ἀντικείμενος τυγχάνει.

XXXVII. Αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν αὐτοῦ γεγονὼς Ἀδὰμ, καὶ τυφλὸς κτίζεται [5], ἐφ' ᾧ καὶ παραβάτης εὑρίσκεται, καὶ τοῦ [6] Θεοῦ [7] ἐκβάλλεται, καὶ θανάτῳ τιμωρεῖται. Ὁμοίως τε καὶ ὁ πλάσας αὐτὸν, ἐπεὶ μὴ τὰ πάντα ὁρᾷ, ἐπὶ τῇ Σοδόμων καταστροφῇ· Δεῦτε, λέγει, καὶ καταβάντες ἴδωμεν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ συντελοῦνται, εἰ δὲ μὴ, ἵνα γνῶ· καὶ ἀγνοοῦντα ἑαυτὸν δείκνυσι. Τῷ δὲ εἰπεῖν περὶ τοῦ Ἀδάμ· Ἐκβάλωμεν ἄὐτὸν, μή πως ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ B φάγῃ, καὶ ζήσει [11] εἰς τὸν αἰῶνα, φθονεῖ [12]. Καὶ τῷ γεγράφθαι, ὅτι· Ἐνεθυμήθη ὁ Θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον· καὶ μετανοεῖ, καὶ ἀγνοεῖ· τὸ γὰρ ἐνεθυμήθη, σκέψις ἐστὶ, ἥ τις δι' ἄγνοιαν ὧν βούλεται, τὸ τέλος ἀκριϐῶσαι θέλει, ἢ ἐπὶ τῷ παρὰ [13] γνώμην ἀποβάντι μεταμελουμένου [14]. Καὶ τὸ γεγράφθαι ὅτι [15]· Ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας, ἐνδεοῦς ἐστι, καὶ τὸ ἐπὶ κνίσσῃ σαρκῶν ἡσθῆναι, οὐκ ἀγαθοῦ. Τὸ δὲ πειράζειν, ὡς γέγραπται ὅτι [17]· Ἐπείραζε Κύριος τὸν Ἀβραὰμ, κακοῦ, καὶ τὸ τέλος τῆς ὑπομονῆς ἀγνοοῦντος.

XXXVIII. Ὁμῶς ὁ Σίμων πολλὰ τῆς Γραφῆς κακῶς ἐκλαμβάνων, δεικνύειν ἔσπευδε παντὶ πάθει τοῖς ἀνθρώποις ὁμοίως τὸν Θεὸν ὑποκείμενον. Καὶ ὁ Πέτρος· Εἰ μηδὲν [19] ἀγαπᾷ, φησὶν, ὁ κακὸς καὶ πάνυ μοχθηρὸς. ἐφ' οἷς ἁμαρτάνει ἑαυτὸν ἑαυτὸν ἐλέγχειν, ἀπό-C κριναί μοι. Καὶ ὁ Σίμων· Οὐκ ἀγαπᾷ, ἔφη· Καὶ ὁ Πέτρος· Πῶς οὖν κακὸς καὶ μοχθηρὸς εἶναι δύναται ὁ Θεὸς, εἴπερ αὐτοῦ θελήματι τὰ κατ' αὐτοῦ δεινὰ [20] δημοσίᾳ γραφέντα προετέθη ; Καὶ ὁ Σίμων· Ἐνδέχεται μὴ κατὰ προαίρεσιν αὐτοῦ ὑφ' ἑτέρας Δυνάμεως τον κατ' αὐτῶν γραφῆναι ἔλεγχον· Καὶ ὁ Πέτρος ἔφη· Πρῶτον οὖν τοῦτο ζητήσωμεν. Εἰ μὲν ὑπὸ τῆς ἑαυτοῦ βουλῆς ἑαυτοῦ ἤλεγξεν, ὡς φθάσας σὺ πρότερον ὡμολόγησας, μοχθηρὸς οὐκ ἔστιν· εἰ δὲ καὶ ὑφ' ἑτέρας Δυνάμεως, ζητητέον καὶ παντὶ σθένει ἐξεταστέον, μή τις αὐτὸν μόνον ἀγαθὸν ὄντα, ἐπὶ πᾶσι τοῖς κακοῖς ὑπέλαβε [21].

XXXIX. Καὶ ὁ Σίμων. Πρόδηλος εἶ φεύγων ἀπὸ τῶν Γραφῶν ἀκοῦσαι τὸν κατὰ τοῦ Θεοῦ σου ἔλεγχον. Καὶ ὁ Πέτρος· Αὐτός μοι φαίνῃ τοῦτο ποιῶν· ὁ γὰρ D τάξιν ζητήσεως φεύγων, ἐξέτασιν ἀληθῆ γενέσθαι οὐ βούλεται. Ὅθεν ἐγὼ τῇ τάξει χρώμενος, καὶ βουλόμενος πρῶτον τὸν συγγραφέα νοηθῆναι, πρόδηλός εἰμι τὴν εὐθεῖαν ὁδεύειν θέλων. Καὶ ὁ Σίμων· Ὁμολόγησον πρῶτον, εἴ γε τὰ κατὰ τοῦ δημιουργοῦ γεγραμμένα ἀληθῆ ἐστι, καὶ οὐκ ἔστιν ὁ τῶν ὅλων ἀνώτερος, κατὰ τὰς Γραφὰς πάσῃ ὑποκείμενος μοχθηρίᾳ, καὶ ὕστε-

VARIÆ LECTIONES.

[5] al. add. καὶ γνῶσιν ἀγαθοῦ τυχὸν ἢ κακοῦ μὴ ἔχων γνωρίζεται. [6] Forte τοῦ θείου παραδείσου, *e divino paradiso*. CLER. [7] al. παραδείσου. [8] Gen. XVIII, 21. [9] Gen. III, 2?. [10] Gen. VI, 6. [11] al. ζήσῃ. [12] al. καὶ φθονεῖ. [13] al. μὴ κατά. al κατά. [14] al. μεταμελομένου. [15] al. Καί. [16] Gen. VIII, 21. [17] al. Καί. [18] Gen XXII, 1. [19] al μή. [20] al. κακά. [21] ὑπέβαλε *Clement.*

ρον ζητήσομεν [22] τὸν συγγράψαντα. Καὶ ὁ Πέτρος· Ἵνα μὴ δόξω [23], ἀποκρίνομαι. Ἐγὼ φημι ὅτι τὰ δοκοῦντά σοι ταῦτα κατὰ Θεοῦ γεγράφθαι, ἀληθῆ μέν ἐστιν· ἀλλὰ καὶ οὕτως, οὔπω τὸν Θεὸν δείκνυσι μοχθηρόν. Καὶ ὁ Σίμων· Πῶς οὖν, ἔφη, τοῦτο συστῆσαι δύνασαι;

XL. Καὶ ὁ Πέτρος· Τὸν Ἀδὰμ τυφλὸν λέγεις γεννηθῆναι, ὅπερ οὐκ ἦν. Οὐ γὰρ ἂν τυφλῷ ἐντελλόμενος ἐδείκνυε λέγων· Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, μὴ γεύσησθε. Καὶ ὁ Σίμων μεταβαλών· Τυφλὸν ἔλεγε (*a*) τὸν νοῦν αὐτοῦ. Καὶ ὁ Πέτρος· Πῶς καὶ τὸν νοῦν τυφλὸς ἠδύνατο εἶναι, ὁ πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ, συμφώνως τῷ κτίσαντι αὐτὸν οἰκεῖα πᾶσιν ἐπιθεὶς τοῖς ζώοις ὀνόματα; Καὶ ὁ Σίμων· Εἰ πρόγνωσιν εἶχεν Ἀδὰμ, διὰ τί οὐ προέγνω τὸν τὴν γυναῖκα αὐτοῦ ἀπατήσαντα ὄφιν; Καὶ ὁ Πέτρος· Εἰ πρόγνωσιν μὴ εἶχεν Ἀδὰμ, πῶς τοῖς υἱοῖς αὐτοῦ πρὸς τὰς ἐσομένας πράξεις ἅμα τῷ γεννηθῆναι, καὶ τὰ ὀνόματα ἐπιτέθεικε; τὸν μὲν πρῶτον καλέσας Κάϊν, ὃ ἑρμηνεύεται ζῆλος, ὃς καὶ ζηλώσας ἀνεῖλε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ, ὃ ἑρμηνεύεται πένθος· ἐπ' αὐτῷ γὰρ πρώτῳ φονευθέντι ἐπένθησαν οἱ γονεῖς. Εἰ δὲ Ἀδὰμ ἔργον Θεοῦ ὑπάρχων πρόγνωσιν εἶχε, πολλῷ μᾶλλον ὁ δημιουργήσας αὐτὸν Θεός. Σὺ δὲ, ὦ Σίμων, κακῶς νοῶν τὰς θείας Γραφὰς, φιμώθητι.

XLI. Τὸ δὲ γεγράφθαι· Ἐνεθυμήθη ὁ Θεὸς, ὡς λογισμῷ χρησαμένου διὰ τὴν ἄγνοιαν· ἔτι μὴν καί· Ἐπείραζε Κύριος τὸν Ἀβραὰμ, ἵνα γνῷ εἰ ὑπενέγκῃ· καὶ τό· Καταβάντες ἴδωμεν εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ· καὶ ἵνα μὴ εἰς πολὺ μηκύνω τὸν λόγον, σαφῆ τὴν διάνοιαν καὶ διάγνωσιν αἱ ῥήσεις ἔχουσιν αὗται, μὴ καταγινώσκουσαι τοῦ Θεοῦ ἄγνοιαν, κἂν τὴν σὴν τοῦτο διαφεύγῃ διάνοιαν [29]· ὅτι δὲ ὄντως προγινώσκει, λέγει τῷ Ἀβραάμ· Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτὸ, κακώσουσι, καὶ ταπεινώσουσιν αὐτοὺς ἔτη τετρακόσια· τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς· σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, τραφεὶς ἐν γήρᾳ καλῷ· τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. Ταῦτα δὲ πάντως μετὰ πολλὰς [31] ἄρα συμβήσεσθαι μέλλοντα γενεὰς [32], προγινώσκοντός ἐστι καὶ σαφέστατα εἰδότος.

XLII. Ἡ μὲν οὖν περὶ τούτων ζήτησις, καὶ εἰς τρίτην παρετείνετο τὴν ἡμέραν, ἐπιφωσκούσης δὲ τῆς τετάρτης, φυγὰς ὁ Σίμων εἰς Τύρον ᾤχετο. Καὶ οὐ μετὰ πολλὰς ἡμέρας ἀφίκοντό τινες ἐκεῖθεν ἐπαγγέλλοντες [34] τῷ Πέτρῳ, ὅτι Σίμων μεγάλα θαυμάσια ἐν Τύρῳ ποιῶν, πολλοὺς τῶν ἐκεῖ κατέπληξε, καὶ σὲ

autem : Ne id de me videatur, respondeo. Ego aio, ista, quæ tibi censentur adversus Deum scripta, vera quidem esse; verum etiam sic, non ostendere Deum esse improbum. Qui ergo, inquit Simon, hoc potes astruere?

XL. [24] At Petrus : Adamum dicis cæcum formatum esse; quod tamen ille non erat. Non enim cæco præcipiens ostendisset, ac dixisset : *De ligno autem scientiæ boni et mali ne gustetis* [25]. Et Simon invertens respondit : Cæcam dixit mentem ipsius. Ac Petrus : Qua ratione mente cæcus esse poterat, qui antequam gustasset fructum, convenienter creatori ipsius, propria omnibus animalibus imposuit nomina? Simon vero: Si Adamus prænotionem habuit, quare non prænovit serpentem qui ejus uxorem decepit? Rursum Petrus: Si prænotionem non habuit Adamus, quo modo filiis suis, simul ac nati sunt, etiam nomina imposuit secundum futuras actiones? primum vocans, Cain, quod interpretatur *æmulatio;* qui etiam, æmulatione ductus interfecit fratrem suum Abel, quod interpretatur *luctus;* super eo siquidem primo occiso, parentes luxerunt. Quod si Adamus, qui Dei opus erat, prænotione præditus fuit; multo magis qui condidit eum Deus. Tu autem, o Simon, cum male intelligas divinas Scripturas, obturato ore tace.

XLI. Porro quod scriptum est : *Secum reputavit Deus* [26], quasi utatur ratiocinatione propter ignorantiam; et adhuc: *Tentavit Dominus Abrahamum* [27], ut cognosceret an is ferret patienter : illud etiam : *Descendentes videamus, an secundum clamorem ipsorum, qui venit ad me, perficiant ; sin minus, ut sciam* [28] : ac ne sermonem longius protraham, clarum sensum ac intellectum habent ea testimonia, nec Deum de ignorantia arguunt; licet id tuam fugiat intelligentiam. Quod autem revera præsciat, ideo dicit Abrahamo: *Sciendo scies, quod peregrinum erit semen tuum in terra non sua; et in servitutem redigent illud, et affligent, et depriment eos quadringentis annis : gentem autem cui servient, ego judicabo: post hæc vero exibunt huc cum multo apparatu: tu autem abibis ad patres tuos cum pace, nutritus in senectute bona : quarta vero generatione revertentur huc* [30]. Et sane ista quæ post multas generationes eventura erant, ostendunt quod prænoscat, et manifestissime ac certissime sciat.

XLII. [33] Itaque de istis rebus inquisitio ad tertium quoque diem producta est. Quarto autem illucescente, Simon in Tyrum fuga se abripuit. Nec multis post diebus quidam illinc venerunt, ita renuntiantes Petro : Simon, magnas præstigias Tyri edendo, multos incolarum perculit; teque pluribus

(*a*) Mallem legere ἔλεγον, Latine, *dixi*. EDIT. PATROL.

VARIÆ LECTIONES.

[22] al. ζητήσωμεν. [23] al. add. ἀντιλέγειν σου τῇ ἀταξίᾳ, μὴ θέλων ζητεῖν. [24] *Clement.* hom. III, c. 42, etc. [25] Gen. II, 17. [26] Gen. VI, 6. [27] Gen. XXII, 1. [28] Gen. XVIII, 21. [29] al. ἀμβλυωπίαν. [30] Gen. XV, 13. [31] al. καὶ τὰ πολλαῖς. [32] al. γενεαῖς. [33] *Clement.* hom. III, c. 58, etc. [34] al. ἀπαγγέλλοντες.

calumniis odiosum effecit. Quæ postquam audivit Petrus, insequenti nocte, omni populo congregato : [35] Quandoquidem, inquit, cum ego properarem ad gentes, quæ multos deos asserunt, ut prædicarem ac docerem unum esse Deum in tribus personis, creatorem cœli et terræ, omniumque quæ in iis continentur, quo homines, dilecto eo, possent salutem consequi ; præveniens diabolus, Simonem præmisit, ut persuaderet hominibus cunctis, colere deos qui non sunt, utque recusarent credere in unum Deum qui universa condidit, tum visibilia, tum invisibilia; idcirco oportet me cito assequi eum, ne doctrina Simonis, diutius immorata, omnes penitus invadat.

XLIII. Quare necesse est aliquis pro me locum meum suppleat. Atque cuncti Deum intente oremus, ut eum qui dignus sit, Deus designet. [36] Quibus dictis, imposuit manus Zacchæo, et ait : Here Domine, Pater Domini Deique ac Salvatoris nostri Jesu Christi ; per Spiritum tuum sanctum ac adorabilem, tu hunc tuere, qui pastor sit populi tui, quem elegisti. Hæc ubi dixisset, ad populum infit: Quicunque baptizari vultis, ex crastino die jejunare incipite. Post tres autem dies, cum baptizare cœpisset, vocavit me Clementem, Nicetam, et Aquilam, ac dixit :

XLIV. Tyrum profecturus post septem dies, volo uti vos celeriter et advenientes, et apud Chananæam Berenicem, Justæ filiam clam hospitati, omnia quæ ad Simonem pertinent investigetis, ac diligenter mihi perscribatis. Quapropter jamjam cum pace pergite. Igitur relinquentes eum baptizantem, in Tyrum Phœniciæ profecti sumus : [38] et apud prædictam Chananæam diversati, acceptique ab ea splendide ac honorifice, statim de Simone locuti sumus, his verbis : Simon iste Magus, in disputatione, quam cum domino nostro Petro Cæsareæ habuit, superatus, statim eo habitu quo erat, huc se profugus contulit ; atque in eum maledicta conjiciens simpliciorum animas abripit : cumque ipse magus sit, illum magnum appellat; et cum sit impostor, apostolorum impostorem proclamat; quique in omnibus devictus fuit, seque in fugam turpiter conjecit, vicisse se profitetur.

XLV. Berenice autem, ipsa quoque ita rem habere testata est ; et reliqua alia per se addidit. Phantasmata enim, inquit, postquam is huc advenit, et spectra ac simulacra quotidie in medio foro faciens, totam obstupefacit civitatem : [43] nam statuæ quidem moventur quando ipse pertransit ; et vero sæpe umbræ ei præeunt, quas et defunctorum animas nominat. Multos porro qui eum præstigiatorem dicebant, cum postea ad convivium vocasset, et bovem mactasset, ipsisque in escam dedisset ; variis morbis implicuit ; atque dæmones eis immisit : in summa, multos affligendo, deus esse existi-

A πολλαῖς διαβολαῖς μισητὸν ἐποίησε. Ταῦτα ἀκούσας ὁ Πέτρος, τῇ ἐπιούσῃ νυκτὶ πάντα τὸν λαὸν συναθροίσας· Ἐπειδὴ, φησὶν, ὁρμῶντός μου εἰς τὰ ἔθνη τὰ πολλοὺς θεοὺς λέγοντα, κηρύξαι καὶ διδάξαι ὅτι εἷς ἐστι Θεὸς ἐν τρισὶν ὑποστάσεσιν, ὃς οὐρανὸν ἔκτισε, καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐνοῖς πάντα, ὅπως ἀγαπήσαντες αὐτὸν οἱ ἄνθρωποι σωθῆναι δυνηθῶσι· προλαβὼν ὁ διάβολος, Σίμωνα προαπέστειλεν, ἵνα πείσῃ πάντα ἄνθρωπον λατρεύειν τοῖς μὴ οὖσι θεοῖς, καὶ ἀρνήσωνται πιστεύειν εἰς ἕνα Θεὸν τὸν ποιήσαντα πάντα, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· χρή με ταχέως αὐτὸν καταλαβεῖν, ἵνα μὴ ἡ διδασκαλία τοῦ Σίμωνος ἐγχρονίσασα, παντελῶς πάντων ἐπικρατήσῃ.

XLIII. Δεῖ οὖν ἀντ' ἐμοῦ τινὰ τὸν ἐμὸν ἀναπληρῶσαι τόπον. Καὶ πάντες τοῦ Θεοῦ ἐκτενῶς δεηθῶμεν, B ὅπως τὸν ὄντα ἄξιον ὁ Θεὸς ἀναδείξῃ. Καὶ ταῦτα εἰπὼν, ἐπέθηκε χεῖρας τῷ Ζακχαίῳ, καὶ φησι· Δέσποτα Κύριε ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ Πνεύματός σου τοῦ ἁγίου καὶ προσκυνητοῦ, σὺ διαφύλαξον τοῦτον, ποιμαίνειν τὸν λαόν σου, ὃν ἐξελέξω. Καὶ ταῦτα εἰπὼν, πρὸς τὸν λαὸν ἔφη· Ὅσοι βαπτισθῆναι θέλετε, ἀπὸ τῆς αὔριον νηστεύειν ἄρξασθε. Μετὰ δὲ τρεῖς ἡμέρας βαπτίζειν ἀρξάμενος, ἐμὲ Κλήμεντα φωνήσας καὶ Νικήτην καὶ Ἀκύλαν, ἔφη.

XLIV. Μέλλοντί μοι πρὸς τὴν Τύρον ὁρμᾷν μεθ' ἡμέρας ἑπτὰ, βούλομαι τὸ τάχος ὑμᾶς ἐκεῖ γενομένους, καὶ παρὰ τῇ Χαναανίτιδι [37] Βερνίκῃ, Ἰούστης θυγατρὶ λανθανόντως ἐπιξενωθέντας, τὰ κατὰ τὸν Σίμωνα πάντα διερευνησαμένους, ἀκριβῶς γράψαι μοι. Διὸ ἐξαυτῆς πορεύεσθε μετ' εἰρήνης. Καὶ δὴ βαπτί- C ζοντα καταλιπόντες αὐτὸν, εἰς Τύρον τῆς Φοινίκης ἐπορευόμεθα· καὶ παρὰ τῇ προειρημένῃ Χαναανίτιδι [39] καταχθέντες, καὶ δαψιλοῦς [40] παρ' αὐτῇ ξενίας [41] καὶ φιλοτίμου τυχόντες, περὶ τοῦ Σίμωτος αὐτίκα διελεγόμεθα· Σίμων οὗτος ὁ Μάγος, εἰπόντες, ἐπὶ τῆς ἐν Καισαρείᾳ πρὸς τὸν κύριον ἡμῶν Πέτρον ζητήσεως ἡττηθεὶς, φυγὰς ἐνταῦθα ὡς εἶχεν εὐθὺς ἀπέδρα, καὶ λοιδορούμενος αὐτῷ, συναρπάζει τὰς τῶν ἁπλουστέρων ψυχάς· καὶ μάγος ὢν αὐτός, μάγον ἐκεῖνον ἀποκαλεῖ· καὶ πλάνος ὢν οὗτος τὸν ἀπόστολον πλάνον ἀποκηρύττει [42]· καὶ διὰ πάντων αὐτὸς ἡττηθεὶς, καὶ φυγῇ αἰσχρῶς ἑαυτόν ἐπιτρέψας, φάσκει νενικηκέναι.

XLV. Ἡ Βερνίκη μὲν οὖν, οὕτω καὶ αὐτὴ ταῦτα ἔχειν εἶπε καὶ τἄλλα δὲ παρ' ἑαυτῆς τὰ λειπόμενα προσετίθει. Φαντάσματα γὰρ, ἔφη, μετὰ τὸ τῇδε αὐ- D τὸν ἐπιστῆναι, καὶ ἰνδάλματα καθ' ἑκάστην ἐν μέσῃ τῇ ἀγορᾷ ποιῶν, πᾶσαν ἐκπλήττει τὴν πόλιν· ὡς ἀνδριάντας μὲν αὐτοῦ διερχομένου κινεῖσθαι, καὶ σκιὰς πολλάκις [44] αὐτοῦ προηγεῖσθαι, ἃς καὶ τῶν τεθνηκότων ψυχὰς αὐτός ὀνομάζει. Πολλοὺς δὲ αὐτόν καὶ γόητα λέγοντας, ὕστερον εἰς εὐωχίαν δῆθεν καλέσας, βοῦν τε θύσας, καὶ αὐτοὺς ἑστιάσας, διαφόροις περιέβαλε νόσοις. Καὶ δαίμονας δὲ αὐτοῖς ἐνῆκε· καὶ ὅλως πολλοὺς κακώσας, θεὸς εἶναι νενόμισται. Ὅθεν

VARIÆ LECTIONES.

[35] *Rec.* l. III, c. 65, etc. [36] *Clement.* hom. III, c. 72, etc. [37] al. Χανανίτιδι. [38] *Clement.* hom. IV, c. 1, etc. [39] al. Χανανίτιδι. [40] al. δαψιλῶς. [41] Deest in al. [42] al. ἀνακηρύττει. [43] **Anastasius**, Cedrenus, Nicephorus [44] al. πολλάς.

οὐκ οἴομαι δυνήσεσθαί τινα, τοσοῦτον πῦρ ἀναφθὲν A κατασβέσαι. Διὸ τοῦ μὴ κινδυνεύειν ὑμᾶς [45] χάριν παρακαλῶ, μηδὲν ἐγχειρήσητε πρὸς αὐτὸν, πρὶν ἂν ὁ ἀπόστολος Πέτρος ἀφίκηται, ὃς τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ δοκιμώτατος ὑπάρχων μαθητὴς, δυνήσεται μόνος πρὸς τοσαύτην δυναστείαν ἀνταγωνίσασθαι.

XLVI. Ταῦτα τῆς Βερνίκης εἰπούσης, ἡμεῖς ἕωθεν πάντα τὰ κατὰ τὸν Σίμωνα γράψαντες, εἰς περίπατον ἐτραπόμεθα. Καὶ δὴ καὶ Ἀππίων ὑπαντᾷ ἡμῖν μεθ' ἑτέρων τριάκοντα. Ἀππίων ἐκεῖνος, οὗ πρόσθεν ἐμνήσθημεν. Καὶ ἅμα τῷ ἰδεῖν με, προσαγορεύσας τε καὶ κατασπασάμενος· Οὗτός ἐστι Κλήμης, ἔφη τοῖς μετ' αὐτοῦ, περὶ τοῦ (a) πολὺν ἐν εὐγενείᾳ τε καὶ τρόπων ἐλευθερίᾳ πρός ὑμᾶς ἐποιούμην λόγον· ὅτι ἀνὴρ γένος τε ὢν ἀπὸ Καίσαρος Τιβερίου, καὶ πᾶσαν Ἑλληνικὴν παιδείαν B ἐξησκημένος, ὑπὸ βαρβάρου τινὸς τὴν προσηγορίαν Πέτρου, τὰ Χριστιανῶν ποιεῖν καὶ λέγειν ἠπάτηται. Ὅθεν ἀξιῶ, συναγωνίσασθέ μοι πρὸς τὴν τούτου διόρθωσιν. Ἐφ' ὑμῶν γὰρ αὐτοῦ πυνθάνομαι, καὶ λεγέτω μοι· ἐπειδὴ πρὸς τὸ εὐσεβεῖν ἑαυτὸν ἀποδεδωκέναι νομίζει, πῶς οὐχὶ καὶ τὰ μέγιστα ἀσεβεῖ, τὰ πάτρια μὲν καταλιπὼν, ἀποκλίνας δὲ εἰς ἔθη βάρβαρα καὶ ἀλλόκοτα.

XLVII. Κἀγὼ πρὸς αὐτόν· Τὴν μὲν πρὸς ἐμέ σου, φημὶ, ἀγαθὴν προαίρεσιν ἀποδέχομαι· τὴν δὲ ἀγνωσίαν ἀποσείομαι. Ἡ μὲν γὰρ προαίρεσις ἀγαθὴ, ὅτιπερ ἐν οἷς δοκεῖς καλοῖς, ἐν τούτοις εἶναί με θέλεις· ἡ δὲ γνῶσις οὐκ ὀρθῶς ἔχουσα, προφάσει γὰρ φιλίας λανθάνεις πρὸς ἀπάτην ἡμᾶς ἐκκαλούμενος. Καὶ ὁ Ἀππίων· C Οὐκοῦν ἀγνωσία σοι δοκεῖ τὰ πάτρια, ἔφη [47], φυλάττοντα, τὰ Ἑλλήνων φρονεῖν; Κἀγώ· Τὸν εὐσεβεῖν προῃρημένον, ἀπεκρινάμην, οὐ πάντως φυλάσσειν τὰ πάτρια δεῖ· ἀλλὰ φυλάσσειν μὲν, ἐὰν ᾖ εὐσεβῆ, ἀποσείεσθαι δὲ, μὴ οὕτως ἔχοντα. Ἐνδέχεται γάρ τινα πατρὸς ἀσεβοῦς [47] ὄντα, καὶ βουλόμενον εὐσεβεῖν, μὴ τὰ τοῦ πατρὸς ἐθέλειν μιμεῖσθαι, καὶ κατ' ἴχνος αὐτοῖς ἕπεσθαι. Καὶ ὁ Ἀππίων· Τί οὖν; τὸν σὸν πατέρα φῂς οὐκ ἀγαθοῦ γεγονέναι βίου; Κἀγὼ ἔφην, ὅτι· Κακοῦ μὲν αὐτὸν οὐκ ἂν εἴποιμι, πλὴν ὅτι τοῖς ψευδέσι καὶ κακοῖς τῶν Ἑλλήνων ἐπίστευε μύθοις. Καὶ ὅς· Τίνες οἱ μῦθοι οὗτοι; φησίν. Ἐγὼ δὲ ὑπολαβών· Ἡ περὶ τὸν Θεὸν, εἶπον, οὐκ ὀρθὴ δόκησις, ἣν ἐὰν μακροθυμῇς, μετὰ τῶν ἄλλων ἀκούσῃ φιλομαθῶν [48].

XLVIII. Διὸ πρὸ τῶν διαλόγων, εἰς τινὰ πλείονα παρεχόμενον ἡσυχίαν ὑποχωρήσωμεν τόπον. D Καὶ δὴ προϊόντες ἔνθα ναμάτων ἦν ψυχρῶν καθαρὰ ῥεύματα, καὶ δένδρων παντοίων χλοερῶν τέρψις [49], ἐκαθεζόμεθα. Ἐπεὶ δὲ πάντες ἦσαν ὁρῶντες ἀτενῶς εἰς ἐμὲ, οὕτω τοῦ πρὸς αὐτοὺς ἄρχομαι λόγου.

XLIX. Πολλή τις, ὦ ἄνδρες, διαφορὰ τυγχάνει ἀληθείας τε καὶ συνηθείας. Οἱ μὲν γὰρ τῶν Ἑλλήνων πολλοὺς θεοὺς κακοὺς καὶ πολυπαθεῖς ἡγήσαντο, ἵνα οἱ τὰ ὅμοια πράττειν θέλοντες, ἐκείνους ἔχωσι τοῦ κακοῦ

(a) Lege περὶ οὗ. EDIT. PATROL.

A matus est. Quocirca non puto quemquam valiturum exstinguere tantum ignem accensum. Quare, ea gratia ut vos in periculum non veniatis, hortor ne quidquam adversus eum tentetis, antequam apostolus Petrus venerit, qui, Domini ac Dei nostri Jesu Christi probatissimus discipulus, poterit solus contra tantam potentiam dimicare.

XLVI. His a Berenice dictis, nos mane cuncta de Simone cum scripsissemus, ad ambulationem convertimus gradum. Et continuo Appion cum aliis triginta occurrit nobis, Appion is, cujus ante mentionem fecimus. Ac simul atque me vidit, salutans ac osculatus, Hic est, ait illis qui cum eo erant, Clemens, de quo multum ad vos sermonem habui, de illius nobilitate ac moribus liberalibus; quod B vir, ex genere Tiberii Cæsaris, et in omni Græca disciplina exercitatus, a barbaro quodam qui vocatur Petrus, fraude compulsus esset ad peragendos ac prædicandos Christianorum ritus. Quare rogo, adjuvate me in illo corrigendo. Nam coram vobis eum interrogo; ac respondeat mihi, quandoquidem arbitratur quod se ut pietatem coleret, dediderit, quo modo non et maxime impius sit, qui patrios dereliquerit, declinaverit vero ad barbaros atque alienos et monstrosos mores.

XLVII. Et ego ad illum: Tuam quidem in me, inquam, præclaram voluntatem, acceptam habeo; at ignorationem amolior. Scilicet præclara quidem voluntas est, dum in iis, quæ tibi bona videntur, me versari cupis: verum cognitio non recte habet; ignoras enim quod prætextu amicitiæ, nos in frau- C dem voces. Et Appion: Num ergo ignoratio tibi videtur, inquit, patrios ritus servando, cum Græcis sentire? Ad quæ ego respondi: Qui vitam pie agere statuit, non omnimodis debet patria instituta servare; sed servare quidem, si pia sint, abjicere vero, si ita se non habeant. Usu enim venire solet, ut aliquis patre impio natus, et volens vivere pie, nolit patris mores imitari, eosque ad vestigium consectari. Ad hæc Appion: Quid ergo? patrem tuum ais non hona vita fuisse. Respondi ego: Mala quidem eum vita fuisse non dixerim; nisi quod falsis ac pravis Græcorum fabulis habuit fidem. Et ille: Quænam, inquit, sunt istæ fabulæ? Ego vero excipiens, dixi: Non recta de Deo opinio, quam, si æquo animo fers, cum aliis discendi cupidis audies.

D XLVIII. Quare ante dissertationem, secedamus in aliquem locum, qui majorem quietem præbeat. Et eo progressi, ubi pura erant gelidorum laticum fluenta, et viridium omnis generis arborum oblectatio, consedimus. Cumque omnes me fixis oculis intuerentur, hunc in modum alloqui eos cœpi.

XLIX. [50] Multa est, o viri, differentia inter veritatem atque consuetudinem. Ex Græcis enim alii multos deos malos pluribusque perturbationibus obnoxios induxerunt; ut qui similia patrare velint,

VARIÆ LECTIONES.

[45] al. ὑμῶν. [46] al. ἔθη. [47] al. μὴ πατρὸς εὐσεβοῦς. [48] al. φιλομαθῶς. [49] al. τέρψεις. [50] l. *Recogn.* x. c. 50.

illos malitiæ patronos habeant. Alii vero fatum seu genesin et natale invexerunt; ac præter illud, neque pati neque facere quemquam posse aiunt; ut cum existimaverint neminem prætergenesim quidquam vel facere vel pati posse, facile ad peccandum accedant, et post peccatum non ducantur pœnitentia impie gestorum. Alii autem præsentem rerum statum providentiæ expertem esse decernunt; atque sua sponte universitatem hanc ferri censent, Domino nullo præsidente; quod sane omnium est durissimum; ita Deum blasphemare, et ab omni universæ naturæ expellere providentia, ut et asseratur neminem esse qui præfectus sit, ac provideat, et universis pro merito attribuat. Quare qui ista opinantur, non facile honestam vitam ducunt: quia impendens periculum non prævident.

L. At vero doctrina eorum, quos barbaros vocatis, maxime pia est; quæ unum Deum, et opificem totius hujus mundi introducit; natura bonum ac justum: bonum quidem, ut qui pœnitentibus delicta condonet: justum autem, ut qui unicuique non pœnitenti, pro factorum meritis retribuat. Singuli namque, dum exspectant futurum erga ipsos Dei cuncta intuentis judicium, ad temperate vivendum majorem impetum capiunt: et qui vitam moderatam traduxit, æterno supplicio liberatur.

LI. [54] Porro, dum uniuscujusque eorum, qui apud vos dii nominantur, impios actus redarguo, Jovis, Neptuni, Plutonis, Appollinis, Bacchi, Herculis, ac singulorum (quos neque ipsi ignoratis, utpote in Græcorum litteris instituti; quas vitas edocti estis, ut tanquam deorum æmulatores similia peragatis) et ab ipso primum, si videtur, maximo rege Jove ordiar. [57] Illius quidem pater Saturnus, liberis suis, ut fertur, devoratis, et adamantina falce demessis patri genitalibus, pietatis erga parentes, et amoris in liberos, iis qui deorum mysteria æmulantur specimina ac exemplaria præbuit. Ipse vero Jupiter patrem suum vinctum, in Tartarum præcipitavit, et alios deos punit. [58] Pro iis autem qui nefandam patrant obscenitatem, Metin cum genuisset absorpsit: porro Metis erat semen; infantem enim absorberi impossibile. In defensionem vero eorum qui puerorum indulgent amoribus, Ganymedem rapit. Et adulteris in adulterio opem ferens, ipse sæpe mœchus invenitur. Ad sorores etiam ducendas invitat, ipse congrediens cum sororibus, Junone, et Cerere, et Venere cœlesti quam nonnulli Dodonam vocant. Iis vero qui cum filiabus commisceri volunt, cum Proserpina congressus, exemplum improbum ex fabulis efficitur. Alia quoque innumera impie gessit; ut ab impiis hominibus propter exsuperantem intemperantiam fabulosum dogma de illius

συνηγόρους. Ἄλλοι δὲ εἱμαρμένην εἰσηγήσαντο τὴν λεγομένην γένεσιν, καὶ παρ' αὐτὴν οὔτε πάσχειν τινὰ δυνατὸν εἶναί φασιν, οὔτε ποιεῖν· ἵνα νομίσαντες ὅτι παρὰ γένεσιν οὐδεὶς οὔτε ποιεῖν, οὔτε πάσχειν ἔχει, ῥᾳδίως ἐπὶ τὸ ἁμαρτάνειν ἔρχωνται, καὶ ἁμαρτάνοντες, μὴ μεταμέλωνται ἐφ' οἷς ἠσεβήκασιν. Ἄλλοι δὲ ἀπρονόητα δογματίζουσι τὰ παρόντα, καὶ αὐτομάτως φέρεσθαι τὸ πᾶν εἰσάγουσι, μηδενὸς ἐφεστηκότος Δεσπότου· ὃ δὴ [51] καὶ πάντων ἐστὶ χαλεπώτατον, οὕτω τὸν Θεὸν βλασφημεῖν, καὶ τῆς τοῦ παντὸς ἐκβάλλειν προνοίας, ὥστε μηδὲ εἶναι λέγειν τὸν ἐφεστῶτα καὶ προνοούμενον, καὶ [52] τὰ κατ' ἀξίαν τῷ παντὶ ἀπονέμοντα· ὅθεν οὐ ῥᾳδίως οἱ τὰ τοιαῦτα φρονοῦντες σωφρονίζονται. Τὸν γὰρ ἐπερχόμενον κίνδυνον οὐ προορῶνται.

L. Ὁ δὲ τῶν, ὡς ὑμεῖς φατε, βαρβάρων λόγος, εὐσεβέστατός ἐστιν, ἕνα Θεὸν δημιουργὸν τοῦδε τοῦ παντὸς εἰσηγούμενος, τῇ φύσει ἀγαθὸν καὶ δίκαιον· ἀγαθὸν μὲν, ὡς μεταμελομένοις συγχωροῦντα τὰ ἁμαρτήματα· δίκαιον δὲ, ὡς ἑκάστῳ μὴ μετανοοῦντι, κατ' ἀξίαν τῶν πεπραγμένων, ἀποδιδόντα. Ἕκαστος γὰρ προσδοκίᾳ τοῦ κριθήσεσθαι ὑπὸ τοῦ παντεπόπτου Θεοῦ, πρὸς τὸ σωφρονεῖν μᾶλλον τὴν ὁρμὴν [53] λαμβάνει καὶ ὁ σωφρόνως βεβιωκὼς, τῆς αἰωνίου λυτροῦται κολάσεως.

LI. Ἑκάστου δὲ τῶν παρ' ὑμῖν λεγομένων θεῶν τὰς ἀσεβεῖς διελέγχων πράξεις, τοῦ Διός τε καὶ Ποσειδῶνος [55], Πλούτωνός τε καὶ Ἀπόλλωνος, Διονύσου [56] τε καὶ Ἡρακλέους, καὶ τῶν καθ' ἕνα ἕκαστον (ὧν οὐδὲ αὐτοὶ ἀγνοεῖτε, ἐκ παιδείας Ἑλληνικῆς ὁρμώμενοι, οὓς ἐπαιδεύθητε βίους, ἵνα ὡς ζηλωταὶ τῶν θεῶν, τὰ ὅμοια πράττητε), καὶ ἀπ' αὐτοῦ γε πρότερον, εἰ δοκεῖ, τοῦ βασιλικωτάτου Διὸς ἄρξομαι. Τοῦ ὁ μὲν πατὴρ Κρόνος τὰ ἴδια τέκνα, ὡς λέγεται, καταπιὼν, τῇ ἐξ ἀδάμαντος ἅρπῃ τοῦ πατρὸς τὰ μόρια θερίσας, τῆς πρὸς γονεῖς εὐσεβείας καὶ τῆς πρὸς τὰ τέκνα φιλίας, τοῖς τὰ μυστικὰ τῶν θεῶν ζηλοῦσιν, εἰκόνας καὶ τύπους παρέσχετο. Αὐτὸς δὲ ὁ Ζεὺς τὸν αὐτοῦ πατέρα δείσας [59], κατέῤῥαξεν εἰς Τάρταρον, καὶ τοὺς [60] ἄλλους κολάζει θεούς. Τοῖς δὲ ἀῤῥητουργεῖν ἐθέλουσι, τὴν Μῆτιν γεννήσας κατέπιεν, ἣν δὲ ἡ Μῆτις γονή· βρέφος γὰρ καταπιεῖν, ἀδύνατον. Ὑπὲρ δὲ ἀπολογίας παιδεραστῶν, Γανυμήδην ἁρπάζει. Καὶ μοιχοῖς ὑπὲρ μοιχείας βοηθῶν, αὐτὸς πολλάκις μοιχὸς εὑρίσκεται. Ἀδελφογαμεῖν [61] δὲ προτρέπεται, ἀδελφαῖς αὐτὸς συνεισελθὼν, Ἥρᾳ, καὶ Δήμητρι, καὶ Ἀφροδίτῃ τῇ οὐρανίᾳ, ἣν τινες Δωδώνην λέγουσι. Τοῖς δὲ θυγατράσι μίγνυσθαι βουλομένοις, Περσεφόνῃ συνεληλυθὼς, παράδειγμα πονηρὸν ἐκ τῶν μύθων γίνεται. Ἄλλα τε μυρία ἠσέβηκεν, ἵνα ὑπὸ τῶν δυσσεβῶν, διὰ τὴν ὑπερβάλλουσαν ἀκρασίαν, καὶ θεὸς εἶναι τοῖς ἰδιώταις ὁ μῦθος δογμυτισθῇ. Τούτων οὐχ

VARIÆ LECTIONES.

[51] al. δή που. [52] deest in al. [53] al. ἀφορμήν. [54] *Rec.* l. x, c. 17, etc. [55] al. Ποσιδῶνος. [56] al. Διονυσίου. [57] *Clementina*· hom. v, c. 12, etc., hom. 6, c. 2. [58] Epiphanius hær. 26, n. 16. [59] al. δήσας. [60] Καὶ τούς. Lege ὅπου καὶ τοὺς ἄλλους, *ubi et alios Deus punit*: nam κατέῤῥαξεν non convenit cum κολάζει. Vide hac de re Hesiodi *Theogoniam*. CLER. [61] al. ἀδελφοκτονεῖν.

ὡς ἔτυχεν ἐγὼ καταγνοὺς, τῷ μόνῳ ἀγαθῷ Θεῷ προσέφυγον, ἀποδεδωκὼς τὴν πίστιν ἀσφαλεῖ τῇ κρίσει, ὅτι ἐκ τῆς τοῦ Θεοῦ δικαίας κρίσεως καὶ νόμος ὥρισται, καὶ ἡ ψυχὴ πάντως τὸ κατ' ἀξίαν ὧν ἔπραξεν ὅπου δή ποτε ἀπολαμβάνει.

LII. Ταῦτα μου εἰπόντος, ὁ 'Αππίων [63] ἐπήνεγκε τῷ λόγῳ· Τί γόρ; οὐχὶ καὶ Ἕλληνες καὶ Ἑλλήνων νόμοι ἀπαγορεύουσι τὰ τοιαῦτα, καὶ τοὺς μοιχούς τε καὶ ἄλλως τὰ ἐναντία πράττοντας τιμωρεῖσθαι νομοθετοῦσι; κἀγὼ ἔφην· Οὐκοῦν οἱ Ἑλλήνων θεοὶ τὰ ἐναντία τοῖς νόμοις διαπραξάμενοι, κόλασιν οὐ τὴν τυχοῦσαν ὀφείλουσι. Πῶς δὲ σωφρονίζειν ἐμαυτὸν δυνήσομαι, ὑπολαμβάνων ὅτι οἱ θεοὶ αὐτοὶ πρῶτοι ἅμα τῇ μοιχείᾳ, τὰ χαλεπὰ πάντα διεπράξαντο, καὶ δίκην οὐ δεδώκασι, ταύτῃ μᾶλλον ὀφείλοντες δοῦναι, B ὡς μὴ δουλεύοντες ἐπιθυμίᾳ· εἰ δὲ ὑπέκειντο, πῶς ἦσαν θεοί; Καὶ ὁ 'Αππίων· Ἔστωσαν ἡμῖν σκοποὶ μηκέτι [64] θεοὶ, ἀλλὰ [65] δικασταὶ, εἰς οὓς ἀφορῶντες, φοβηθησόμεθα ἁμαρτάνειν. Κἀγὼ ἔφην· Οὐκ ἔστιν ὅμοιον, ὦ 'Αππίων. Ὁ μὲν γὰρ πρὸς ἄνθρωπον τὸν σκοπὸν ἔχων, ἐλπίδι τοῦ λαθεῖν, ἁμαρτάνειν πάντως τολμήσειεν· ὁ δὲ Θεὸν παντόπεπτην τῇ ἑαυτοῦ ψυχῇ ὁρισάμενος, εἰδὼς αὐτὸν λαθεῖν μὴ δύνασθαι, καὶ τὸ λάθρα ἁμαρτάνειν παραιτήσεται.

LIII. Ταῦτα ὁ 'Αππίων ἀκούσας. Ἤδειν, ἔφη, ἐξ ὅτε ἤκουσα Χριστιανοῖς σε προσομιλοῦντα, ἠλλοιῶσθαι [66] τὴν γνώμην. Καλῶς γὰρ εἴρηταί τινι· Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Κἀγὼ πρὸς αὐτόν. Οὐκοῦν ἐπανορθοῦσιν ἤθη μὴ χρηστὰ ὁμιλίαι καλαί. Ταῦτά μου εἰπόντος, οἱ παρόντες φανεροὶ ἦσαν ὥσπερ C ἡδόμενοι τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ὅθεν καὶ τῇ ὑστεραίᾳ ἀξιώσαντες ἀφικέσθαι πάλιν, τό γε νῦν ἔχον ὑπεχώρουν [69]. Τῇ δὲ ἐπαύριον προεληλυθότι τῷ Πέτρῳ ἀπήντουν [70] πλησιόχωροί τε οὐκ ὀλίγοι, καὶ αὐτῆς δὲ τῆς Τύρου πολλοί· καὶ ἐπεφώνουν λέγοντες· Ὁ Θεὸς διὰ σοῦ ἡμᾶς ἐλεείτω, [71], διὰ σοῦ [72] θεραπευέτω. Στὰς οὖν ὁ Πέτρος ἐπὶ λίθου τινὸς ὑψηλοῦ πρὸς τὸ δύνασθαι πᾶσι καταφανὴς εἶναι, καὶ προσαγορεύσας θεοσεβεῖ νόμῳ, οὕτως ἤρξατο·

LIV. Θεῷ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, οὐ λείπει πρόφασις πρὸς σωτηρίαν τῶν σώζεσθαι βουλομένων· δυνατὸς γάρ ἐστι καὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα σῶσαι. Μανθάνω οὖν, ὡς βουθυτήσας Σίμων ὁ Μάγος, εἱστίασεν ὑμᾶς ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ οἴνῳ πολλῷ κορέσας, ὀλεθρίοις πάθεσι D καὶ δαίμοσι παραδέδωκεν. 'Αλλ' ὥσπερ οὖν τῶν δαίμοσιν ἀποδεδομένων θυμάτων μεταλαβόντες, τῷ τῆς κακίας ἡγεμόνι κατεδουλώθητε· οὕτως ἂν τούτων παυσάμενοι τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προσέλθητε, εὖ ἴστε, ὅτι σὺν τῇ τοῦ σώματος ἰάσει, καὶ τὰς ψυχὰς ὑγιαινούσας ἕξετε, τὰ Θεῷ ἀρέσκοντα μετερχόμενοι· Ἔστι δὲ τὰ ἀρέσκοντα τῷ Θεῷ, τὸ αὐτῷ τε προσεύχεσθαι, καὶ τραπέζης δαιμο-

A divinitate imperitis persuasum fuerit.[62] His ego non temere condemnatis, ad Deum qui solus bonus est confugi; cum fidem certo judicio habuissem, quod ex Dei justo judicio, et lex fixa sit ac definita, et anima omnino pro dignitate eorum quæ gessit aliquando receptura sit.

LII. Hæc cum dixissem, Appion orationi subjecit: Quid enim? nonne Græci etiam, Græcorumque leges ista prohibent; et adulteros, eosque qui alia repugnantia committunt, puniri sanciunt? Et ego respondi: Igitur Græcorum dii contraria legibus facientes, non leve supplicium merentur. Quo modo autem me coercere potero, dum existimo deos ipsos primos una cum adulterio cuncta flagitia perfecisse, nec pœnas dedisse, quas ideo magis dare debebant, B quia non serviunt cupiditati: quod si ei obnoxii fuerunt, quo pacto dii erant? Et Appion: Sint nobis pro scopo, non dii, sed judices; in quos respiciendo, peccare metuemus. At ego excepi: Non est simile o Appion. Qui enim ad hominem collimat, spe latendi, delinquere omnimo audebit: qui vero Deum omnium inspectorem metæ loco animæ suæ proposuit, gnarus quod eum latere non possit, clam quoque peccare supersedebit.

LIII. Quæ cum audisset Appion, Intellexeram, inquit, ex quo audivi tibi cum Christianis esse consuetudinem, mutavisse te sententiam. Præclare enim a quodam dictum est: *Mores bonos colloquia corrumpunt mala* [67]. Et ego ad illum: Ergo mores non bonos colloquia bona corrigunt. [68] Hæc me di- C cente, qui aderant, non obscure videbantur delectari iis quæ a me dicebantur: unde et cum rogassent, ut postridie iterum conveniretur, impræsentiarum discesserunt. Postero autem die, Petro egresso processerunt obviam non pauci finitimi, ac ex Tyro ipsa complures; et acclamabant, dicentes: Deus per te nostri misereatur, per te nos curet! Stans ergo Petrus in excelso lapide, ut omnibus posset esse conspicuus, postquam religioso more salutasset, ita exorsus est:

LIV. Deo, conditori cœli, terræ, ac maris, non deest occasio ad salutem eorum qui servari cupiunt: potest enim et animas nostras et corpora servare. Audio utique, Simonem Magum bove mactato convivium vobis in medio foro dedisse, ac vino multo D expletos perniciosis morbis ac dæmonibus tradidisse. At certe sicut perceptis sacrificiis quæ dæmonibus oblata fuerant, malitiæ duci servire coacti estis: ita si, iis relictis, ad Deum, per Dominum nostrum Jesum Christum, accesseritis, profecto scitote, vos cum corporis sanitate, etiam animas sanas habituros esse; Deo placita consectando. Cæterum Deo placita sunt; eum precari, dæmoniorum mensa abstinere, sanguinem non attingere seu

VARIÆ LECTIONES.

[62] *Clement.* hom. IV, c. 22, etc. [63] al. 'Απίων. [64] al. μὴ ἔτι. [65] al. ἀλλὰ ἤ. [66] al. ἠλλοιοῦσθαι. [67] Menander. l. I; I Cor. XV, 33. [68] *Clement.* hom. IV, c. 25. [69] al. ἀνεχώρουν. al. ὑπανεχώρουν. [70] al. ἀπήντων. [71] al. ἐλεήτο. [72] al. inser. καί.

gustare, ab omni iniquinamento immaculatos se conservare ; in multis corporibus una mente gradientes,quod unusquisque sibi vult, id et de proximo cogitare ac cupere. Ait enim : [73] Non vis interfici,alterum non interficias: non vis uxorem tuam ab alio constuprari,alterius nuptam ne constupra: non vis quidpiam omnino rerum tuarum furto auferri, nihil alterius furare. Atque ita ex vobis ipsis quod rationi consentaneum est intelligentes,ac consectati, Deo chari eritis, et sanitatem assequemini.

LV. [75] Hæc a Petro paucis diebus edocti, deinde et curationem adepti,ad sacrum baptismum accesserunt. Quæ cum Sidonii audiissent, supplicaturos ad Petrum miserunt,et acciverunt eum ad se ;quia nempe ipsi propter morbos ad illum venire non poterant. Igitur Petrus postquam paucos dies Tyri commoratus esset, morbisque omnigenis eos liberavisset,et instituisset Ecclesiam, atque ex presbyteris qui eum sequebantur episcopum ipsis constituisset, Sidonem profectus est. Rursusque Simon Magus, comperto jam adventare Petrum, ultro aufugit, et ad Berytum cum Appione ejusque sociis se contulit.

LVI. Cæterum ubi Petrus Sidonem ingressus est, multos in lectis portaverunt, ac in conspectu ejus posuerunt.At Petrus ad eos : Ne existimetis, inquit, me aliquid posse ad curationem vestram, qui sum ipse quoque homo mortalis,ac multis perpessionibus obnoxius: docere autem vos modum quo salvi esse poteritis,non gravabor ; utpote qui ipse quoque a Christo edoctus sim, et discipulus Boni illius exstiterim.[78] Hæc et in Sidone Petro suadente iis qui convenerant, cum paucis diebus multi ibi quoque pœnitentia ducti fuissent, ac credidissent, dein et sanitate donati essent, Ecclesiam instituit ; et postquam aliquem ex presbyteris qui eum consectabantur constituisset episcopum, Sidone egreditur.

LVII. Statim autem ac Berytum pervenit, terræ motus factus est : atque plebs accedens ad Petrum ut ferret opem rogabat.Timuimus enim, dicebant ne funditus periremus. Tunc et Simon, audacia sumpta, et commento una cum Appione, Annubione, Athenodoro, cæterisque omnibus sodalibus excogitato, publice multitudini clamabat, Petrum ostendens : Fugite hunc, o viri, omni studio ac festinatione,fugite, dicens, Magus est, mihi credite , et terræ motum is ipse apud vos fecit, morbosque excitavit, ut vos perterreat, Deusque apud vos palam habeatur.Cumque populus se intra silentium tenuisset, Petrus subridens, plurima cum libertate: Viri, inquit, quæ ab istis dicuntur, me posse, Deo volente,efficere, fateor: ad hæc paratus

A νίων ἀπέχεσθαι, μὴ ψαύειν αἵματος, ἐκ παντὸς μιάσματος ἀσπίλους ἑαυτοὺς συντηρεῖν, ἐν πολλοῖς σώμασι μιᾷ γνώμῃ στοιχοῦντας, ὅπερ ἕκαστος ἑαυτῷ θέλει, τοῦτο καὶ περὶ τοῦ πλησίον φρονεῖν. [74] Φησὶ γάρ· Οὐ θέλεις φονευθῆναι, ἕτερον μὴ φονεύσῃς· οὐ θέλεις τὴν σὴν ὑφ' ἑτέρου μοιχευθῆναι γυναῖκα, τὴν ἑτέρου μὴ μοίχευε γαμετήν· οὐ θέλεις τι τῶν σῶν ὅλως κλαπῆναι, ἑτέρου μὴ κλέπτε μηδέν. Καὶ οὕτως ἀφ' ὑμῶν αὐτῶν τὸ εὔλογον συννοοῦντές τε καὶ μετιόντες, Θεῷ προσφιλεῖς ἔσεσθε, καὶ τῆς ἰάσεως ἐπιτεύξεσθε.

LV. Τοιαῦτα ὑπὸ τοῦ Πέτρου ἐν ὀλίγαις ἡμέραις κατηχηθέντες, εἶνα καὶ θεραπείας ἀξιωθέντες, τῷ ἱερῷ προσῆλθον βαπτίσματι. Ταῦτα καὶ Σιδώνιοι μαθόντες, ἱκέτας πρὸς τὸν Πέτρον ἔστελλον [76], μετάκλη- B τον ποιοῦντες πρὸς αὐτοὺς, ἅτε δὴ διὰ τὰς νόσους ἀδυνάτως αὐτοὶ ἔχοντες πρὸς ἐκεῖνον φοιτᾷν. Ὁ Πέτρος τοίνυν ἡμέρας ὀλίγας ἐνδιατρίψας τῇ Τύρῳ, καὶ παντοδαπῶν αὐτοὺς ἀπαλλάξας παθῶν, Ἐκκλησίαν τε συστησάμενος, καὶ ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἐπίσκοπον αὐτοῖς καταστήσας, ὥρμησεν εἰς Σιδῶνα· Σίμων δὲ πάλιν ὁ Μάγος ἥκοντα ἤδη τὸν Πέτρον μεμαθηκὼς, φεύγειν ἠγάπα, καὶ πρὸς Βηρυτὸν ἐχώρει μετὰ Ἀππίωνος καὶ τῶν ἑταίρων αὐτοῦ.

LVI. Τοῦ δὲ Πέτρου εἰσιόντος εἰς τὴν Σιδῶνα, πολλοὺς ἐπὶ κλινῶν φέροντες εἰς ὄψιν ἐτίθεσαν. Ὁ δὲ Πέτρος πρὸς αὐτούς· Μή με νομίσητε, ἔφη, δύνασθαί τι πρὸς ὑμετέραν ἴασιν, ἄνθρωπον ὄντα θνητὸν καὶ αὐτὸν, καὶ πολλοῖς πάθεσιν ὑποκείμενον· ὑφηγήσασθαι δὲ ὑμῖν τὸν τρόπον δι' οὗ σωθῆναι δυνατοὶ ἔσεσθε, οὐ φθονῶ [77], ὡς ἂν καὶ αὐτὸς ὑπὸ Χριστοῦ C διδαχθεὶς, καὶ μαθητὴς ἐκείνου τοῦ ἀγαθοῦ γενόμενος. Τοιαῦτα καὶ ἐν Σιδῶνι τοῦ Πέτρου παραινοῦντος τοῖς συνιοῦσιν, ἐν ὀλίγαις ἡμέραις πολλῶν κἀκεῖ μετανοίᾳ χρησαμένων καὶ πιστευσάντων, εἶτα καὶ θεραπείας ἀξιωθέντων, Ἐκκλησίαν συνέστησε, καὶ τῶν συνεπομένων αὐτῷ πρεσβυτέρων τινὰ καταστήσας [79] ἐπίσκοπον, ἔξεισι τῆς Σιδῶνος.

LVII. Ὡς δὲ εὐθὺς ἐπέβη τῆς Βηρυτοῦ, σεισμὸς ἐγένετο· καὶ οἱ ὄχλοι προσιόντες τῷ Πέτρῳ, βοηθεῖν ἐδέοντο. Πεφοβήμεθα γὰρ, ἔλεγον, μὴ καὶ παντελῶς ἀπολώμεθα. Τότε καὶ ὁ Σίμων τολμήσας Ἀππίωνι ἅμα καὶ Ἀννουβίωνι [80-81], Ἀθηνοδώρῳ τε, καὶ ὅσοι ἕτεροι ἦσαν αὐτῷ προσηταιρισμένοι, δημοσίᾳ τοῖς ὄχλοις ἐβόα, Πέτρον ὑποδεικνύς· Φεύγετε τοῦτον, ὦ D ἄνδρες, πάσῃ σπουδῇ, φεύγετε· μάγος ἐστὶ, λέγων, πιστεύσατε· καὶ τὸν σεισμὸν αὐτὸς οὗτος ἐν ὑμῖν εἰργάσατο, καὶ τὰς νόσους ἐκίνησεν, ἵνα ὑμᾶς κατα πλήξῃ, καὶ θεὸς ἄντικρυς παρ' ὑμῖν νομισθῇ. Ἡσυχίαν δὲ τοῦ λαοῦ παρασχόντος, ὁ Πέτρος βραχὺ ὑπομειδιάσας, μετὰ πολλῆς μάλα τῆς παῤῥησίας· Ἄνδρες, ἔφη, ἅπερ οὗτοι λέγουσι, Θεοῦ θέλοντος, ποιεῖν δυνατὸς εἶναι ὁμολογῶ· πρὸς δὲ τούτοις ἕτοιμός εἰμι

VARIÆ LECTIONES.

[73] Matth. VII, 12, l. *Recogn.* l. VIII, c. 56. [74] al. deest in al. [68] *Clem.*, hom. VII, c. 5, etc. [76] al. ἀπέστελλον, al. ἀπέστειλαν. [77] al. εὖ φρονῶ. [78] *Clement.* hom. VII, c. 8, etc. [79] al. inser. αὐτοῖς. [80 81] al. Ἀνουβίωνι, melius. Tres scripti codices Ἀννουβίῳ, pro Ἀνουβίῳ. Anubio enim et Anubius idem nomen, ab Anubi Ægyptiorum deo deductum. Sub finem capitis unus scriptus, πεισθῆτέ μοι. Cot.

(πείθεσθέ [82] μοι περὶ ὧν λέγω) τὴν πᾶσιν ὑμῶν ἐκ βάθρων αὐτῶν ἀναστρέψαι πόλιν.

LVIII. Τῶν δὲ ὄχλων ὑποπληξάντων· εἶτα [83] προθύμως ἐπαγγελλομένων τὰ ὑπ' αὐτοῦ κελευόμενα πράττειν, ὁ Πέτρος· Μηδεὶς ὑμῶν, ἔφη, τὸ ἑξῆς ὁμιλείτω [84] μάγοις, μηδ' [85] ὅλως εἰς λόγους ἐρχέσθω. Οἱ δὲ ὄχλοι ἐπεὶ ταῦτα ἤκουσαν, τοῖς περὶ τὸν Σίμωνα εὐθὺς ἐπετίθεντο, καὶ πάντας ἐν ὀλίγῳ τραυματίας ποιήσαντες, οὐκ ἀνῆκαν αὐτοὺς παίοντες, ἕως παντελῶς τῆς πόλεως ἐξεδίωξαν. Ἔπειτα προσιόντες ὅσοι νόσοις αὐτῶν καὶ δαίμοσι προσεπάλαιον, πρὸ τῶν αὐτοῦ ποδῶν ἔκειντο. Ὁ δὲ εἰς οὐρανὸν ἄρας τὰς χεῖρας, καὶ τῷ Θεῷ προσευξάμενος, ἰάσατο πάντας ἐκ μόνης εὐχῆς. Οὐκ ὀλίγας δέ τινας ἡμέρας παραμείνας τοῖς Βηρυτίοις, καὶ πολλοὺς τῇ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα πίστει καταρτίσας τε καὶ βαπτίσας, ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἕνα ἐπίσκοπον αὐτοῖς καταστήσας, εἰς τὴν Βύβλον [87] ἐξῄει.

LIX. Καὶ γενόμενος ἐκεῖ, καὶ μαθὼν ὅτι Σίμων εἰς Τρίπολιν ὥρμησεν, αὐτὸς βραχὺ παραμείνας αὐτοῖς, καὶ θεραπεύσας τῶν ἐν Βύβλῳ [89] πολλούς, καὶ τὴν εὐσέβειαν αὐτοὺς [90] ἐκδιδάξας, κατ' ἴχνος τοῦ Σίμωνος εἰς Τρίπολιν ἐπορεύετο, μεταδιώκειν αὐτὸν μᾶλλον, οὐχ ὑποφεύγειν προῃρημένος. Εἰς δὲ τὴν Τρίπολιν εἰσιόντι τῷ Πέτρῳ, τῶν φιλομαθεστέρων πολλοὶ συνῆλθον ἔκ τε τῆς Τύρου, καὶ Σιδῶνος, καὶ Βηρυτοῦ, καὶ Βύβλου [91]· οὐχ ἥκιστα δὲ καὶ τῶν ἀπ' αὐτῆς τῆς πόλεως ὄχλων πλείους συνέῤῥεον, ἱστορῆσαι Πέτρον βουλόμενοι. Ἔνιοι δὲ τῶν ἀδελφῶν, οἳ καὶ ἦσαν ὑπ' ἐκείνου προεκπεμφθέντες, διηγοῦντο ἡμῖν τά τε κατὰ τὴν πόλιν, καὶ τὰ πραττόμενα παρὰ Σίμωνος ἀκριβῶς· ἀποδεξάμενοί τε ἡμᾶς, ἐπὶ τὴν Μαροώνου (9) ἦγον οἰκίαν.

LX. Ὁ δὲ Πέτρος ἐπ' αὐτῷ ἤδη τῷ τῆς ξενίας πυλῶνι γεγονώς, ἐπιστραφεὶς, τοῖς ὄχλοις ὑπέσχετο αὔριον περὶ θεοσεβείας διαλεχθῆναι. Ἐπεὶ δὲ καὶ εἰσῆλθε, μὴ μεταλαβεῖν πρότερον ἔφη τροφῆς, πρὶν ἢ τοὺς συνεληλυθότας διαναπαύσει· ἀποκριναμένων δὲ ἡμῶν, ὅτι σπουδῇ πάντας αὐτοὺς διαναπαύσομεν [92], ὁ Πέτρος ἀκούσας καὶ εὐλογήσας ἡμᾶς, ἐξῆλθε, καὶ λουσάμενος ἐν τῇ θαλάσσῃ, καὶ εἰσελθὼν, εἶτα καὶ σιτίων μεταλαβὼν, ἑσπέρας καταλαβούσης ὕπνωσεν.

LXI. Ἄρτι δὲ περὶ τὰς δευτεραίας τῶν ἀλεκτρυόνων ᾠδὰς ἀναστὰς, καὶ εὑρὼν ἡμᾶς ἤδη ἐγρηγορότας, οἳ καὶ ἦμεν σὺν αὐτῷ πάντες ἑκκαίδεκα, αὐτός φημι Πέτρος, κἀγὼ Κλήμης, Νικήτης τε καὶ Ἀκύλας, καὶ οἱ προοδεύσαντες δώδεκα, μετὰ τὸ προσαγορεῦσαι πάντας, εἰσῄει τις τῶν συνήθων ἀπαγγέλλων αὐτῷ,

A sum (fidem mihi habente in his quæ loquor) universam vestram ab ipsis fundamentis evertere civitatem.

LVIII. Tum turba consternata est: dein prompto animo promittit se ab ipso imperata facturam; et Petrus: Nemo vestrum, inquit, posthac cum magis commercium habeat, neque usquam in colloquium veniat. Vulgus autem postquam hæc audivit, confestim Simonem sociosque ejus adorti sunt; cunctisque brevi vulneratis, eos verberare non destiterunt, donec penitus urbe expulissent. [86] Postea accedentes quicunque ex iis cum morbis ac dæmonibus colluctabantur, ante pedes illius jacebant. Ille vero, sublatis in cœlum manibus, Deumque comprecatus, cunctos precatione sola curavit. Non B paucos autem dies apud Berytios commoratus, cum multos fide in Patrem, Filium, et Spiritum sanctum consummasset, necnon baptizasset; uno ex presbyteris qui eum sequebantur ipsis in episcopum constituto, in Byblum abiit.

LIX. [88] Quo postquam pervenisset, comperto quod Simon in Tripolim evaserat, ipse breve tempus apud eos commoratus, curatisque multis Bybli incolis, ac doctrina pietatis eis tradita, ad Tripolim per vestigia Simonis processit; certus eum insequi, non subterfugere. Porro cum Petrus Tripolim ingrederetur, multi eorum qui descendi cupidiores erant, ex Tyro, Sidone, Beryto, ac Byblo concurrerunt: ex ipsa etiam maxime civitate plerique omnes confluxere, desiderio videndi Petrum. Quidam autem fratrum, qui et ab eo præmissi fuerant, C enarrabant nobis accurate, tum statum urbis, tum Simonis gesta: et excipientes nos, in domum Maroonis duxerunt.

LX. Petrus vero jam fores hospitii tenens, conversus, promisit multitudini, cras se de Dei cultu verba facturum. Ac postquam introit, non prius se quidquam cibi esse percepturum affirmavit, quam eos qui convenerant refecisset: nobis autem respondentibus, quod eos omnes studiose essemus refecturi, Petrus audita re, et laudatis ac benedictis nobis, exivit; cumque lavisset, in mari, ac ingressus esset, posteaque cibum sumpsisset, nocte adveniente, somno se dedit.

LXI. Jam vero ad secundum gallorum cantum D surgens, inveniensque nos jam vigilantes; qui et eramus cum eo omnes sedecim, ipse, inquam, Petrus, et ego Clemens, Nicetas et Aquila, atque duodecim qui prægressi fuerant; postquam salutavisset omnes; ingressus est quidam ex familiaribus,

VARIÆ LECTIONES.

[82] al. præpon. ἐὰν μή. al. πείθησθέ. [83] al. præpon. καί. [84] al. ὁμιλήτω. [85] al. μηθ'. [86] *Clement.* hom. VII, c. 12. [87] al Βίβλον. [88] *Clement.*, hom. VI, cap. ult., et hom. 8, c. 1, etc. *Rec.* l. IV, c. 1, etc. [89] al. Βίβλῳ. [90] al. αὐτοῖς. [91] al. Βίβλου. [92] Διαναπαύσομεν. Legi queat ex *Clementinis* et *Recognitionibus*, διανεπαύσαμεν. COT.

VARIORUM NOTÆ.

(9) Μαροώνου. Nomen est Syriacum sat notum, vel propter monachum illum, sive male, sive recte sentientem, a quo dicti *Maronitæ*. De eo Eutychius Balricides, qui Monothelitam fuisse vult, a quo recentiores Maronitæ dissentiunt. CLER.

hunc nuntium ei afferens : Simon Magus, ubi didicit te Tripoli esse, in Syriam ipse abiit : multitudo autem unam hanc noctem esse anni ambitum arbitrata, nec valens præstitutum a te tempus exspectare, pro foribus stat, per cœtus et circulos de Simonis improbitate mutuo colloquens ; qui cum eos in spem adduxisset, atque pollicitus esset quod te præsentem multis de criminibus esset convicturus, cognito adventu tuo se de nocte in fugam dederit : sed et eadem plebs te audire desiderat.

LXII. Et Petrus, admiratus vulgi studium, respondit : Videtis, fratres, quo pacto Domini nostri verba manifeste compleantur. Memini enim eum dicere : *Multi venient ab Oriente, et Occidente, et Aquilone, et mari, ac recumbent cum Abrahamo, Isaaco et Jacobo* [95]. Sed et *Multi*, inquit, *vocati; pauci vero electi* [96]. Itaque quod veniant, non est eorum proprium, sed est Dei qui vocavit : si vero post vocationem bona opera fecerint, hoc eorum erit proprium, et convenientem assequentur mercedis retributionem. [97] Hæc dixit : cumque ingentem turbam videret, leniter velut placidum fluentum amnis affluere, Marooni ait : Ubi hic tibi locus est, qui hanc multitudinem capere possit ? Et Maroone ducente eum in locum horto excultum ac subdialem, secutæ sunt et turbæ.

LXIII. Petrus autem, super basim statuæ non admodum excelsam stans ; simul atque populum more religioso salutasset : cernens multos astantium, a dæmonibus jam diu molestatos ; ac stridere cum ululatu, et procidere cum supplicatione ; increpitis iis, silentiumque tenere jussis, pollicitus curationem post habitum sermonem, ita loqui cœpit :

LXIV. Deus, qui solus bonus est, cunctaque præclare fecit, propter salutem generis humani, misit unigenitum Filium suum Dominum nostrum Jesum Christum, qui ei placita vulgaret, legemque daret æternam ; ut illam perpetuo custodientes, et baptizati in remissionem peccatorum, vita sempiterna donemur. [99] Enitimini autem primo, ut sordidum indumentum vestrum, scilicet, infidelitatis, exuatis ; quod non alia ratione potestis deponere, nisi prius in bonis actionibus baptizemini : atque ita, puri corpore ac anima effecti, futuro perpetuo regno fruemini. Itaque nec idolis credite, nec mensæ eorum participes estote ; non occidite ; non adulterate, non flagrate odio mutuo ; nec furtum facite ; neque omnino aggredimini ulla prava facinora.

LXV. Hæc cum dixisset, atque ex Scripturis monuisset multa, omnes permanserunt ; alii ut curarentur, alii ut viderent eos qui sanitatem reciperent. Petrus autem duntaxat imponens illis manus, et comprecatus, unicuique immunitatem a morbo

A ὅτι Σίμων ὁ Μάγος μαθών σε τῇ Τριπόλει ἐπιδημήσαντα, τὴν ἐπὶ Συρίαν αὐτὸς ᾤχετο· τὰ δὲ πλήθη τὴν μίαν ταύτην νύκτα ἐνιαυτοῦ περίοδον ἡγησάμενοι, τὴν δοθεῖσαν ὑπὸ σοῦ προθεσμίαν οὐ δυνάμενοι ἀναμένειν, πρὸ τῶν θυρῶν ἑστήκασι, κατὰ συστάσεις καὶ συλλόγους, ἀλλήλοις περὶ τῆς τοῦ Σίμωνος μοχθηρίας διομιλοῦντες, διὸ [93] μετεωρίσας αὐτοὺς, καὶ ὑποσχόμενος ἐπὶ πολλοῖς σε κακοῖς ἐλθόντα ἐλέγξειν, ἐπιδημήσαντα γνοὺς, νύκτωρ διέφυγε· πλὴν ἐπιθυμοῦσιν αὐτοὶ ἀκοῦσαί σου.

LXII. Καὶ ὁ Πέτρος θαυμάσας τῶν ὄχλων τὴν σπουδὴν, ἀπεκρίνατο· Ὁρᾶτε, ἀδελφοὶ, πῶς οἱ τοῦ Κυρίου ἡμῶν λόγοι ἐμφανῶς τελειοῦνται. Μέμνημαι γὰρ αὐτοῦ εἰρηκότας, ὅτι· Πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης [94]· καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ B Ἰσαὰκ καὶ Ἰακώβ. Ἀλλὰ καὶ πολλοὶ, φησὶ, κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. Τὸ μὲν οὖν ἐλθεῖν οὐκ αὐτῶν ἐστιν ἴδιον, ἀλλὰ τοῦ κεκληκότος Θεοῦ· ἐὰν δὲ μετὰ τὸ κληθῆναι τὰ ἀγαθὰ πράξωσι, τοῦτο αὐτῶν ἴδιον, καὶ τῆς προσηκούσης τεύξονται μισθαποδοσίας. Ταῦτα εἶπε, καὶ τὸν πολὺν ὄχλον ἰδὼν πράως καθάπερ ἥσυχόν τι ῥεῦμα ποταμοῦ ἐπιῤῥέοντα, ἔφη τῷ Μαροώνῃ· Ποῦ σοι τόπος ἐστὶν ἐνταῦθα, τοὺς ὄχλους χωρεῖν δυνάμενος ; Τοῦ δὲ Μαροώνου εἰς κεκηπευμένον τόπον καὶ ὕπαιθρον αὐτὸν ἄγοντος, εἵποντο καὶ οἱ ὄχλοι.

LXIII. Καὶ ὁ Πέτρος ἐπί τινος βάσεως ἀνδριάντος οὐ πάνυ μετεώρου στὰς, ἅμα τῷ τὸν ὄχλον θεοσεβεῖ ἔθει προσαγορεῦσαι, ἰδὼν πολλοὺς τῶν παρεστώτων ὑπὸ δαιμόνων τε καὶ πολλῶν [98] χρόνων ἐνοχλουμένους, βρύχοντάς τε μετ' οἰμωγῆς καὶ πίπτοντας μετὰ ἱκεC σίας, ἐπιτιμήσας αὐτοῖς καὶ ἡσυχίαν ἔχειν ἐπιτάξας, καὶ τὴν ἴασιν μετὰ τὸ διαλεχθῆναι καθυποσχόμενος, τοῦ λέγειν ἤρξατο οὕτως.

LXIV. Ὁ μόνος ἀγαθὸς Θεὸς, τὰ πάντα καλῶς πεποιηκὼς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἐξαπέστειλε τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὰ ἐκείνῳ δοκοῦντα ἐκφάναι, καὶ νόμον αἰώνιον δοῦναι, ἵνα φυλάσσοντες αὐτὸν διὰ παντὸς, καὶ βαπτισθέντες εἰς ἄφεσιν ἁμαρτιῶν, τῆς αἰωνίου ζωῆς καταξιωθῶμεν. Σπουδάσατε δὲ πρότερον ἐκδύσασθαι τὸ ῥυπαρὸν ὑμῶν ἔνδυμα τῆς ἀπιστίας, ὅπερ οὐκ ἄλλως ἀποδύσασθαι δύνασθε, εἰ μὴ πρότερον ἐπὶ καλαῖς πράξεσι βαπτισθῆτε· καὶ οὕτω καθαροὶ σώματι καὶ ψυχῇ γενόμενοι, τῆς ἐσομένης ἀϊδίου βασιλείας ἀπολαύσετε. Μήτε οὖν εἰδώλοις πιστεύετε, D μήτε τραπέζης αὐτῶν κοινωνεῖτε [100]· μὴ φονεύετε, μὴ μοιχεύετε, μὴ μισεῖτε ἀλλήλους, μηδὲ κλέπτετε, μηδὲ κακαῖς τισι πράξεσιν ὅλως ἐπιχειρεῖτε.

LXV. Ταυτα εἰπόντος αὐτοῦ, καὶ ἀπὸ τῶν Γραφῶν πολλὰ παραινέσαντος, οἱ πάντες παρέμειναν, οἱ μὲν τοῦ θεραπευθῆναι χάριν, οἱ δὲ τοῦ ἱστορῆσαι τοὺς τῆς θεραπείας ἐπιτυχόντας. Ὁ δὲ Πέτρος τὰς χεῖρας αὐτοῖς ἐπιθεὶς μόνον, καὶ προσευξάμενος, τὴν ἀπαλ-

VARIÆ LECTIONES.

[93] al. ὅτι. [94] Καὶ θαλάσσης pro καὶ νότου. Luc. XIII, 29, ex psalm. CVI, 3, ubi videndi Interpretes. Cot. [95] Matth. VIII, 11 ; Luc. XIII, 29. [96] Matth. XX, 16. [97] *Clément.*, hom. VIII, c. 8, etc. *Rec.*, l. IV, c. 7, etc. [98] al πολλῶν παθῶν ἐκ πολλῶν. [99] *Clement.*, hom. VIII, cap. 23. [100] al. inser. μιαρᾶς.

λαγὴν ἑκάστῳ τοῦ πάθους παρέσχετο · ὡς τοὺς μὲν παραχρῆμα θεραπευθέντας [1] ὑπερθαυμάσαι τε καὶ δόξαν ὑπὲρ τούτου προσενεγκεῖν τῷ Θεῷ. Βεβαίως οὖν πιστεύσαντες ἅμα τοῖς θεραπευθεῖσιν, ἐπὶ τὰ ἑαυτῶν [2] ἀπῄεσαν τοῦτο λαβόντες ἐντολὴν, ὥστε πρωϊαίτερον συνελθεῖν.

LXVI. Τῇ οὖν ἐπιούσῃ ὁ Πέτρος ἅμα τοῖς συνοῦσιν ἑταίροις ἐξιὼν, καὶ ἐπὶ τὸν τόπον πάλιν ἐλθών· Ὁ Θεὸς, ἔλεγε πρὸς αὐτοὺς, πάντα δύναται. Ἐκεῖνος γάρ ἐστιν ἀγαθὸς καὶ δίκαιος, καὶ νῦν ἐπὶ πᾶσι μακροθυμῶν, ἵνα οἱ βουλόμενοι ἐφ' οἷς ἔπραξαν κακοῖς μεταμεληθέντες, καὶ κατὰ τὸ ἀρέσκον αὐτῷ βιώσαντες, ἐν ἡμέρᾳ ᾗ τὰ πάντα κρίνεται [ἴσ. κρινεῖται], τῶν κατ' ἀξίαν ἕκαστος ἀπολαύσῃ. Διὸ νῦν ἄρξασθε γνώσεως ἀγαθῆς, Θεῷ πειθόμενοι, ἀντιλέγειν ταῖς ἑαυτῶν [5] ἀτόποις ἐπιθυμίαις, ἵνα δυνηθῆτε ἀνακαλέσασθαι τὴν πρώτην τῇ ἀνθρωπότητι νεμηθεῖσαν χάριν. Οὕτω γὰρ ὑμῖν ἐξαυτῆς ἀνατελεῖ τὰ ἀγαθά · καὶ τῷ δεδωκότι [6] εὐχαριστήσετε [7] εἰς ἀεὶ τῶν ἀποῤῥήτων ἀπολαύοντες ἀγαθῶν, ἀπολουσάμενοι τῇ μακαρίᾳ τῆς Τριάδος ἐπικλήσει πρότερον, εἴ τις κηλὶς, εἴ τις σπῖλος ταῖς ὑμετέραις ἐπιπολάζει ψυχαῖς. Οὕτω γὰρ οὐ μόνον τὰ ἐνδομυχοῦντα [8] πνεύματα ὑμῖν ἀποδιῶξαι δυνήσεσθε, ἀλλὰ καὶ τὰ ἑτέροις ἐνοχλοῦντα δαιμόνια, σὺν τοῖς ἄλλοις πάθεσιν ἀπελάσετε. Ταῦτα εἰπὼν, τοῖς ὑπό τινων παθῶν ὀχλουμένοις ἐκέλευσεν αὐτῷ προσιέναι· καὶ χεῖρας αὐτοῖς ἐπιθεὶς, καὶ ἐξαυτῆς ἰασάμενος, ἐνετείλατο [10] ὀρθριαίτερον συνελθεῖν.

LXVII. Τῇ δὲ τρίτῃ ἡμέρᾳ περὶ ὄρθρον ἀναστὰς ὁ Πέτρος, καὶ προσευξάμενος, ἐκαθέσθη · ἡμᾶς δὲ περικαθεζομένους, καὶ εἰς αὐτὸν ἀτενίζοντας, ὥσπερ ἀκοῦσαί τι βουλομένους, συνεὶς, ἔφη· Πρὸ πάντων, ὦ φίλοι, ὁ Θεὸν σέβειν αἱρούμενος, εἰδέναι ὀφείλει, ὅτι ἐν τρισὶν ὑποστάσεσιν οὗτος [12] γνωρίζεται· ἔστι δὲ ἴδιον αὐτοῦ καὶ ἐξαίρετον, τὸ πάντων κτισμάτων εἶναι δημιουργὸς [13], πάντα περιέχων, πάντα τε περιορίζων, ὡς ὑπὲρ πάντα ὢν, καὶ πάντα δημιουργήσας. Ταῦτα εἰπὼν, καὶ πολλὰ περὶ θεοσεβείας διδάξας, ἐκέλευσε τοὺς δαιμονῶντας, καὶ νόσοις τισὶ κατειλημμένους αὐτῷ προσφέρεσθαι · προσενεχθεῖσι δὲ τὰς χεῖρας ἐπιθεὶς, καὶ προσευξάμενος, ἀπέλυσεν ὑγιαίνοντας.

LXVIII. Τῇ δὲ ἐπιούσῃ πάλιν ἡμέρᾳ διαναστὰς, καὶ προσευξάμενος, εἶτα καὶ σὺν ἡμῖν καθεσθεὶς, λέγειν ἤρξατο οὕτως· Τὸν μέλλοντα προσιέναι τῷ Θεῷ χρὴ νήφειν, χρὴ σωφρονεῖν, ὀργῆς κρατεῖν, ἀλλότρια μὴ νοσφίζεσθαι, δικαίως βιοῦν, ἐπιεικῶς, εὐσταθῶς, πράως· κολάζειν ἑαυτὸν [16] ἐν ταῖς ἐνδείαις, ἢ μὴ ἔχοντα ἑτέρου ἀφελόμενον κορεσθῆναι· καθαρὸν εἶναι τῇ καρδίᾳ, καὶ ἁγνὸν τῷ σώματι, καὶ μὴ ὁμοιοῦσθαι τοῖς Φαρισαίοις, πρὸς οὓς ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἔφησεν· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ

A præbuit : adeo ut qui subito curati fuerant, summopere mirarentur, simulque gloriam Deo pro ea re offerrent. Cum ergo firmiter credidissent, una cum iis qui sancati fuerant, ad sua abierunt, in mandatis accipientes, ut maturius convenirent.

LXVI. Sequenti ergo die Petrus una cum sodalibus qui cum eo erant egressus, rursusque ad cum locum veniens, dixit ad eos : Deus omnia potest [3]. Is enim est bonus ac justus, nuncque in cunctos patiens ; ut qui voluerint. pœnitentia de malis a se commissis acta, et vita secundum id quod ei placet transacta, singuli in die quo universa judicabuntur pro merito percipiant. [4] Quapropter nunc incipite, bona coguitione, a Deo persuasi, vestris resi-B stere absurdis cupiditatibus; quo possitis primam, quæ humano generi tributa fuit, gratiam revocare· Sic enim vobis continuo orientur bona ; et ei qui dedit agetis gratias perpetuo, ineffabilia bona possidentes ; abluti prius in beata Trinitatis invocatione, si quis nævus, si quæ macula in animabus vestris exstet. Ita namque, non solum latitantes in vobis spiritus expellere poteritis, sed et dæmonia alios infestantia perpessionesque alias abigetis[9]. Quæ postquam dixisset, eos qui aliquibus ægritudinibus vexabantur ad se jussit accedere : impositisque manibus super eos, cum illos confestim sanasset, præcepit ut majori mane convenirent.

LXVII. Tertio autem die Petrus diluculo surrexit, factaque prece sedit: et animadvertens nos C circumsedere, oculisque intentis eum aspicere, quasi aliquid audire cupientes, dixit [11] : Ante omnia, o amici, is qui Deum colere vult, scire debet, quod ille in tribus personis cognoscitur; proprium autem illius ac præcipuum est, omnium creaturarum esse opificem, omnia continere, omniaque terminare, ut qui super omnia sit, cunctaque effecerit. His dictis, multisque de pietate erga Deum expositis [14], jussit dæmoninacos, et morbis occupatos ad se adduci : quibus oblatis, manus imponens, ac precatus, incolumes dimisit.

LXVIII. Rursum autem sequenti die exsurgens, et comprecatus, cum deinde nobiscum sedisset, hunc in modum cœpit loqui : [15] Qui ad Deum D accedere desiderat, sobrius esse debet, debet sibi temperare, iram tenere, aliena non subripere; juste vivere, cum bono jure, tranquille, leniter; se, in indigentia potius continere ac reprimere, quam cum non habeat, alterius bonis ablatis expleri; corde mundus esse, et purus corpore [17]; nec assimilari Pharisæis, ad quos Dominus et Deus noster

VARIÆ LECTIONES.

[1] al. præpon. γενέσθαι περιχαρεῖς, τοὺς δὲ ἱστορήσαντας. [2] al. ἐπανῄεσαν. [3] *Clement.*, hom. IX, cap. 19. [4] *Rec.*, lib. IV, cap. 32. [5] Deest in al. [6] al. εὐχαριστεῖτε. [7] Εὐχαριστήσετε. al. εὐχαριστήσητε Cot. [8] al. ἐνδομαχοῦντα. [9] *Clement.*, hom. IX, c. 23, etc. *Rec.*, l. V, c. 36. [10] al. inser. πάλιν. [11] *Clement.*, hom. X, c. 19. *Rec.*, l. V, c. 22. [12] al. ὁ εἷς θεός [13] al. δημιουργόν. [14] *Clement.*, hom. X, c. 26. *Rec.* l. V, c. 36. [15] *Clement.*, hom. XI, c. 15; *Rec.* l. V, c. 32. [16] al. inser. μᾶλλον. [17] *Rec.* l. VI, c. 10, etc. *Clement.*, hom. XI, cap. 29, etc.

Jesus Christus dixit : *Væ vobis, Scribæ et Pharisæi hypocritæ ; quia mundatis calicis et paropsidis quod exterius est, intus autem ea plena sunt sordibus. Pharisæe cæce, munda prius calicis et paropsidis interius, ut et illius exterius mundum fiat*[18]. Vere enim qui interiora purgaverit, exteriora quoque purgare potest: qui vero exteriora purgat, ad hominum laudes aspiciens, id agit ; sed apud Deum mercedem non habet.

LXIX. [19] His dictis, et aliis pluribus de castimonia; cum jam tres menses, quibus jejunare me præceperat, completi essent, ducens me ad fontes maris vicinos perenni aqua baptizavit, in nomine Patris, et Filii, et Spiritus sancti: cumque panem accepisset, benedixisset, ac fregisset ; communicavit nos intemeratis ac vitalibus sacramentis. Atque ita feriati ac læti fratres nostri pro mihi a Deo concessa secunda nativitate, gloriam et gratiarum actionem Deo detulimus. Et multa turba congregata; Petrus depulsis morbis, afflictionibus, ac dæmonibus, nec non baptizatis compluribus, ubi Maroonem hospitem suum, jam omnibus numeris absolutum, in episcopum constituisset, duodecim presbyteros designasset, diaconos fecisset ; collocutus cum episcopo de communi bono ac utilitate, deque ecclesiastico ordine atque concentu, vale dixit Tripolitanis Phœnices, et iter versus Antiochiam Syriæ ingressus est.

LXX. [23] Egressi vero Tripolim Phœniciæ, ut Antiochiam Syriæ veniremus; eo die Orthosiæ mansimus : et quia est prope urbem e qua egressi fueramus, cum omnes fere prædicationis evangelicæ sermonem prius audivissent; unum diem illic commorati, Antaradum abiimus. Cum autem multi essent nobiscum iter facientes, Petrus Nicetam et Aquilam allocutus est, dicens : Quandoquidem magna comitantium multitudo, non parvam invidiam nobis per urbes intrantibus attrahit; necessario curandum esse judicavi, ut neque ipsi contristentur, dum prohibentur esse nobiscum ; neque nos, dum sumus spectabiles, aliis efficiamur auctores invidiæ. Quocirca volo te Nicetam, una cum Aquila, ante me iter habere, per duos globos, sparsim.

LXXI. Istra Petro dicente, responderunt Nicetas et Aquila : Non valde nos, domine, contristat id agere, quoniam a te imperatum est. Primo quidem, quia Dei providentia delectus es, qui merearis cuncta præclare cogitare atque consulere : deinde vero quod ut plurimum biduo nos hoc facere necesse sit, a te absentes ; illud autem spatium quamvis longum sit, dum te dominum nostrum non videmus, attamen ut jubes, quia utile est, non contradicimus. Hæc postquam dixerunt, antegressi sunt.

Φαρισαῖοι ὑποκριταί · ὅτι καθαρίζετε τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ γέμει ῥύπου. Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὸ ἔξω αὐτοῦ καθαρόν· Ἀληθῶς γὰρ ὁ καθάρας τὸ ἔσω, καὶ τὸ ἔξω καθᾶραι δύναται · ὁ δὲ τὰ ἔξω καθαίρων, πρὸς ἀνθρώπων ἔπαινον ἀφορῶν, τοῦτο ποιεῖ, παρὰ δὲ τῷ Θεῷ μισθὸν οὐκ ἔχει.

LXIX. Ταῦτα εἰπὼν καὶ ἕτερα πλείονα περὶ ἁγνισμοῦ, τῶν τριῶν ἤδη μηνῶν πληρωθέντων, ὧν νηστεῦσαί με ἐκέλευσεν, ἀγαγών με εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγὰς, ὡς εἰς ἀέναον ἐβάπτισεν ὕδωρ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· καὶ λαβὼν ἄρτον εὐλογήσας [20], καὶ κλάσας, μετέδωκεν ἡμῖν τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων. Καὶ οὕτως εὐωχηθέντες οἱ ἀδελφοὶ ἡμῖν ἐπὶ τῇ θεοδωρήτῳ μου ἀναγεννήσει, δόξαν καὶ εὐχαριστίαν ἀποδεδώκαμεν [21] τῷ Θεῷ. Πολλοῦ τε ὄχλου συναθροισθέντος, νόσους, πάθη, δαίμονας ἀπελάσας ὁ Πέτρος, καὶ βαπτίσας πολλοὺς, Μαροώνη τὸν ἀποδεξάμενον [22] αὐτὸν, ἤδη λοιπὸν τέλειον [23] ὄντα, ἐπίσκοπον καταστήσας, καὶ πρεσβυτέρους δώδεκα ὁρίσας, καὶ διακόνους δείξας, ὑπέρ τε τοῦ κοινοῦ καὶ συμφέροντος, καὶ περὶ τῆς κατὰ τὴν Ἐκκλησίαν τάξεώς τε καὶ ἁρμονίας συλλαλήσας τῷ ἐπισκόπῳ, τοῖς ἐν Τριπόλει τῆς Φοινίκης ἀποταξάμενος, τὴν ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ὁδὸν ἐπορεύετο.

LXX. Ἐκβάντες [24] δὲ τὴν Τρίπολιν τῆς Φοινίκης, ὡς ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐλθεῖν, αὐτῆς ἡμέρας ἐν Ὀρθωσίᾳ ἐμείναμεν· καὶ διὰ τὸ πλησίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων τὰ τοῦ κηρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες, ἀπήραμεν εἰς Ἀντάραδον. Πολλῶν δὲ τῶν συνοδοιπορούντων ἡμῖν ὄντων, ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσομίλει λέγων· Ἐπειδὴ ὁ πολὺς ὄχλος τῶν συνοδοιπορούντων οὐ μικρὸν φθόνον εἰσιοῦσι κατὰ πόλιν ἡμῖν ἐπισπᾶται, ἀναγκαίως ἐσκεψάμην φροντίσαι, ὅπως μήτε οὗτοι λυπηθῶσι κωλυθέντες συνεῖναι ἡμῖν, μήτε ἡμεῖς περίβλεπτοι γενόμενοι, φθόνου τοῖς ἄλλοις καταστῶμεν αἴτιοι. Τούτου ἕνεκα βούλομαί σε τὸν Νικήτην ἅμα Ἀκύλᾳ, προοδεύειν μου κατὰ συστήματα δύο σποράδην.

LXXI. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ἀπεκρίναντο Νικήτης καὶ Ἀκύλας· Οὐ πάνυ ἡμᾶς, κύριε, λυπεῖ τοῦτο πράττειν, διὰ τὸ ὑπὸ σοῦ προστετάχθαι. Πρῶτον μὲν, ὅτι πάντα καλῶς νοεῖν τε καὶ συμβουλεύειν ἄξιος ὢν, ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας ἐξελέγης· ἔπειτα δὲ, ὅτι ὡς ἐπιπολὺ ἡμερῶν δύο ἀνάγκη τοῦτο πράττειν ἡμᾶς ἀπολιμπανομένους σου· καὶ αὗται δὲ πολλαὶ πρὸς τὸ μή σε τὸν κύριον ἡμῶν καθορᾷν, πλὴν ὡς κελεύεις διὰ τὸ συμφέρον οὐκ ἀντιλέγομεν. Ταῦτα εἰπόντες, προῆγον.

VARIÆ LECTIONES.

[18] Matth. XXIII, 25. [19] *Clement.*, hom. X, c. 35. *Rec.* l. c. 15. [20] al. εὐχαριστήσας [21] al. ἀποδεδώκασι. [22] al. ὑποδεξάμενον. [23] *Clement.*, hom. XII, c. 1, etc. *Recogn.*, l. VII, c. 1, etc. [24] al. οὖν.

LXXII. Πορευθέντων οὖν αὐτῶν, ἐγὼ Κλήμης A ἔχαιρον, ὅτι σὺν αὐτῷ με ἐκέλευσεν εἶναι. Ἀμέλει καὶ πρὸς αὐτὸν εἶπον· Εὐχαριστῶ τῷ Θεῷ, ὅτι με οὐκ ἐξαπέστειλας ὡς τοὺς ἑταίρους [25], ἐπεὶ ὀδυνώμενος ἂν διαπεφωνήκειν. Ὁ δὲ ἔφη· Τί δαί· εἰ καὶ χρεία τις ἔσται πεμφθῆναί σέ που, σὺ διὰ τὸ πρὸς ὀλίγον ἀπολιμπάνεσθαί μου συμφερόντως, διὰ τοῦτο τεθνήξῃ; οὐχὶ δὲ προσομιλήσας σεαυτῷ, φέρειν τὰ διὰ τὴν ἀνάγκην σοι προστασσόμενα, εὐθύμως ὑποίσεις; ἢ οὐκ οἶδας, ὅτι σύνεισιν οἱ φίλοι ταῖς μνήμαις, κἂν τοῖς σώμασιν εκείνων ἀπολιμπάνωνται, ὡς ἔνιοι συνόντες τοῖς σώμασι, μακρὰν ἀφεστήκασι ταῖς ψυχαῖς;

LXXIII. Κἀγὼ ἀπεκρινάμην· Ἀλλὰ μή με νομίσῃς, κύριε, ὅτι τὰ λύπης πάσχειν ἔμελλον ἀνοήτως, ἀλλὰ καὶ πάνυ ὀρθῶς ἔχοντι λογισμῷ. Ἐπεὶ γάρ σε ἀντὶ πάντων εἱλόμην, πατρὸς καὶ μητρὸς, ἀδελφῶν B ἅμα καὶ συγγενῶν, αἴτιόν μοι γενόμενον διὰ τὸν Θεὸν τῆς σωζούσης ἀληθείας· οὕτω καὶ ἧς ἔμελλον ἐκ πάντων ἀπολαύειν παραμυθίας, διὰ σοῦ μόνου καρποῦμαι. Δέδοικα γὰρ ὅλως ἀπολειφθῆναί σου, μήποτε διὰ τὴν ἐκ τῆς ἡλικίας ἀκμὴν, ἥττων ἐπιθυμίας γένωμαι. Καὶ διὰ τοῦτο οὕτως ἐνστάσεως ἔχω, ὡς ἀποστῆναί σου ἀδύνατον εἶναι, εἰ μὴ κατά τινα χόλον Θεοῦ τοῦτο γένηται. Καὶ γὰρ μέμνημαί σου ἐν Καισαρείᾳ εἰπόντος· Εἴ τίς μοι βούλεται συνοδεῦσαι, εὐσεβῶς καὶ συνοδευέτω. Εὐσεβῶς δὲ ἔφης, τὸ μηδένα λυπῆσαι κατὰ Θεὸν, οἷον, ἀπολιπόντα γονεῖς, γυναῖκα, πρὸς δὲ, καὶ ἑτέρους τινὰς τῶν εὐσεβεῖν ἑλομένων, Ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ καὶ τὰ μέγιστα χαρίζῃ, εἰ [26] τὰς τῶν δούλων ὑπηρεσίας ἐπιτρέποις ποιεῖν.

LXXIV. Καὶ ὁ Πέτρος ἀκούσας, μετά τινός φησι C μειδιάματος· Τί οὖν οἴει, Κλήμη, μὴ ὑπ' αὐτῆς ἀνάγκης εἰς δούλων σε ταγῆναι τόπον; ἐπεὶ τίς τὰς καλάς μοι καὶ πολλὰς σινδόνας μετὰ τῶν ἑπομένων δακτυλίων καὶ τῶν ὑποδημάτων φυλάξει [27]; Τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα προετοιμάσει; ἅ τινα ποικίλα ὄντα πολλῶν δεῖται καὶ τεχνικῶν μαγείρων καὶ πάντα ἐκεῖνα, ὅσα ὡς θηρίῳ μεγάλῳ τῇ ἐπιθυμίᾳ προευτρεπίζεται. Πλὴν ἡ τοιαύτη σε προαίρεσις ὑπεισῆλθεν, ἴσως μὴ συνιέντα, καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον, ὅτι ἄρτῳ μόνῳ καὶ ἐλαίας χρῶμαι, καὶ σπανίως [28] λαχάνοις· καὶ ὅτι ἱμάτιόν μοι καὶ τριβώνιον ἕν ἐστι τοῦτο [29] αὐτὸ, ὃ περιβέβλημαι, καὶ ἑτέρου χρείαν οὐκ ἔχω, οὐδὲ ἄλλων τινῶν. Ἐν γὰρ τούτοις καὶ περισσεύομαι. Ὁ νοῦς γάρ μου τὰ ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ, τῶν ἐνταῦθα οὐδενὸς ἐπι- D στρέφεται. Ὅμως σοῦ μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, καὶ θαυμάζων ἐπαινῶ, πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων, ῥᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυτοῦ ὑπήλλαξας βίον. Ἡμεῖς γὰρ ἐκ παίδων, ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος, οὐ μόνον ἐν ὀρφανίᾳ τραφέντες, ἀλλὰ καὶ ὑπὸ πενίας εἰς ἐργασίαν ἐθισθέντες [30], εὐμαρῶς φέρομεν νῦν τὰς μακρὰς ταύτας ὁδοιπορίας. Ὅθεν εἰ ἐπείθου μοι, ἐμοὶ ἂν συγκεχωρήκεις τὰ δούλων ἀποπληροῦν σοι.

LXXII. His igitur profectis, ego Clemens gavisus sum, eum secum esse voluisse. Itaque ad eum dixi: Gratias ago Deo, quod me non emiseris, ut sodales; nam præ dolore enectus fuissem. Ille vero: Quid autem, inquit, si quæ necessitatis jusserit ut aliquo mittaris; tu quia aliquandiu a me utiliter eris separatus, ideo morieris? Nonne potius, tecum reputans, ferenda esse quæ propter necessitatem juberis, æquo animo feres? Aut nescis amicos una esse recordatione, licet cosporibus inter se disjungantur; sicut nonnulli corporibus præsentes, animis procul sunt dissiti?

LXXIII. Et ego respondi: Verum ne de me arbitreris, domine, quod istum mœrorem insipienter sim perpessurus, quinimo admodum recte se habente ratione. Quoniam enim te pro omnibus accepi, pro patre, matre, fratribus, et cognatis; qui per Deum auctor mihi fuisti, ut agnoverim servatricem veritatem: sic et consolatione, quam ab omnibus consecuturus fuissem, per te unum fruor. Vereor quippe omnino a te abesse, ne per ætatis fervorem, a cupiditate vincar. Et ideo ita in animum induxi, ut a te non possim discedere, nisi hoc divina quadam ira eveniat. Etenim memini te Cæsareæ dicere: Si quis vult mecum iter facere, pie quoque una iter habeat: pie autem dicebas esse, neminem tristitia secundum Deum afficere, veluti relinquendo parentes, uxorem, nec non alios piam vitam consectantes. Unde ego prorsus tibi sum aptus itineris comes, a quo et maximam inibis gratiam, si ministeria servorum obire permiseris.

LXXIV. Hoc audito, Petrus, cum leni risu dixit: Quid ergo putas, Clemens, quod non te ipsa necessitas in servorum ordinem rediget? Nam quis mihi elegantes ac multas sindones seu vestes linteas, cum adjunctis annulis et calceis custodiet? Quis vero et suavia exquisitaque obsonia præparabit? quæ cum varia sint, multos ac solertes coquos postulant: et omnia illa, quæ tanquam immani bestiæ, cupiditati apparantur. Sed forsan hæc te subiit sententia, quod non intellexeris, quodque ignores vitæ meæ rationem; qui solo pane et olivis utor, raroque oleribus; quique unum habeo vestimentum, ac pallium, hoc ipsum quo amictus sum, et alio opus non habeo, neque ulla re. Nam in his etiam abunde mihi est. Mea quippe mens cernens illic omnia bona æterna, nullius eorum quæ hic sunt curam suscipit. Tuum tamen egregium institutum approbo; mirorque ac laudo, quo modo vir in vita sumptuosa educatus, facile vivendi rationem immutaveris, et ad sola necessaria traduxeris. Nos quippe a puero, ego et Andreas frater, non solum in pupillari conditione educati, verum etiam propter inopiam ad laborem assuefacti, expedite nunc has longas ferimus peregrinationes. Quare, si crederes mihi, servorum officia me tibi impendere concederes.

VARIÆ LECTIONES.

[25] *Clementina* et *Recognitiones*, ἑτέρους Cot. [26] al. εἴ μοι. [27] al. διαφυλάξει. [28] al. σπανίοις. [29] al. τό [30] al. ἐνεθισθέντες.

LXXV. Id ego audiens, contremui et collacrymavi : quia talem habuisset orationem vir, quo cuncti hujus ætatis homines ratione scientiæ ac pietatis sunt inferiores. At ille, cernens me illacrymantem, causam rogabat. Ego autem ad illum : Et quidnam peccavi, inquam, ut hunc sermonem audirem ? Statimque Petrus : Si male locutus sum, cum proposui servire tibi ; tu prior deliquisti, qui prior in animo habuisti hoc agere. Et ego respondi: Non est similis ratio: siquidem me valde decet id facere; te vero nullatenus, qui es Dei præco, cuique animas hominum pascere commissum est. Tum Petrus dixit : Dominus noster, qui ad salutem totius mundi venit, quique unus supra cunctos veram et solam nobilitatem obtinet, servire ac ministrare sustinuit [34]; ut doceret nos, nec indecorum putemus servilia ministeria proximis exhibere, quamvis nobiles simus, quamvis plurimum eos antecellamus. Ego excepi: Si existimem quod te oratione sim superaturus, amens sim plane ac stultus : verumtamen gratias divinæ Providentiæ habeo, te loco parentum mihi donatum fuisse.

LXXVI. Tum Petrus : Verene, inquit, nullus tibi superest ex genere ? Et ego respondit: Sunt quidem plures ac magni viri, ad Cæsarem genere attinentes. Nam patri meo, ut pote una educato, Cæsar uxorem cognatam junxit: ex qua tres liberi orti sumus; duo quidem ante me ; qui et gemini cum essent, admodum inter se similes erant, sicut mihi narrabat pater: ego quippe neque illos, neque genitricem valde novi, sed quasi per somnium obscuram eorum formam mihi repræsento. Igitur mater quidem mea Matthidia dicebatur, pater autem Faustus ; fratres vero, alter Faustinus, alter Faustinianus vocabantur. Cum igitur post eos tertius ego natus essem, mater, quemadmodum pater referebat, somnium vidit, quod nisi confestim assumptis duobus filiis suis geminis, Roma decennium abesset, ipsa cum iis morte pessima esset interitura.

LXXVII. Pater igitur, qui liberorum amans erat, cum servis et ancillis, ac dato sufficiente viatico, in navem impositos, Athenas etiam erudiendos misit: me vero solum ad consolationem secum retinuit. Atque eam ob rem ingentes gratias ago, quod me quoque somnium non jusserit una cum matre, urbe Roma excedere. Itaque eo anno transacto, pater suis Athenas misit pecuniam, simul cognoscere gestiens quo modo vitam agerent. Qui autem abierant, non redierunt. Tertio rursus anno pater anxius alios ablegavit similiter cum rebus ad victum necessariis : qui quarto anno redeunt ac nuntiant se nec matrem meam, nec fratres usquam vidisse, neque ullius eorum qui cum iis discesserant vel vestigium reperisse.

LXXVIII. Hæc ergo audiens pater, et præ multo

A LXXV. Ἐγὼ δὲ ἀκούσας, σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς, οἷον λόγον εἶπεν ἀνὴρ, οὗ πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι, τῷ [31] τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ [32], ἥττους εἰσίν. Ὁ δὲ ἰδών με σύνδακρυν, ἐπυνθάνετο τὴν αἰτίαν. Κἀγὼ πρὸς αὐτόν· Καὶ τί τοιοῦτον ἥμαρτον, φημὶ, ἵνα καὶ τοιοῦτον ἀκοῦσαί με [33] λόγον; Καὶ ὁ Πέτρος εὐθύς· Εἰ κακῶς εἴρηκα δουλεῦσαί σοι προελόμενος, σὺ πρῶτος ἥμαρτες, πρῶτος τοῦτο καὶ ποιῆσαι προθυμηθείς. Κἀγὼ ἔφην· Οὐχ ὁμοίως ἔχει. Ἐμοὶ μὲν γὰρ καὶ λίαν προσήκει τοῦτο ποιεῖν· σοὶ δὲ οὐδαμῶς, ἅτε Θεοῦ κήρυκι ὄντι, καὶ ψυχὰς ἀνθρώπων ποιμαίνειν πεπιστευμένῳ. Καὶ ὁ Πέτρος, Ὁ Κύριος ἡμῶν, εἶπεν, ἐπὶ σωτηρίᾳ παντὸς τοῦ κόσμου ἐληλυθὼς, μόνος τε ὑπὲρ πάντας τὴν ἀληθῆ καὶ μόνην εὐγένειαν ἔχων, δουλεύειν ἠνέσχετο, B ἵν' ἡμᾶς πείσῃ, μὴ δι' αἰσχύνης ποιεῖσθαι, τὸ δουλικὰς προσφέρειν τοῖς πλησίον ὑπηρεσίας, κἂν εὐγενεῖς ὦμεν, κἂν πλεῖστον αὐτῶν διαφέρωμεν. Κἀγὼ ἔφην· Εἰ λόγῳ σε νικήσειν οἴομαι, ἄφρων εἰμὶ κατὰ τὸ φανερὸν καὶ ἀνόητος· πλὴν ἀλλὰ χάριν οἶδα τῇ τοῦ Θεοῦ προνοίᾳ, ὅτι περ εἰς γονέων μοῖραν ἔχειν σε κατηξίωμαι.

LXXVI. Καὶ ὁ Πέτρος, Οὐδείς δέ σοι ἀληθῶς, ἔφη, πρὸς γένους ὑπάρχει; Κἀγὼ ἀπεκρινάμην· Εἰσὶ μὴν πολλοὶ καὶ μεγάλοι ἄνδρες, Καίσαρι προσήκοντες κατὰ γένος. Ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ συντρόφῳ [35] Καῖσαρ γυναῖκα συγγενῆ συνηρμόσατο· ἀφ' ἧς τρεῖς ἐγενόμεθα υἱοί· δύο μὲν πρὸ ἐμοῦ, οἳ καὶ δίδυμοι ὄντες, κομιδῇ ὅμοιοι ἀλλήλοις ἐτύγχανον, ὡς ὁ πατὴρ ἐξηγεῖτό μοι. Ἐγὼ γὰρ οὔτε αὐτοὺς, οὔτε τὴν τεκοῦσαν πάνυ ἐπίσταμαι· ἀλλ' ὥσπερ δι' ὀνείρων C ἀμυδρὸν αὐτῶν καὶ τὸ εἶδος ἀναφέρω. Ἡ μὲν οὖν μήτηρ μου Ματθιδία ἐλέγετο· ὁ δὲ πατὴρ, Φαῦστος· οἱ ἀδελφοὶ, ὁ μὲν Φαυστῖνος, ὁ δὲ Φαυστινιανὸς ἐκαλεῖτο. Ἐμοῦ οὖν τρίτου ἐπιγεννηθέντος αὐτοῖς, ἡ μήτηρ ὄνειρον ἑωράκει, ὡς ὁ πατὴρ ὑφηγεῖτο, ὅτι ἐὰν μὴ τοὺς διδύμους αὐτῆς υἱοὺς ἐξαυτῆς παραλαβοῦσα, τῆς Ῥωμαίων ἀποδημήσῃ πόλεως ἐπὶ ἔτη δέκα, πανολεθρίῳ σὺν αὐτοῖς ἀποθανεῖται θανάτῳ.

LXXVII. Ὁ μὲν οὖν πατὴρ φιλότεκνος ὢν, σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς, καὶ εἰς πλοῖον ἐνθέμενος. εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμψεν· ἐμὲ δὲ μόνον εἰς παραμυθίαν ἔσχε παρ' ἑαυτῷ. Καὶ ἐπὶ τούτῳ εὐχαριστῶ πολλὰ, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ κεκελεύκει ἅμα τῇ μητρὶ τὴν Ῥωμαίων D ἐκβῆναι πόλιν. Τοῦ ἐνιαυτοῦ τοίνυν ἐκείνου περιελθόντος, ὁ πατὴρ ἔπεμψεν εἰς Ἀθήνας χρήματα τοῖς ἑαυτοῦ, μαθεῖν ἅμα γλιχόμενος πῶς ἄρα διάγουσιν. Οἱ δὲ ἀπελθόντες, οὐκ ἐπανῆλθον. Τρίτῳ δὲ πάλιν ἐνιαυτῷ ὁ πατὴρ ἀθυμῶν, ἑτέρους ἔπεμψεν ὁμοίως σὺν ἐφοδίοις· οἵτινες τετάρτῳ ἐνιαυτῷ ἧκον ἀπαγγέλλοντες, μήτε μου τὴν τεκοῦσαν, ἢ τοὺς ἀδελφοὺς ὅλως ἑωρακέναι [36], μηδὲ ἄλλου τινὸς τῶν σὺν αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος εὑρηκέναι.

LXXVIII. Ὁ μὲν οὖν πατὴρ, ταῦτα ἀκούσας, καὶ

VARIÆ LECTIONES.

[31] al. τῶν. [32] al. λόγων. [33] al. ἀκούσαιμι. [34] Matth. xx, 28. [35] al. inser. αὐτοῦ. [36] al. inser. μητε μὴν αὐταῖς Ἀθήναις ἐπιδεδημηκέναι.

ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος, καὶ οὐκ εἰδὼς ποῦ ὁρμήσας κατὰ ζήτησιν ἐκείνων ἐξέλθοι, ἐμὲ παραλαβὼν, καὶ εἰς πόρτον [37] καταβὰς, πυκνότερον ἐπυνθάνετο, ποῦ τις ἴδοι ἢ ἀκούσειεν ἐντὸς τεσσάρων ἐνιαυτῶν ἀπαντῆσαν ναυάγιον. Καὶ ἄλλος ἀλλαχῆ ἔλεγεν. Ὁ δὲ πάλιν ἀντεπυνθάνετο, εἰ ἑωράκασι σῶμα γυναικὸς μετὰ βρεφῶν ἐκβεβρασμένον τῇ γῇ. Πολλῶν οὖν πολλὰ λεγόντων ἑωρακέναι πτώματα κατὰ διαφόρους καιροὺς, ὁ πατὴρ ἀκούων ἐστέναζε. Πλὴν ὑπὸ τῶν σπλάγχνων νενικημένος [38], ἀλόγιστα ἐπυνθάνετο, τοσοῦτον θαλάσσης βυθὸν πειρώμενος ἐρευνᾷν· ὅμως συγγνωστὸς ἦν, ὅτι διὰ τὴν πρὸς τοὺς ζητουμένους στοργὴν, ἐλπίσιν ἐβουκολεῖτο κεναῖς. Καὶ δή ποτε ὑπὸ φροντισταῖς καταλιπών με καὶ ἐπιτρόποις, δωδέκατον ἤδη γεγονότα ἔτος, αὐτὸς δακρύων εἰς πόρτον κατῆλθε· καὶ εἰς πλοῖον ἐμβὰς, εἰς ἐπιζήτησιν ἐκείνων ἐξέπλευσε· καὶ ἐξ ἐκείνου μέχρι καὶ νῦν οὔτε γράμματα παρ' αὐτοῦ ἐδεξάμην, οὔτε [39] ἐν ζῶσιν αὐτὸν εἶναι ἢ τεθνηκόσιν ὅλως ἐπίσταμαι. Ῥοπὴ δέ μοι πλείων πρὸς τοῦτο τῆς διανοίας, ὅτι τέθνηκέ που, ἢ ὑπὸ λύπης ἥττων γενόμενος, ἢ ναυαγίῳ περιπεσών· τούτου δὲ τεκμηρίῳ χρῶμαι, ὅτι ἐξ ἐκείνου ἤδη λοιπὸν εἰκοστὸν ἔτος ἐστὶν, ἀφ' οὗ ἴχνος οὐδὲν ἀληθείας ἐμοὶ περὶ αὐτοῦ ἤκουσται.

LXXIX. Ταῦτα ἀκούων ὁ Πέτρος, ὑπὸ συμπαθείας ἐδάκρυε καὶ εὐθέως τοῖς συνοῦσι γνησίοις εἶπεν· Εἴ τις πέπονθεν εὐσεβὴς ἀνὴρ οἷα ὁ τούτου πατὴρ, εὐθέως ἂν τῷ τῆς θεοσεβείας λόγῳ, τῷ πονηρῷ ἐπέγραφε τὴν αἰτίαν. Οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσι συμβαίνει πάσχειν, καὶ ἀγνοοῦμεν οἱ θεοσεβεῖς. Ταλαιπώρους δὲ αὐτοὺς εὐλόγως εἴρηκα, ὅτι καὶ ἐνταῦθα πλανῶνται, καὶ τῆς ἐκεῖθεν ἐλπίδος ἀποτυγχάνουσι· τοῖς γὰρ ἐν θεοσεβείᾳ τὰ λυπηρὰ πάσχουσιν, ἔκτισις αὐτὰ γίνεται τῶν παραπτωμάτων.

B σαν τρυφή με πρὸς τοῦτο ἠπάτησεν· οὐδὲ ἡ μετὰ ταῦτα πενία ἐπὶ τοῦτο γε ἐλθεῖν κατηνάγκασεν, ἅτε δὴ τῆς σωφροσύνης ὡς μεγίστου καλοῦ ἀντιποιουμένης μου· ἧς ἕνεκα, καὶ εἰς τοσαύτην ἦλθον περίστασιν. Ἀλλ' οὐδέ σε οἶμαι, κύριέ μου Πέτρε, ἀγνοεῖν, ὅτι ἡ πλείων ἐπιθυμία ἐξ εὐθυμιῶν γίνεται· ὅθεν ἐγὼ ἐν εὐθυμίᾳ σωφρονήσασα, ἐν δυσθυμίᾳ πρὸς ἡδονὰς ἑαυτὴν οὐκ ἐκδίδωμι. Ἀλλὰ μηδὲ νῦν κακουχίας ἀπηλλάχθαι νομίσῃς μου τὴν ψυχὴν, τὴν ποσῶς παραμυθίας τυχοῦσαν, διὰ τὴν Κλήμεντος ἀναγνώρισιν. Ἀντεισερχομένη γὰρ ἡ ἐκ τῶν δύο μου τέκνων ἀθυμία [3], καὶ τὴν ποσῶς ἀμαυροῖ χαράν. Λυπεῖ γὰρ ἡμᾶς οὐ τοσοῦτον τὸ ἐν τῇ θαλάσσῃ τούτους παραπολέσθαι, ὅσον καὶ [4] χωρὶς τῆς εἰς Θεὸν εὐσεβείας διαφθαρῆναι μετά γε οὧν ψυχῶν αὐτοῖς καὶ τὰ σώματα.
C Ὁ δὲ τούτων πατὴρ, ἐμὸς δὲ σύνευνος, ὡς παρὰ Κλήμεντος ἔμαθον, ἐπί τε τὴν ἐμὴν καὶ τῶν υἱῶν ζήτησιν ἐκβὰς, τοσούτοις ἔτεσιν ἀφανής ἐστι· πάντως δὲ καὶ αὐτὸς ἐτελεύτησε. Καὶ γὰρ ὁ ταλαίπωρος ὑπὸ σωφροσύνης με ἀγαπῶν, φιλότεκνος ἦν· ὅθεν πάντων ἡμῶν τῶν ὑπὲρ πάντα ἠγαπημένων αὐτῷ στερηθεὶς ὁ γέρων, ὑπὸ μεγίστης ἀθυμίας διαπεφώνηκε.

CIII. Τῆς δὲ μητρὸς ταῦτα λεγούσης ἀκούοντες οἱ παῖδες, οὐκέτι κατὰ τὴν τοῦ Πέτρου παραίνεσιν ἠδύναντο στέγειν· ἀλλ' ἀναστάντες περιεπλέκοντο τότε αὐτῇ, καὶ δάκρυσι [5] κατεφίλουν· Ἐφ' ᾧ δὴ καὶ ἡ μήτηρ καταπλαγεῖσα, τί θέλοι τοῦτο εἶναι, ὑπὸ ἐκστάσεως ὥσπερ καὶ ἀγνοίας τῶν γινομένων, ἠρώτα. Καὶ ὁ Πέτρος εὐθύς, Παράστησον, ὦ γύναι, εἴρηκε, γεν-
D ναίως τὸν νοῦν σου, ὥστε τῶν σῶν ἡδέως ἀπολαῦσαι τέκνων. Οὗτοι γάρ εἰσι Φαυστῖνος καὶ Φαυστινιανὸς, οὓς ἔλεγες ἐν βυθῷ τεθνάναι, καὶ ὧν τὸ πένθος ἀβίωτον ἐτίθει σου [6] τὴν ζωήν. Πῶς δὲ αὐτοῦ ὁ μὲν Νικήτης, ὁ δὲ Ἀκύλας καλεῖται, αὐτοὶ καλῶς λεγέτωσάν τε καὶ διδασκέτωσαν. Ταῦτα τοῦ Πέτρου εἰπόντος ἡ μήτηρ ἀμέτρου πλησθεῖσα χαρᾶς, μικροῦ ἂν ἀπολελοίπει καὶ τὴν πνοήν· ἀνενεγκοῦσα δὲ ὅμως· καὶ ὥσπερ ἑαυτῆς [7] γενομένη. Τέκνα μου ποθεινὰ, ἔφη,

VARIÆ LECTIONES.

[1] al. συναλιζόμεθα. [2] al. præpon. μή. [3] al. βαρυθυμία. [4] al. τό. [5] al. σὺν δάκρυσι. [6] al. σοι. [7] al. ἐφ' ἑαυτῆς. al. ἐν ἑαυτῇ.

τέκνα γλυκυτατα, τέκνα καρδίας καύσωνες τῆς ἐμῆς, εἴπατέ μοι, τίνα δὴ τὰ κατὰ [8] τὴν χαλεπὴν ἐκείνην νύκτα συμβάντα ὑμῖν.

CIV. Καὶ ὁ Νικήτης αὐτίκα τὸν λόγον ἀναλαβών, οὕτως ἔφη· Ἡμῖν, ὦ μῆτερ, ὡς οἶσθα, τοῦ πλοίου κατὰ τὴν νύκτα [9] διαῤῥαγέντος, ἄνδρες τινὲς ἐν τῷ βυθῷ λῃστεύειν οὐ δεδοικότες, ἡμᾶς ἀνελόμενοι, καὶ τινι ἐνθέμενοι σκάφει, ἔπειτα δὲ κώπαις χρώμενοι, εἰς τὴν Στράτωνος ἦγον Καισάρειαν· κἀκεῖ σφόδρα συνεχομένους ἡμᾶς τῷ λιμῷ, πρὸς δὲ καὶ περιδεεῖς ὄντας, μή τι καὶ προπετὲς καὶ τῶν αὐτοῖς οὐ δοκούντων φθεγξώμεθα, ἐκεῖνοι τὰ ὀνόματα ἡμῶν διαμείψαντες, εἰς δουλείαν ἀθλίως ἀπέδοντο. Γυνὴ δέ τις ἡμᾶς Ἰουδαίοις προσήλυτος ἀξιόλογος πάνυ, ὄνομα Ἰούστα ὠνησαμένη, ἐν τέκνων ἐφύλαττε μοίρᾳ, καὶ πάσῃ ἑλληνικῇ παιδείᾳ μετὰ σπουδῆς ἐξεπαίδευσεν. Ἡμεῖς δὲ γενόμενοι ἐφ' ἡλικίας ἔμφρονες, καὶ τὴν θρησκείαν ἠγαπήσαμεν, καὶ τὰ τῆς παιδείας ἐφιλοπονήσαμεν, ὅπως πρὸς τὰ λοιπὰ ἔθνη διαλεγόμενοι, ἐλέγχειν αὐτὰ περὶ πλάνης δυνατῶς ἔχωμεν, ἠκριβώσαμεν δὲ καὶ τὰ φιλοσόφων, ἐξαιρέτως τὰ ἀθεώτατα. Λέγω δὴ τὰ Ἐπικούρου καὶ Πύῤῥωνος, ἵνα καὶ μᾶλλον ἀνασκευάζειν δυνώμεθα.

CV. Σίμωνι δέ τινι Μάγῳ σχεδὸν γενόμενοι σύντροφοι, φιλίας ὁδῷ ἀπατηθῆναι ἤδη ἐκινδυνεύομεν. Ὅμως ταῦτα, μῆτερ, ἐπὶ καιροῦ σοι ἀκριβέστερον ἐκτεθήσεται. Πλὴν μέλλουσιν ἡμῖν ἀπατᾶσθαι ὑπὸ τοῦ Σίμωνος, ἑταῖρός τις τοῦ κυρίου ἡμῶν Πέτρου Ζακχαῖος λεγόμενος, προσηκάμενος ἐνουθέτησε μὴ συνθέσθαι τῷ μάγῳ· ἐπελθόντι δὲ τῷ Πέτρῳ προσήγαγεν, ὅπως ἡμᾶς πληροφορήσας πείσῃ περὶ τῶν τῇ θεοσεβείᾳ διαφερόντων. Διὸ καὶ σέ, μῆτερ, εὐχόμεθα, ὡς ἡμεῖς κατηξιώθημεν ἀγαθῶν, τούτων καὶ αὐτὴν μετασχεῖν, ὅπως κοινῶν ἁλῶν καὶ τραπέζης δυνηθῶμεν μεταλαβεῖν. Αὕτη οὖν ἐστιν ἡ αἰτία, δι' ἣν ἐνόμιζες ἡμᾶς ἐν τῇ θαλάσσῃ τεθνᾶναι [10].

CVI. Ταῦτα τοῦ Φαυστίνου εἰπόντος, ἡ μήτηρ ἡμῶν προσέπεσε τῷ Πέτρῳ, δεομένη καὶ ἀξιοῦσα, ὅπως αὐτήν τε καὶ τὴν ξενοδόχον αὐτῆς μεταπεμψάμενος βαπτίσῃ· Ἵνα, φησί, μηδεμία τις ἄμοιρος ἡμέρα γένηται, ἀφ' ἧς τὰ ἐμαυτῆς ἀπέλαβον τέκνα, καθ' ἣν ἂν οὐ συνεστιαθείην αὐτοῖς [12]. Καὶ ἡμῶν δὲ τὰ ὅμοια τῇ μητρὶ συνικετευόντων, ὁ Πέτρος ἔφη· Τί οἴεσθε, μόνος ἐγὼ ἄσπλαγχνός εἰμι, ὅτι μὴ βούλομαι συνεστιαθῆναι ὑμᾶς τῇ μητρί, σήμερον βαπτίσας αὐτήν [13]; Οὐ μὲν οὖν. Ἀλλὰ κἂν μίαν ἡμέραν πρὸ τοῦ βαπτισθῆναι νηστεῦσαι αὐτὴν δεῖ· ἐπεὶ [14] καί τινα ὑπὲρ ἑαυτῆς ἐφθέγξατο ἡ μήτηρ· τάχα γὰρ εἰ μὴ τοῦτο, πολλῶν ἡμερῶν αὐτὴν ἁγνισθῆναι ἔδει [15].

CVII. Ἐρομένῳ οὖν μοι, τί ἄρα καὶ φθεγξαμένη τὴν πίστιν αὐτῆς ἐξέφηνεν [16], ὁ Πέτρος ἔφη [17]· Ἀπόχρη καὶ μόνον αὐτῆς ἡ ἀξίωσις τοῦ συμβαπτισθῆ-

filii ardores cordis mei, dicite mihi quænam vobis in illa sæva nocte contigerint.

CIV. Tum Nicetas, confestim resumpto sermone ita infit: Quando nobis, o mater, quemadmodum scis, natigium noctu disruptum est, homines quidam qui in mari prædas agere non verentur, ceperunt nos, et scaphæ imposuerunt; posteaque remis usi, duxerunt Cæsaream Stratonis: atque ibi vehementer fame compressos, ut metu affecti nihil præceps, quodque iis displiceret loqueremur; illi, nominibus nostris mutatis, in servitutem misere tradiderunt. Porro mulier quædam apud Judæos proselyta, valde laudabilis, nomine Justa, cum nos emisset, habuit loco filiorum, omnibusque Græcis disciplinis studiose erudivit. Nos vero per ætatem facti prudentes, et religionem amavimus, et litteris gnaviter operam dedimus; ut cum reliquis gentibus disputantes, eas possemus de errore arguere [10]. Perdidicimus etiam philosophorum decreta, maxime quæ a pietate in Deum alienissima sunt: Epicuri, inquam, et Pyrrhonis; quo et magis possemus confutare.

CV. Cæterum una cum Simone quodam Mago educati, ratione amicitiæ, in fraudem fere inducti fuimus. Verum ista tibi, mater, in tempore diligentius exponentur. Sed cum decipiendi essemus per Simonem, familiaris quidam domini nostri Petri, Zacchæus dictus, accedens monuit ne mago assentiremur, Petroque advenienti obtulit, ut nos plene atque certo quæ spectant ad cultum Dei doceret. Quare etiam te oramus, mater, ut quæ nos consecuti sumus bona, illa et tu percipias; quo communi sale ac mensa uti possimus. Ea igitur causa est, propter quam nos in mari periisse existimasti.

CVI. Hæc cum Faustinus prolocutus fuisset, mater nostra procidit coram Petro, rogans et obsecrans, uti se suamque hospitem accersitam, baptizaret: Ut, inquit, ex quo natos meos recepi, nullus dies excludatur, in quo cum iis non sumpserim cibum. Cumque nos eadem quæ mater comprecaremur, Petrus ait: Quid putatis, unus ego immisericors sum, quod nolim vos cum matre vestra vesci, hodie eam baptizans? Minime vero. Sed oportet, ut ipsa, ante quam baptizetur, saltem uno die jejunet: quandoquidem et nonnulla pro se locuta est mater: quod si non esset, multis diebus eam necesse fuisset expiari.

CXVII. Interroganti ergo mihi, quidnam ea locuta, fidem suam indicasset, Petrus respondit: Sufficit duntaxat illius postulatio de hospita et benefica,

VARIÆ LECTIONES.

[8] μετά. [9] al. inser. ἐκείνην vel ταύτην. [10] Recogn. l. VIII, c. 7. [11] al. add. τότε, ἐν ἐκείνῃ τῇ χαλεπωτάτῃ νυκτὶ ὑπὸ πειρατῶν ἀχθῆναι ἐν πελάγει. [12] al. μὴ συνεστιαθεῖσαι αὐτοῖς· ταῦτα οὖν καὶ ἡμῶν τῇ μητρὶ συμπαρακαλεσάντων, ὁ Πέτρος ἔφη· τί νομίζετε ἐγώ, μόνος. [13] al. deest in al. [14] al. ἁπλῶς. [15] al. ἐπεὶ πολλῶν ἡμερῶν αὐτὴν ἀφελληνισθῆναι ἔδει. [16] Κἀγὼ εἶπον· εἰπὲ ἡμῖν, τίνα ἐφθέγξατο λόγον, ὅς τήν. [17] Deest in al.

ut secum baptizaretur. Neque enim id dilectæ suæ tradi postulasset, nisi prius erga baptismum tanquam erga magnum donum fuisset affecta. Quare ego multos damnare non dubito; quod cum ipsi baptizati fuerint, et profiteantur se credere, nihil faciant dignum fide, neque eos quos diligunt (uxores, inquam, et filios, atque amicos) ad hoc exhortentur. Nam si crederent, vitam æternam cum bonis operibus in baptismo a Deo donari, plane eos quos diligerent, ad illum suscipiendum hortarentur. Quando denique eos vident ægrotare, aut in mortis viam abduci, aut alia molesta sustinere, gemunt, ac ducuntur commiseratione. Ita si crederent, ignem perpetuum manere eos qui Deum non colunt, non cessarent monere, vel super illis plorare et graviter dolere, dum eos cernunt non habere fidem. Atque nunc hospitam evocatam interrogabo, num legem nostram velit amplecti : et ita consequenter quæ oportet faciemus. Mater autem vestra, quoniam prout decet fidelem, in baptisma animata est, ante baptismum jejunet uno die.

CVIII. At ila jurabat, se duobus superioribus diebus, dum narrat mulieri recognitionis eventum, præ multo haudio cibum non cepisse; nisi pridie duntaxat paulum aquæ. Cui juramento et uxor Petri testimonium præbuit, dicens, vere eam nihil gustasse. Et Aquila ait : Nihil ergo impedit, eam, domine mi, hodierno die baptizari. Tum Petrus : At hoc, non est baptismi jejunium; quandoquidem nec propterea factum est. Et Faustinianus : Sed fortasse Deus volens matrem nostram ne uno quidem post recognitionem die a nostra mensa separari, hoc jejunium præstruxit. Sicut enim in ignoratione servavit pudicitiam, id quod veritatem decet faciens, ita et nunc Deus forte providit, eam ante unum diem, in ignorantia jejunare, pro vero baptismo : ut a primo die quo nos agnovit, nobiscum posset etiam salem seu cibum percipere.

CIX. Tum Petrus : Ne nos, inquit, vincat malitia, prætextum nacta Providentiam et matris amoram ; sed potius vos, et ego vobiscum, hodie in jejunio permaneamus, et cras baptizabitur. Hunc in modum locutus est Petrus, cunctique orationi assensi sumus [48]. Multo autem maturius quam quotidie solebat, Petrus experrectus, ad nos ingressus est, quos somno excitavit, ac dixit : Fau-

A ναι αὐτῇ τὴν ξενοδόχον καὶ εὐεργέτιν [18]. Οὐκ ἂν δὲ τοῦτο τῇ ὑπὸ αὐτῆς ποθουμένῃ δοθῆναι [19] ἠξίου, εἰ μὴ πρότερον αὐτὴ διετέθη ὡς ἐπὶ μεγάλῃ τῇ τοῦ βαπτίσματος δωρεᾷ [20]. Ὅθεν ἐγὼ πολλῶν ἔχω καταγινώσκέιν [21], ὁπότ' ἂν αὐτοὶ βαπτισθέντες καὶ πιστεύειν ὁμολογοῦντες [22], μηδὲν ἄξιον πίστεως ποιῶσι, μηδὲ οὓς ἀγαπῶσι, λέγω δὴ γυναῖκας ἑαυτῶν καὶ υἱοὺς ἅμα καὶ φίλους, εἰς τοῦτο προτρέπονται. Εἰ γὰρ πεπιστεύκασι ζωὴν αἰώνιον σὺν ἔργοις καλοῖς δωρεῖσθαι τὸν Θεὸν [23] ἐπὶ τῷ βαπτίσματι, πάντως ἂν καὶ οὓς [24] ἠγάπων προετρέποντο βαπτισθῆναι. Ἐπεί [25] τι δήποτε νοσοῦντας ὁρῶντες, ἢ ἀπαγομένους τὴν ἐπὶ θάνατον [26], ἢ ἄλλα τινὰ χαλεπὰ πάσχοντας, ὀδύρονται καὶ [27] κατελεοῦσιν. Οὕτως εἰ [28] ἐπεπιστεύκεισαν αἰώνιον πῦρ περιμένειν τοὺς τὸν Θεὸν μὴ σέβοντας, B οὐκ ἂν ἐπαύσαντο νουθετοῦντες, ἢ καὶ ἀπειθοῦντας ὁρῶντες, δακρύοντες ἐπ' αὐτοῖς καὶ χαλεπῶς ὀδυνώμενοι. Καὶ τὰ [29] νῦν τὴν ξενοδόχον πέμψας ἀνακρινῶ εἰ τὸν νόμον ἡμῶν ἀγαπᾷν αἱρεῖται· καὶ οὕτως ἀκολούθως ἃ δεῖ πράξομεν. Ἡ δὲ μήτηρ ὑμῶν ἐπειδὴ πιστῶς διάκειται περὶ τοῦ βαπτίσματος, νηστευσάτω ἡμέραν [30] πρὸ τοῦ βαπτίσματος.

CVIII. Ἡ δὲ ὤμνυε δύο τῶν διελθουσῶν ἡμερῶν τῇ φυναικὶ [31] διηγουμένη τὰ κατὰ τὸν ἀναγνωρισμὸν, ὑπὸ πολλῆς χαρᾶς, τροφῆς μὴ μεταλαβεῖν [32], ἢ χθὲς μόνον βραχέος ὕδατος. Μαρτυρήσει [33] τε τῷ ὅρκῳ καὶ ἡ γυνὴ Πέτρου λέγουσα, ὡς ἀληθῶς οὐκ ἐγεύσατο. Καὶ ὁ Ἀκύλας ἔφη· Οὐκοῦν οὐδὲν κωλύει αὐτὴν [34], ὦ κύριέ μου, τὴν [35] σήμερον βαπτισθῆναι. Καὶ ὁ Πέτρος· Ἀλλ' οὐκ ἔστι τοῦτο νηστεία βαπτίσματος [36], ἐπεὶ μηδὲ δι' αὐτὸ [37] τοῦτο γέγονε. Καὶ C ὁ [38] Φαυστινιανός [39]. Ἴσως οὖν ὁ Θεὸς βουλόμενος ἡμῶν τὴν μητέρα, μηδεμίαν μετὰ τὸν ἀναγνωρισμὸν ἡμέραν τῆς ἡμετέρας [40] χωρίσαι τραπέζης [41], προῳκονόμησε τὴν νηστείαν. Ὡς γὰρ ἐσωφρόνησεν ἐν ἀγνοίᾳ, τὸ πρέπον τῇ ἀληθείᾳ [42] ποιήσασα· οὕτω καὶ νῦν ὁ Θεὸς ἴσως ᾠκονόμησεν αὐτὴν πρὸ μιᾶς ἐν ἀγνοίᾳ νηστεῦσαι, ὑπὲρ τοῦ ἀληθοῦς βαπτίσματος, ἵν' ἀπὸ πρώτης ἡμέρας τοῦ γνωρίσαι ἡμᾶς, μεταλαβεῖν σὺν ἡμῖν καὶ ἁλῶν δυνηθείη.

CIX. Καὶ ὁ Πέτρος· Μὴ ἡμᾶς [43], ἔφη, νικάτω ἡ κακία πρόφασιν εὑροῦσα τὴν πρόνοιαν καὶ τὴν [44] τῆς τεκούσης στοργήν [45]· ἀλλὰ μᾶλλον ὑμεῖς, κἀγὼ σὺν ὑμῖν διαμείνωμεν τὴν σήμερον ἐν νηστείᾳ [46], καὶ αὔριον βαπτισθήσεται. Οὕτως ἔφη Πέτρος, καὶ οἱ πάντες τῷ λόγῳ συνευδοκήσαμεν [47]. Ὀρθριώτερον δὲ D πολλῷ τοῦ καθ' ἡμέραν ὁ Πέτρος διϋπνισθεὶς, εἰσῄει πρὸς ἡμᾶς, καὶ διαναστήσας, Φαυστῖνος εἶπε [49],

VARIÆ LECTIONES.

[18] al. αὐτὴν τῇ ξενοδόχῳ καὶ εὐεργέτιδι. [19] al. παρεκάλει. [20] al. αὐτὴ τῇ τοῦ βαπτίσματος προσῆλθε δωρεᾷ. [21] καταγινώσκω. [22] al. λέγοντες. [23] Deest in al. [24] al. ἀνυπερθέτως οὓς. [25] al. add. ἀλλ' ἐρεῖ τις ὑμῶν· ἀγαπῶσιν αὐτοὺς καὶ φροντίζουσιν αὐτῶν. Τοῦτο εὔηθές ἐστιν. Ἐπεί. [26] al. θανάτῳ. [27] al. ἐλεοῦσιν. [28] al. πεπιστεύκεισαν. [29] al. ὡς περὶ ἀπίστων ὀδυνώμενοι· τὴν κατ' αὐτῶν κόλασιν πεπληροφορημένοι. Καὶ τά. [30] al. inser. κἂν μίαν. [31] al. inser. Πέτρου vel τῇ ξενοδόχῳ. [32] al. add. ἠδυνήθην. [33] al. ἐμαρτύρει. [34] al. αὐτὴν βαπτισθῆναι. [35] al. τῇ. [36] al. ὃ μή. [37] Deest in al. [38] Φαυστῖνος. [39] al. add. ἀπεκρίνατο. [40] al. χωρίσαι. Duo mss. χωρῆσαι. Cot. [41] al. ἡμέραν τῆς ἡμῶν ἐπιγνώσεως χωρίσαι τῆς τραπέζης. [42] al. τῆς ἀληθείας. [43] al. ὑμᾶς. [44] al. ἡ. [45] al. στοργή. [46] al. νηστεύοντες. [47] al. add. οὐδὲ ἡ ὥρα τῆς σήμερον ἡμέρας ἐπιτήδειός ἐστιν εἰς τὸ βάπτισμα. Καὶ ὅμως οὕτω γενέσθαι οἱ πάντες συνευδοκησαμεν. [48] Clement. hom. XIV, c. 1, etc. Rec. l. VII, c. 38, et l. VIII; c. 1, etc. [49] al. ἐξυπνίσαι ἔφη.

καὶ Φαυστινιανὸς ἅμα Κλήμεντι μετὰ τῶν οἰκείων ἀκολουθησάτωσάν μοι, ὅπως ἐν σκεπεινῷ τῆς θαλάσσης τόπῳ γενόμενοι [80], τὰ τοῦ βαπτίσματος σχεδιάσωμεν.

CX. Ἐπὶ τὸν αἰγιαλὸν οὖν γενομένων ἡμῶν [81], καὶ μεταξὺ πετρῶν τινῶν γαληνοῦ καὶ καθαροῦ τόπου εὐπορησάντων, ἐβάπτισεν αὐτὴν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἡμεῖς δὲ [82] καὶ σὺν ἡμῖν ὅσοι παρῆσαν, τῶν γυναικῶν χάριν ὑπεχωρήσαμεν. Ἔπειτα ὁ Πέτρος τὰς γυναῖκας διὰ τὸν ὄχλον προέπεμψε δι' ἄλλης ὁδοῦ ἐπὶ τὴν ξενίαν ἐλθεῖν [83], μόνοις ἐκ τῶν ἀνδρῶν ἡμῖν συνεῖναι τῇ μητρὶ καὶ ταύταις ἐγκελευσάμενος. Ἐλθόντες οὖν [84] ἐπὶ τὴν ξενίαν, καὶ ἀναμένοντες αὐτὸν [85] ἀφικέσθαι, ἀλλήλοις διελεγόμεθα [86]. Μετὰ ἱκανὰς δὲ ὥρας ὁ Πέτρος ἐλθὼν, καὶ ἄρτον λαβὼν, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, τῇ μητρὶ πρῶτον ἐπέδωκε [87], καὶ μετὰ ταύτην, ἡμῖν τοῖς υἱοῖς [88]. Καὶ οὕτως αὐτῇ συνειστιάθημεν [89], καὶ τὸν διδόντα τροφὴν Θεὸν εὐλογήσαμεν.

CXI. Τότε λοιπὸν ὁ Πέτρος, τὸν ὄχλον εἰσεληλυθότα ἰδὼν, καθίσας αὐτὸς, καὶ [90] ἡμᾶς δὲ παρακαθεσθῆναι κελεύσας, ὑφηγοῖτο τίνι λόγῳ προπέμψας ἡμᾶς ἀπὸ τοῦ βαπτίσματος, αὐτὸς βραδύνας ἐπῆλθε. Τὴν δὲ αἰτίαν ἔλεγεν [91] εἶναι τοιαύτην· Ἅμα τῷ ὑμᾶς, φησὶν, ἀποστῆναί [92] μου, γέρων τις συῄει [93] περίεργος, κλέπτων ἑαυτὸν [94], καὶ βουλόμενος ὁρᾷν [95], αὐτὸς μὴ ὁρᾶσθαι· καὶ προκατασκοπήσας ἡμᾶς, ὡς αὐτὸς ὕστερον ὡμολόγησε, πρὸς τὸ ἰδεῖν τί ἂν καὶ πράττοιμεν εἰς τὸν σκεπεινὸν τόπον γενόμενοι, λάθρα ἐκβὰς, ἠκολούθησεν. Εἶτα [96] ἐν εὐκαίρῳ τόπῳ [97] μοι προσελθὼν καὶ προσαγορεύσας ἔφη· Ἐκ πολλοῦ σοι ἀκολουθῶν καὶ συντυχεῖν ἐθέλων [98], ᾐδούμην, μήπως ὡς περιέργῳ μοι χαλεπήνῃς· νῦν δὲ τὰ δοκοῦντα ἐμοὶ ἀληθῆ, λέγω, εἰ βούλει. Κἀγὼ ἀπεκρινάμην· Λέγε ἡμῖν ὅπερ σοι δοκεῖ καλὸν εἶναι, καὶ ἀποδεξόμεθά σε, κἂν τῷ ὄντι μὴ καλὸν ᾖ τὸ λεγόμενον, ἐπεί περ ἀγαθῇ προαιρέσει τὸ δοκοῦν σοι καλὸν εἰπεῖν ἠθέλησας.

CXII. Καὶ ὁ γέρων τοῦ λέγειν ἤρξατο οὕτως· Θαλάσσῃ ὑμᾶς λελουμένους εἰς τὸν ἀπόκρυφον τόπον ὑποχωρήσαντας ἰδὼν, προσελθὼν, λάθρα κατεσκόπουν τὸ τί ἂν ἐν κρυφῇ [99] πράττοιτε. Καὶ ἐπειδὴ εὐχομένους εἶδον, ὑπεχώρησα, καὶ ἐλεήσας [100] ὑμᾶς ἀνέμεινα, ὅπως [101] πείσω μὴ ἀπατᾶσθαι· οὔτε γὰρ Θεός ἐστιν, οὔτε πρόνοια· ἀλλὰ γενέσει τὰ πάντα ὑπόκειται, ὡς ἐγὼ ἐφ' οἷς πέπονθα πεπληροφόρημαι, ἀκριβῶν ἐκ πολλοῦ τὸ μάθημα. Μὴ οὖν ἀπατῶ· εἴτε γὰρ εὔχῃ, εἴτε [102] καὶ μὴ, τὰ ἐκ τῆς γενέσεως παθεῖν ἂν ἔχοις [103]. Αἱ γὰρ εὐχαὶ εἰ ἐδύναντό τι, ἢ τὸ εὖ ποιεῖν, αὐτὸς ἂν ἐν τοῖς κρείττοσιν ἤμην. Καὶ νῦν εἰ μὴ σὲ ἀπατᾷ ἡ πενιχρά μου αὕτη ἐσθὴς, οὐκ ἀπι-

A stinus et Faustinianus, unaque Clemens, cum suis me sequantur, ut venientes ad obtectum maris locum, baptismi ritus peragamus.

CX. Cum igitur fuimus in littore, inter saxa quædam, quæ tranquillum et mundum locum præbebant, baptizavit eam in nomine Patris et Filii, et Spiritus sancti. Nos autem, et quotquot nobiscum aderant, mulierum gratia secessimus. Postea Petrus mulieres, ob multitudinem, præmisit, ut per alteram viam irent ad hospitium ; jussitque nos solos ex viris matrem easque comitari. Venientes ergo ad diversorium, et præstolantes adventum illius, colloquebamur invicem. Post sat multas vero horas Petrus regressus, accepit panem, gratias
B egit, benedixit, consecravit, fregit, et matri primum dedit, ac post eam nobis ejus filiis. Atque ita cum ea comedimus, Deumque cibi largitorem laudibus prosecuti sumus.

CXI. Tum deinceps Petrus, ingressum populum videns, cum ipse consedisset, nosque jussisset assidere, docebat qua ratione nobis post baptismum præmissis, ipse tarde rediisset. Causam vero han esse dicebat. Simul atque vos, inquit, a me discessistis, senex quidam curiosus venit, occultans se, atque volens cernere nec ipse cerni : cumque nos prius observasset, sicut ipse postea fassus est, ut videret quidnam in obtecto loco positi ageremus, clam exiit, et secutus est. Postea in oppor-
C tuno loco me conveniens, ac salutans, dixit : Jamdiu te sequens, et alloqui cupiens, verebar ne me tanquam curiosum ægre ferres : nunc autem quæ mihi vera videntur, si vis, profero. Et ego respondi : Eloquere nobis quod tibi videtur esse bonum ; et laudabimus te, licet revera quod dixeris, bonum non fuerit ; quoniam prudenti consilio, rem quæ tibi visa est bona, volueris proloqui.

CXII. Tum senex ita effari cœpit : Vidi vos, postquam in mari lavissetis, ad occultum locum secessisse ; adii, clam speculatus sum quidam in abdito ageretis : cumque vos orantes aspexissem, secessi ; et vestri misertus, exspectavi, ut persuaderem ne fallamini. Neque enim Deus est, neque
D Providentia : sed genesi cuncta subjacent : quemadmodum ex iis quæ mihi acciderunt, plene persuasus sum, jampridem mathesim diligenter edoctus. Ne ergo fallaris : sive enim preceris, sive non, ea quæ ortus portendit, necessario accident tibi. Nam si preces possent aliquid, aut bona opera, ipse inter primores essem. Ac nunc, nisi te decipit

VARIÆ LECTIONES.

[80] ἐλθόντες, βαπτίσαι αὐτὴν δυνηθῶμεν. Πλὴν ἐπὶ τῶν αἰγιαλῶν γενομένων. [81] deest in al. [82] al. οἱ ἀδελφοὶ τῶν γ. χ. καὶ ἄλλοι τινὲς ὑπεχ. [83] al. κελεύσας ἀνδρῶν τε μόνοις ἡμῖν σ. τ. μ. καὶ ταῖς αὐταῖς γυναιξίν. Ἐλθ. [84] al. εἰς. [85] al. ἐλθεῖν. [86] al. διελεγόμεθα. [87] deest in al. [88] al. add. αὐτῆς. [89] hæc desunt in al. [90] al. καθεσθεὶς καί. [91] deest in al. [92] deest inal. [93] al. συνεισῄει ἐργάτης [94] al. ἑαυτὸν, προκατ. [95] al. βουλόμενος ὁρῶν. [96] al. εἰσελθόντες· εἶτα. [97] deest in al. [98] al. θέλων. [99] al. κρυφαίῳ εἰσιόντες. [100] al. ἐλεήσας δέ. [101] al. inser. ἐξιοῦσι προσομιλήσας. [102] deest in al. [103] al. ἀνάγκην ἔχεις.

hæc paupercula mea vestis, dictis meis non diffides. Cum olim in magna prosperitate vitæ versarer, multa tum diis immolabam, tum egenis largiebar: attamen dum oro, ac pie vivo, fatum non potui effugere. Atque ego ad illum: Et quænam sunt, quæ tibi contigerunt? Ille vero respondit: Non necesse est ut nunc dicam: forte autem in fine audies, quisnam ego cum sim, et ex quibus natus, in quales incurrerim vitæ calamitates. Sed nunc quod omnia subjiciantur genituræ, volo tibi proferre argumenta.

CXIII. Et ego dixi: Si genesi cuncta subsunt, hocque ita esse persuasum habes; tecum pugnantia cogitas et consulis. Etenim si contra natale ne sentire quidem possumus, cur frustra laboras, id nobis consulendo, quod fieri omnino nequit? Quin etiam si nativitas subsistit, noli in eo navare operam, ut persuadeas mihi, ne colam astroruum Dominum, qui et si velit non fieri aliquid, fieri non potest; semper enim quod subest ei, quod præest ac ducit, pareat necesse habet. Certe venerari eos qui dii putantur, genesi dominante, superfluum est. Neque enim præter id quod fato placet, quidquam fit; neque ipsi quidpiam facere possunt, qui universali genesi suæ sint subjecti.

CXIV. Hæc cum inter nos loqueremur, ingens hominum multitudo ingressa est; ad quam Petrus respiciens, dixit: Ego et genus meum, accipimus a majoribus cultum Dei, et præceptum habemus ne ortui confidamus, astrologicæ inquam disciplinæ: idcirco ad eam animum non applicui. Quare astrologiæ non sum peritus: quorum autem peritiam habeo, ea exponam. Aio quippe, per Dei providentiam administrari omnia, et unumquemque secundum ea quæ fecit, præmium vel supplicium esse nacturum. Sive autem nunc, sive et posthac, nihil mea interest: nisi quod omnino unusquisque fructum eorum quæ gesserit percipiet. Demonstratio autem, non esse genesim, hæc est: Ex astantibus, si quis oculis sit orbatus, aut manum habeat mutilatam, aut pedem claudum, aut in corpore aliquid aliud, quod a medicis curari non possit, neque ab astrologis, quoniam nec ab omni sæculo tale quid contigit, ego, Deum precatus, remedium præstabo. Ea vero re, quemadmodum aio, facta, nonne errant qui in cunctorum opificem Deum ma-

στήσεις σῖς λέγω. Ἐν πολλῇ βίου ποτὲ ὢν εὐθηνίᾳ [74], πολλὰ καὶ θεοῖς ἔθυον, καὶ δεομένοις παρεῖχον· καὶ ὅμως εὐχόμενός τε καὶ εὐσεβῶν, τὴν πεπρωμένην ἐκφυγεῖν οὐ δεδύνημαι [75]. Κἀγὼ πρὸς αὐτόν· Καὶ τίνα [76] ἐστὶν ἃ πέπονθας; Ὁ δὲ ἀπεκρίνατο· Οὐκ ἀνάγκη [77] μοι λέγειν νῦν· ἴσως δὲ, ἐπὶ τέλει ἀκούσῃ, τίς τε ὢν ἐγὼ, καὶ τίνων, ἐν ποίαις βίου περιστάσεσι γέγονα. Νῦν δὲ ὅτι γενέσει τὰ πάντα ὑπόκειται, πίστεις σοι παρασχεῖν βούλομαι [78].

CXIII. Κἀγὼ ἔφην· Εἰ γενέσει τὰ πάντα ὑπόκειται, καὶ τοῦθ' οὕτως ἔχειν [79] πεπληροφόρησαι, σεαυτῷ τἀναντία νοῶν συμβουλεύεις. Εἰ μὲν γὰρ παρὰ γένεσιν οὐ δυνατὸν οὐδὲ τὸ φρονεῖν, τί ματαιοπονεῖς συμβουλεύων [80] ἡμῖν, ὃ γενήσεσθαι [80*] πάντως ἀδύνατον [81]. Ἀλλ' ἔτι μὴν εἰ γένεσις ὑφέστηκε. μὴ σπεῦδε πείθειν ἐμὲ μὴ σέβειν τὸν τῶν ἄστρων [82] Δεσπότην, οὗ θέλοντος καὶ μὴ γενέσθαι [83], γενέσθαι ἀδύνατον· ἀεὶ γὰρ [84] ἂν τὸ ὑποκείμενον τῷ ἡγουμένῳ πείθεσθαι ἀνάγκην ἔχοι. Τὸ μέντοι τοὺς νομιζομένους θεοὺς σέβειν, γενέσεως ἐπικρατούσης, περιττόν ἐστιν. Οὔτε γὰρ παρὰ τὸ δοκοῦν τῇ πεπρωμένῃ [85] τι γίνεται, οὔτε αὐτοί τι ποιεῖν δύνανται, τῇ καθόλου αὐτῶν ὑποκείμενοι γενέσει [86].

CXIV. Τοιαῦτα πρὸς ἀλλήλους λεγόντων ἡμῶν, πολὺς ἐπεισῆλθεν [87] ὄχλος· καὶ Πέτρος εἰς αὐτὸν ἐπιβλέψας ἔφη· Ἐγὼ [88] καὶ τὸ ἐμὸν φῦλον, ἐκ προγόνων Θεὸν σέβειν παρειληφότες [89], καὶ παράγγελμα ἔχοντες [90] γενέσει μὴ προσανέχειν, φημὶ [91] δὴ τῷ τῆς ἀστρολογίας μαθήματι. Διὰ τοῦτο καὶ οὐ προσέσχον. Ὅθεν ἀστρολογίας μὲν οὐκ εἰμὶ ἔμπειρος· ὧν δέ εἰμι, ὑφηγήσομαι [92]. Φημὶ γὰρ ὅτι κατὰ Θεοῦ πρόνοιαν διοικεῖται τὰ πάντα, καὶ ἕκαστος πρὸς ἃ πράττει, τιμῆς ἢ κολάσεως τεύξεται. Εἴτε δὲ νῦν, εἴτε [93] καὶ αὖθις, οὐδέν μοι διαφέρει· πλὴν ὅτι πάντως ἀπολαύσει ἕκαστος ὧν ἔπραξεν. Ἡ δὲ ἀπόδειξις τοῦ μὴ εἶναι γένεσιν, ἐστὶν αὕτη· Τῶν παρεστώτων εἴτις ὀφθαλμῶν [94] ἐστέρηται, ἢ πεπηρωμένην ἔχει [95] τὴν χεῖρα [96], ἢ χωλὸν [97] ἄρα τὸν πόδα, ἢ ἕτερόν τι περὶ τὸ σῶμα [98] ἰατροῖς οὐ θεραπευθῆναι δυνάμενον οὐδὲ ἀστρολόγοις, ἐπεὶ μηδὲ ἀπὸ τοῦ μακροῦ αἰῶνος τοιοῦτόν τι γέγονεν, ἐγὼ τοῦ Θεοῦ δεηθεὶς παρέξω τὴν θεραπείαν [99]. Τούτου δὲ, ὡς ἐγώ φημι, γενομένου [100], οὐχ ἁμαρτάνουσιν οἱ τὸν πάντα δημιουργήσαντα Θεὸν βλασφημοῦντες; Καὶ ὁ γέρων ἀπεκρίνατο· Βλασφη-

VARIÆ LECTIONES.

[74] al. περιουσίᾳ. [75] al. οὐκ ἠδυνήθην. [76] al. ἔφην· τίνα. [77] deest in al. [78] al. πληροφορηθῆναί σε θέλω. [79] al. ἔχον. [80] al. ἐναντία. [80*] al. γενέσθαι. [81] al. ἀδύνατόν ἐστιν. [82] al. καὶ τῶν ἀστέρων. [83] al. ad. τι. [84] deest in al. [85] deest in al. [86] Post γενέσει, additur in cod. 804, ex *Clementinorum* XIV, 4: Εἰ γένεσίς ἐστιν, ἀντίκειται τὸ μὴ πρῶτον ἄρχειν ἢ ὑπόκεισθαι οὐ δύναται τό ἀγέννητον ὡς ἀγέννητον, ἑαυτοῦ πρεσβύτερον μηδὲν ἔχον. Liber vero CXLVIII, hic interpolatus fuit, ad hunc modum: Εἰ γ. ε. α. καὶ τῷ πρώτῳ τὸ ἄρχειν. Ἐπεὶ ὑποκεῖσθαι αὐτῷ οὐ δύναται τὸ ἀγέννητον ὡς ἀγέννητον, etc., scilicet in vocibus καὶ τῷ πρώτῳ τὸ et ἐπεί et αὐτῷ οὐ. Cot. [87] al. ἐπισυνῆλθεν Al. παρέστη. [88] al. τότε ἐγὼ εἰς τὸν ὄχλον ἀποβλέπων, ἔφην· Ἐγὼ. [89] al. παρειληφώς. [90] al. ἔχον. [91] al. λέγω. [92] al. ἐπειδὴ γένεσιν ἀπ' αὐτῆς τῆς κατὰ γένεσιν ἐπιστήμης ἀνασκευάζειν οὐ δύναμαι, βούλομαι ἄλλῳ τρόπῳ ἀποδεῖξαι, ὅτι κ. π. δ. τὰ πράγματα. [93] al. deest in al. [94] al. ὀφθαλμόν. [95] al. κυλλὴν τὴν χεῖρα ἔχει. [96] al. ἔχοι. [97] deest in al. [98] al. ὃ ὑποστροφὴν πρὸς ἴασιν πάλιν οὐκ ἔχει, καὶ παντὸς ἰαματικοῦ ἐπαγγέλματος ἐκτός ἐστιν· ὃν οὐδὲ ἀστρολόγοι ἰάσασθαι ἐπαγγέλλονται· ὅτι μὴ δὲ ἀπό. [99] al. ἴασιν. [100] al. ὁπότε ἐκ γενέσεως κατόρθωσιν τὸ τοιοῦτον οὐδέποτε λαβεῖν ἠδυνήθη. Τούτου οὕτω γενομένου.

μεῖν γὰρ ἐστι, τὸ λέγειν γενέσει ὑποκεῖσθαι τὰ πάντα, κἀγὼ [1] πρὸς αὐτόν· Καὶ πάνυ. Εἴ γὰρ [2] καὶ πᾶσαι αἱ τῶν ἀνθρώπων ἁμαρτίαι καὶ ἀσέβειαι καὶ ἀσέλγειαι ἐξ ἀστέρων, ὡς σὺ φῄς, γίνονται· τὸ δὲ τοὺς ἀστέρας ταῦτα [3] ποιεῖν ὑπὸ Θεοῦ τέτακται [4], ἵνα πάντων χαλεπῶν ἀποτελεστικοὶ γένωνται, αἱ πάντων ἁμαρτίαι [5] πάντως ἄρα καὶ εἰς αὐτὸν ἀναφέρονται τὸν τὴν γένεσιν ἐνθέντα [6] τοῖς ἄστροις.

CXV. Καὶ ὁ γέρων [8]. Ἀληθῶς [9] ἔφης· ἀλλὰ πάσῃ σου τῇ ἀπαραβλήτῳ ἀποδείξει ἡ ἐμὴ ἐμποδίζει συνείδησις. Ἐγὼ γὰρ ἀστρολόγος ὤν, καὶ Ῥώμην πρῶτον οἰκήσας [10], εἶτα φιλιωθείς τινι πρὸς γένους ὄντι Καίσαρος, αὐτοῦ τε καὶ τῆς συμβίου τὴν γένεσιν [11] ἀκριβῶς ἠπιστάμην, καὶ ἱστορήσας ἀκολούθως τὰς πράξεις ἀποτελεσθείσας [12] αὐτῶν τῇ γενέσει, λόγοις μόνοις [13] οὐκ ἔχω σοι πείθεσθαι. Ἦν γὰρ τῆς γενέσεως αὐτοῖς [14] τὸ διάθεμα, ποιοῦν μοιχάδας, ἰδίων δούλων ἐρώσας, καὶ ἐπὶ ξένης ἐν ὕδατι θνησκούσας· ὃ καὶ [15] οὕτω γέγονεν. Ἐρασθεῖσα γὰρ τοῦ ἰδίου δούλου, καὶ τὸν ψόγον φέρειν οὐ δυναμένη, φυγοῦσα ἐν [16] ἀλλοδαπῇ, καὶ κοίτης αὐτῷ κοινωνήσασα, κατὰ θάλασσαν διεφθάρη [17].

CXVI. Κἀγὼ ἀπεκρινάμην [18]· Καὶ πῶς [19] ἄρα γινώσκεις ὅτι ἡ φυγοῦσα, ἐπ' ἀλλοδαπῆς γενομένη τὸν δοῦλον ἔγημε, καὶ γήμασα ἐτελεύτησε; Καὶ ὁ γέρων· Ἀσφαλῶς οἶδα τἀληθῆ, οὐχ ὅτι ἔγημεν, ὁπότε οὐδὲ ὅτι ἤρα ἐγίνωσκον· ἀλλὰ μετὰ τὴν ἐκείνης [20] ἀπαλλαγὴν ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς, πάντα μοι τὰ κατὰ τὸν αὐτῆς ἔρωτα διηγήσατο, καὶ ὡς σεμνὸς ὤν, ἅτε δὴ καὶ ἀδελφὸς, οὐκ ἐβουλήθη μιᾶναι τὴν κοίτην. Καὶ πῶς βουλομένη, καὶ αἰδουμένη [21] πάλιν αὐτόν τε καὶ τὸν ψόγον ἡ τάλαινα· οὐκ ἔστι γὰρ αὐτὴν μέμψασθαι, ὅτι ἐκ γενέσεως ταῦτα καὶ πάσχειν [22] καὶ ποιεῖν ἠναγκάζετο· ὄνειρον εἴτε ἀληθῆ, εἴτε ψευδῆ ἐπλάσατο οὐκ ἔχω λέγειν. Ἔλεγε γὰρ αὐτὴν εἰρηκέναι, ὅτι ὄναρ αὐτῇ τις ἐπιστὰς [23] ἐκέλευσεν [24] ἐξαυτῆς ἅμα τέκνοις τῆς [25] Ῥωμαίων ἐκβῆναι πόλεως [26]· ὁ δὲ ἀνὴρ σώζεσθαι ταύτην [27] σὺν τοῖς υἱοῖς σπεύδων, αὐτίκα παιδευθησομένους αὐτοὺς εἰς τὰς Ἀθήνας ἐξέπεμψε σὺν μητρὶ καὶ δούλοις· τρίτον δὲ υἱὸν ἔχων παρ' ἑαυτῷ [28], ὡς δὴ τοῦ χρηματίσαντος ἐν ὀνείρῳ [29] συνεῖναι αὐτῷ [30] ἐπιτρέψαντος. Πολλοῦ παρεληλυθότος χρόνου [31], ὡς οὐκ ἔλαβε γράμματα παρ' αὐτῆς, αὐτοῦ πολλάκις πέμψαντος εἰς Ἀθήνας, ἐμὲ παραλαβὼν ὡς πάντων αὐτῷ γνησιώτατον ὄντα, ἐπὶ τὴν ζήτησιν αὐτῆς ἐπορεύθη. Πολλὰ μὲν οὖν αὐτῷ καὶ κατὰ τὴν ἀποδημίαν συνέκαμνον [32] προθύμως, μεμνημένος ὅτι τῆς πάλαι αὐτοῦ εὐδαιμονίας κοινωνόν με πάντων [33] εἶχεν, ὑπὲρ πάντας αὐτοῦ με τοὺς

ledicta et blasphemias conjiciunt? Respondit senex: Scilicet, id est maledicta conferre, dicere genituræ subjici universa? Tum ego ad eum: Omnino est. Nam si omnes hominum errores, et impietates, et impudicitiæ, ex stellis, quemadmodumtu ais, oriuntur; ut autem ea faciant stellæ, a Deo constitutum fuit, quo cunctorum flagitiorum effectrices sint; omnium certe delicta ad eum omnino referuntur, qui in astris posuerit genesim.

CXV. [7] Et senex: Verum ais; sed omni tuæ incomparabili demonstrationi mea obstat conscientia. Ego enim, qui astrologus sum, et Romæ primum habitavi, postea amicus factus cujusdam qui erat ex genere Cæsaris, viri illius uxorisque ejus genituram probe callui; cumque viderim, res prout ferebat eorum genesis, evenisse, solis verbis a te nequeo persuaderi. Erat enim ortus mulieris positura, quæ efficeret adulteras, amore servorum suorum captas, et peregre in aqua pereuntes: quod et ita contigit. Nam quæ servum suum deperiret, nec ferre posset opprobrium, solum fuga vertens, et cum eo concumbens, in mari periit.

CXVI. Ego respondi: Et quonam modo scis, illam fugientem, et in alieno solo positam servo nupsisse, ac interiisse post nuptias? Atque senex: Certo novi, revera non quod nupserit, cum nec amore captam esse scirem: verum postquam illa discessit, frater viri ejus omnem mihi illius amorem enarravit; quod ipse, qui sanctus et honestus erat, utpote etiam frater, noluerit torum maculare; et quo modo volens, ac rursus ipsum atque dedecus verita, illa infelix (non enim licitum est queri de ea, quoniam ex natali hæc cum facere tum perpeti cogebatur), somnium finxerit; verumne an falsum, non habeo dicere. Aiebat siquidem ipsam dixisse quod in somnis quidam sibi astitit, qui eam jussit cum liberis illico urbe Roma excedere: at vir illam cum filiis incolumem evadere satagens, confestim eos erudiendos Athenas misit cum matre et servis: tertium vero filium retinuit apud se, quia qui per somnium ediderat oraculum, cum eo manere permiserat. Multo autem elapso tempore, ut ab ea litteras non accepit, cumque sæpe Athenas misisset; assumpto me, qui ei omnium essem conjunctissimus ac fidissimus, ad quærendam illam profectus est. Multos equidem cum ipso in peregrinatione labores alacriter tuli; memor quod in prisca sua felicitate me omnium habuisset socium, ac supra omnes amicos dilexisset. Itaque Roma

VARIÆ LECTIONES.

[1] al. ἀπεκρινάμην. [2] al. deest in al. [3] γίνονται· οἱ δὲ ἀστέρες ταῦτα. [4] al. ἐτάγησαν. [5] al. ἁμαρτίαι εἰς. [6] al. θέντα ἐν. [7] *Clement.*, hom. XIV, c. 6, etc. *Recogn.*, l. IX, c. 32, etc. [8] al. add. ἀπεκρίνατο. [9] al. inser. μέγα. [10] deest in al. [11] deest in al. [12] al. inser. ἔργῳ, σοὶ λόγῳ πείθεσθαι οὐ δύναμαι, [13] al. μόνον. [14] al. αὐτῆς. [15] al. deest in al. [16] al. μὴ φέρουσα, φυγοῦσα σὺν αὐτῷ, ἐν. [17] al. ὁρμήσασα, καὶ κοινωνήσασα αὐτῷ, θαλάσσῃ διεφθάρη. [18] al. deest in al. [19] al. deest in al. [20] al. αὐτῆς. [21] al. deest in al. [22] al. ποιεῖν καὶ πάσχειν. [23] al. ὡς ὅτι ἐν ὁράματι ἐπιστάς τις. [24] al. præpon. μοί. [25] al. τήν. [26] al. πόλιν. [27] al. αὐτήν. [28] al. ἔσχε παρ' αὐτῷ. [29] al. κατ' ὄναρ. [30] al. αὐτὸν αὐτῷ. [31] al. δὲ χρόνου διελθόντος. [32] al. συνέκαμον. [33] al. πάντως.

continuo solvimus, sicque in has Syriæ partes devenimus. Nec multos post dies, ille quidem præ animi dolore migravit e vita; ego vero huc veniens, victum ab eo tempore ad hunc usque diem manibus comparo.

CXVII. His a sene dictis, intelligens ex oratione ejus, senem quem dixerat, ipsum esse patrem vestrum, nolui cum eo conferre sermonem ea de re, donec communicassem vobiscum: nisi quod cum hospitium ejus didicissem, meumque indicassem, explorandi causa, hoc tantum percontatus sum, quod esset seni nomen. Ille autem: Faustus, inquit; item quod nomen geminis filiis; ille vero respondit: Faustinus et Faustinianus; et quodnam tertio filio; at ille, Clemens, dixit; denique quo nomine vocaretur eorum mater; et ait, Matthidia. Ego igitur ex miseratione collacrymans, dimissa turba, veni ad vos, ut post cibi communem perceptionem hæc vobiscum communicarem. Porro ante cibum narrare, opportunum non censui; ne forte dolore victi, baptismi diem in luctu duceretis, quando etiam angeli efferuntur lætitia. Hæc Petrus cum diceret, omnes una cum matre lacrymis nos dedidimus. Quos ille lacrymantes videns, ait: Nunc unusquisque vestrum, pro timore erga Deum, fortiter quæ memorata sunt ferat. Neque enim hodie vobis interiit pater, sed jam olim, sicut vos, conjectura recte facta, dixistis.

CXVIII. Ista Petro loquente, mater ferre non valens, magno clamore edito: Hei mihi, o vir; quantum nos diligens, ipse quidem mori voluisti; nos vero vivimus, et lucem aspicimus, et adhuc capimus cibum. Nondum hoc uno ejulatu finito, ecce senex ingreditur; et simul atque clamoris causam sciscitari vellet, respiciens ad uxorem: Hei! inquit; quidnam hoc est? Quam video? Accedens vero et diligentius aspiciens, ac visus, complexus est. Ambo autem præ gaudio repentino defecerunt exclamare nisi, et alter alteri loqui cupientes, vocem emittere non potuerunt, nec ob inexpletam lætitiam reprimere se. Multoque post mater ad eum: Habeo te, Fauste, omni modo suavissimum. Et qua ratione vivis, de cujus morte paulo ante audivimus? Cæterum hi sunt filii, Faustinus et Faustinianus, ac exoptatus Clemens. Quæ cum dixisset, nos tres in ipsum incumbentes, eumque deosculati, formam illius obscure agnovimus.

CXIX. Hæc cum videret Petrus: Tu es Faustus, inquit, hujus vir, ejusque liberorum pater? Ille

A φίλους ἀγαπῶν. Καὶ δὴ ἀπεπλεύσαμεν αὐτῆς Ῥώμης, καὶ οὕτως εἰς τὰ ἐνταῦθα τῆς Συρίας ἐγενόμεθα μέρη. Καὶ οὐ μετὰ πολλὰς ἡμέρας , ἐκεῖνος μὲν ἀθυμῶν ἐτελεύτησεν· ἐγὼ δὲ ἐνταῦθα ἐλθὼν , τὰς διὰ τῶν χειρῶν τροφὰς ἔκτοτε καὶ εἰς δεῦρο [35] πορίζομαι.

CXVII. Ταῦτα τοῦ γέροντος εἰπόντος, συνιδὼν ὅτι ὃν ἔλεγε γέροντα [36], οὗτος ἦν, ἐξ ὧν ἔλεγεν, ὁ πατὴρ ὁ ὑμέτερος, οὐκ ἐβουλήθην αὐτῷ [37] συναντιβαλεῖν, μέχρις ἂν ὑμῖν προσανάθωμαι. Πλὴν τὰ κατὰ τὴν ξενίαν αὐτοῦ καταμαθὼν, καὶ τὴν ἐμὴν [38] δὲ μηνύσας, ἀκριβείας ἕνεκα, τοῦτο μόνον ἐπυθόμην, τί τῷ γέροντι ὄνομα· ὁ δὲ ἔφη· Φαῦστος· τί δὲ τοῖς διδύμοις υἱοῖς· ὁ δὲ ἀπεκρίνατο· Φαυστῖνος καὶ Φαυστινιανός· τί δὲ τῷ τρίτῳ υἱῷ· ὁ δὲ, Κλήμης, εἶπε. Τί δὲ τούτων B μητρὶ ὄνομα· Ματθιδία [39], φησίν. Ὑπὸ συμπαθείας οὖν ἐγὼ σύνδακρυς γενόμενος, ἀπολύσας τοὺς ὄχλους, ἦλθον πρὸς ὑμᾶς, ἵνα μετὰ τὴν τῶν ἄλλων [40] κοινωνίαν ταῦτα προσανάθωμαι ὑμῖν. Πρὸ δὲ τῶν ἁλῶν [41] εἰπεῖν ὑμῖν οὐ [42] δέον ἔκρινα, μή πως ὑπὸ λύπης νικηθέντες, ἐν τῇ τοῦ βαπτίσματος ἡμέρᾳ πενθοῦντες διατελέσητε, ὁπότε καὶ ἄγγελοι χαίρουσι. Ταῦτα τοῦ Πέτρου λέγοντος, ἐδακρύομεν οἱ πάντες μετὰ τῆς μητρός. Ὁ δὲ δακρύοντας ἡμᾶς ἰδὼν, ἔφη· Νῦν ἕκαστος ὑμῶν φόβῳ τῷ πρὸς τὸν Θεὸν γενναίως φερέτω τὰ εἰρημένα [43]. Οὐ γὰρ δὴ σήμερόν ὑμῖν ἐτελεύτησεν ὁ πατὴρ, ἀλλὰ καὶ ἔκπαλαι, ὡς ὑμεῖς εἰρήκατε στοχαζόμενοι [44].

CXVIII. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ἡ μήτηρ μὴ φέρουσα, μέγα ἀνέκραγεν [45]· Οἴμοι, ἄνερ, [46] ὡς ἀγα-C πῶν ἡμᾶς, κρίσει [47] μὲν αὐτὸς ἐτελεύτησας, ἡμεῖς δὲ ζῶντες τὸ φῶς ὁρῶμεν, καὶ τροφῆς [48] ἄρτι μεταλαμβάνομεν. Οὔπω [49] τῆς μιᾶς ταύτης ὀλολυγῆς παυσαμένης, ἰδοὺ καὶ ὁ γέρων εἰσῄει· καὶ ἅμα τῷ βούλεσθαι αὐτὸν τῆς κραυγῆς τὴν αἰτίαν πυνθάνεσθαι, εἰς τὴν γυναῖκα ἐμβλέψας ἔφη· Οἴμοι, τί θέλει [50] τοῦτο εἶναι; Τίνα ὁρῶ; Προσελθὼν δὲ καὶ ἀκριβέστερον ἐνιδὼν [51], καὶ ὁραθεὶς περιεπλέκετο. Οἱ δὲ ὑπὸ χαρᾶς αἰφνιδίου διεφώνουν ἀμφότεροι, καὶ λαλεῖν ἀλλήλοις βουλόμενοι, ἀφασίᾳ συσχεθέντες ἐκ τῆς ἀπλήστου χαρᾶς ἐπέχειν [52] ἑαυτοὺς οὐκ ἠδύναντο. Καὶ μετὰ [53] πολὺ [54] πρὸς αὐτὸν ἡ μήτηρ [55]· Ἔχω σε, Φαῦστε, τὸν κατὰ πάντα [56] γλυκύτατον. Πῶς ἄρα ζῇς, ὃν ὡς τεθνεῶτα μικρῷ [57] πρόσθεν ἠκούσαμεν; Πλὴν οὗτοί εἰσιν [58] οἱ υἱοὶ, Φαυστῖνος καὶ Φαυστι-D νιανὸς, καὶ [59] ὁ ποθεινὸς Κλήμης. Ταῦτα εἰπούσης, ἡμεῖς οἱ τρεῖς προσπεσόντες αὐτῷ, καὶ καταφιλοῦντες, τὴν ἐκείνου μορφὴν ἀμυδρῶς πως καταμανθάνομεν [60].

CXIX. Ἃ καὶ βλέπων ὁ Πέτρος· Σὺ [61] εἶ Φαῦστος, [62] εἶπεν, ὁ ταύτης ἀνὴρ καὶ τῶν αὐτῆς παίδων

VARIÆ LECTIONES.

[34] deest in al. [35] al. μέχρι τοῦ δεῦρο. [36] al. συνεῖδον μὲν ὅτι ὃν ἔλεγε τεθνάναι γέροντα αὐτός. [37] al. δὲ τὰ καθ' ὑμᾶς αὐτῷ. [38] deest in al. [39] ὁ δὲ ἔφη· Ματθ. [40] al. ἁλῶν. [41] al. τοῦ τῶν ἁλῶν μεταλαβεῖν. [42] al. οὐκ ἠβουλήθην. [43] al. λεχθέντα. [44] al. σχολαζόμενοι. [45] βοῶσα ἔφη. [46] deest in al. [47] deest in al. [48] deest in al. [49] al. inser. δέ. [50] al. θέλοι. [51] al. ἰδών. [52] al. κρατεῖν. [53] al. μετ' οὐ. [54] deest in al. [55] al. add. ἔφη. [56] al. præpon. μοι. [57] al. τεθνηκότα μικρῷ τάχιον ἠκ. [58] al. ἡμῶν. [59] deest in al. [60] κατεμανθ. [61] al. ταῦτα β. ὁ Π. ἔφη· Σύ. [62] deest in al.

πατήρ; Ὁ δὲ, Ἐγώ εἰμι, ἔφη. Καὶ ὁ Πέτρος· Πῶς οὖν μοι τοὺς σεαυτοῦ [63], ὡς περὶ ἄλλου διηγήσω πόνους, εἰπὼν καὶ λύπην καὶ τάφον; Καὶ ὁ πατὴρ ἀπεκρίνατο· Συγγενὴς [64] ὢν Καίσαρος, καὶ γενέσθαι κατάφωρος [65] οὐκ ἐθέλων, ἐπ' ἄλλῳ τινὶ τὴν ἐξήγησιν ἀνετυπωσάμην, ἵν' αὐτοῖς [66] ὅστις εἰμὶ μὴ ἐπιγνωσθῶ. Ἤδειν γὰρ ὅτι εἰ ἀναγνώριμος γένωμαι, οἱ κατὰ τὸν τόπον ἡγούμενοι ταῦτα μαθόντες, ἀνακαλέσονται [67], Καίσαρι κεχαρισμένα ποιοῦντες, [68] καὶ τὴν τοῦ βίου [69] πάλιν εὐδαιμονίαν μοι περιθήσουσιν, ὅπερ ὅλῃ προθέσει πρότερον ἀπεταξάμην [70], [71] ἄνευ τῶν ἐμοὶ φιλτάτων τέκνων πολιτεύεσθαι ἢ ζῆν ὅλως μὴ ἀνεχόμενος.

CXX. Καὶ ὁ Πέτρος [72]· Ταῦτα μὲν ἐποίησας ὡς ἐβουλεύσω. Περὶ δὲ γενέσεως ἄρα ψευδόμενος διϊσχυρίζου, ἢ ὡς ἀληθεύων ἐβεβαίους; Καὶ ὁ πατήρ· Οὐ ψεύσομαι, ἔφη, πρὸς σέ· [73] ὡς ἀληθῶς ἄρα οὔσης γενέσεως ἐβεβαίουν. [74] Ἔχω γὰρ οὐκ ἀμυήτως τοῦ θεωρήματος· πλὴν [75] ἀλλὰ καὶ συνῆν μοί τις ἀστρολόγων ἀνὴρ ἄριστος Αἰγύπτιος, Ἀννουβίων ὄνομα [76], ὅστις ἐν ταῖς ἀποδημίαις κατ' ἀρχάς μοι φιλιωθεὶς [77], τὸν τῆς ἐμῆς συμβίου μετὰ τῶν τέκνων θάνατον ἐδήλου. Καὶ ὁ Πέτρος [78]· Οὐκοῦν ἔργῳ πέπεισαι [79] νῦν, ὅτι οὐ συνέστηκε τὰ κατὰ τὴν γένεσιν; Καὶ ὁ πατὴρ ἀπεκρίνατο· Ἀνάγκη με πάντα τὰ τὸν ἐμὸν ὑπερβαίνοντα νοῦν κατὰ μέρος ἐκθέσθαι σοι, ἵνα παρὰ σοῦ πάλιν τἀληθῆ μάθω καὶ βέβαια· πολλὰ [80] πταίειν οἶδα τοὺς ἀστρολόγους, πολλὰ [81] δὲ καὶ τῆς ἀληθείας αὐτοὺς ἐφικνεῖσθαι· ἀλλὰ μή πως [82] ἃ μὲν ἀκριβοῦσιν, ἀληθεύουσιν· ἃ δὲ πταίουσιν, ἀμαθίᾳ πάσχουσιν· ὡς ὑπονοεῖν με, τὸ μὲν μάθημα συνεστάναι, τοὺς δὲ δι' ἀμαθίαν ψεύδεσθαι [83] μόνην, διὰ τὸ μὴ πάντας [84] περὶ πάντων ἀκριβοῦν δύνασθαι. Καὶ ὁ Πέτρος· Ἄπεχε, ἔφη, μή πως [85] περὶ ὧν ἀληθεύουσιν, ὡς ἐπιτυχάνοντες [86], καὶ οὐχὶ ὡς ἀκριβοῦντες ἄρα προλέγουσιν [87]· ἀνάγκη γὰρ πᾶσα ἐκ πολλῶν τῶν λεγομένων ἀποβαίνειν τινά. Καὶ ὁ γέρων [88]· Πῶς οὖν ἔστι περὶ τούτου με πιστωθῆναι, τὸ εἴτε [89] συνέστηκε τὸ κατὰ τὴν γένεσιν, ἢ οὔ;

CXXI. Ἀμφοτέρων οὖν σιωπώντων, ἐγὼ [90] Κλήμης· Ἐπειδὴ τὸ μάθημα, ἔφην, ἀκριβῶς ἐπίσταμαι, ὁ δὲ κύριος καὶ [91] πατὴρ οὐχ οὕτως, ἔθελον εἰ αὐτὸς Ἀννουβίων παρῆν, ἐπὶ τοῦ πατρὸς ποιήσασθαι [92] λόγον. Οὕτω γὰρ ἂν τὸ πρᾶγμα εἰς φανερὸν ἐλθεῖν ἠδύνατο, τεχνίτου πρὸς ὁμότεχνον τὴν ζήτησιν ἐσχηκότος. Καὶ ὁ πατὴρ ἀπεκρίνατο· Ποῦ οὖν δυνατόν ἐστιν Ἀννουβίωνι συντυχεῖν; Καὶ ὁ Πέτρος· Ἐν Ἀντιοχείᾳ, ἔφη· ἐκεῖ γὰρ μανθάνω Σίμωνα τὸν Μάγον [93] ἐπιδημεῖν, ᾧ [94] καὶ παρεπόμενος Ἀννουβίων, ἀχώριστός ἐστιν.

A vero ait: Ego sum. Et Petrus: Quare ergo tuos mihi labores, tanquam de alio enarrasti, referens et dolorem et exsequias? Tum pater respondit: Cum essem cognatus Cæsaris, et nollem deprehendi, de alio quodam narrationem effinxi, ut a vobis quis essem non agnoscerer. Sciebam enim, quod si recognitus essem, loci præsides, his compertis, ut rem gratam Cæsari facerent, me essent revocaturi, et pristina felicitate circumdaturi; cui tota intentione antea renuntiavi, sine charissimis mihi liberis, in republica versari, aut vivere omnino non sustinens.

CXX. Tum Petrus: Hæc quidem fecisti quemadmodum placuit. Sed de genitura, fingensne affir-
B mabas; an veluti verum dicens asserebas. Et pater: Non mentiar, inquit, apud te: tanquam vere sit genesis, confirmabam. Non enim rudis sum in mysteriis hujus disciplinæ: sed et mecum versatus est quidam astrologus, vir præstantissimus, Ægyptus, nomine Annubion, qui in peregrinationibus ab initio mihi amicus effectus, uxoris meæ ac liberorum mortem indicavit. Et Petrus: Nunquid ergo nunc reipsa persuasum habes, genesin non consistere? Pater respondit: Necesse est ut omnia quæ per mentem meam transeunt, tibi exponam singulatim, quo a te vicissim vera discam et certa. Animadverti errare in multis astrologos, in multis quoque eos veritatem attingere: verum forte in iis quæ comperta habent, vere dicunt; in iis autem in quibus errant, id ignorantia patiuntur: quare su-
C spicor, constare disciplinam; illos autem per solam inscitiam falsa prædicare; eo quod non omnes possint de omnibus habere scientiam. Et Petrus: Cave, inquit, ne cum verum dicunt, veluti casu assequentes, et non tanquam certo scientes, prædicant. Omnino enim necesse est, ex multis dictis evenire nonnulla. Tum senex: Qua ergo ratione certus hac in re esse possum, an constet, nec ne, id quod ad genesim pertinet?

CXXI. Cum igitur uterque taceret, ego Clemens: Quia, inquam, mathematicas disciplinas penitus novi; dominus autem et pater non item; cuperem, si ipse Annubion adesset, coram patre disputationem habere. Ita quippe res palam venire posset, dum artis peritus adversus ejusdem artis hominem
D quæstionem agitaret. Respondit pater: Ubi ergo potest cum Annubione congressus et colloquium haberi? Et Petrus: Antiochiæ, inquit. Ibi enim audio Simonem Magum esse; quem Annubion as-

VARIÆ LECTIONES.

[63] al. ἑαυτοῦ. [64] al. προσγενὴς ὑπάρχων. [65] al. κατάφορος. Al. περίφωρος μὴ θέλων, εἰς ἄλλου τινὸς τήν. [66] al. αὐτός. [67] al. ἀκούσαντες, ἀνακαλέσαντες. [68] deest in al. [69] deest in al. [70] al. ὅπερ ἀπετ. [71] οὐ γὰρ ἐδυνάμην περὶ τῶν ἐμοὶ ἠγαπημένων τὰ μέγιστα ὡς περὶ θανόντων κρίνας, πρὸς τὴν τοῦ βίου ἑαυτὸν ἀποδοῦναι δόξαν. [72] al. add. ἔφη. [73] al. ἀληθῶς ὡς οὔσης. [74] al. εἰμὶ γὰρ οὐκ ἀμύητος. [75] deest in al. [76] al. ὀνόματι. [77] al. φιληθείς. [78] al. add. ἔφη. [79] deest in al. [80] al. ὑποτρέχοντά μοι εἰς τὸν νοῦν ἐκτίθεσθαί σοι, ἵνα πρὸς αὐτὰ ἀκούων, μανθάνειν ἔχω, πολλά. [81] πολλάκις. [82] al. ἀληθεύειν· ὑποπτεύω οὖν μήπως. [83] deest in al. [84] al. πάντως. [85] al. ἔπεχε Al. ἀπεκρίνατο· ἀπεκρίνατο· ἄπεχε, μή πως. [86] al. ἐπιτυγχάνουσι. [86] al. ἀκριβοῦντες λέγουσιν. [88] al. add. ἔφη. [89] al. πληροφορηθῆναι· εἴτε. [90] deest in al. [91] al. καὶ ὁ. [92] al. εποιησάμην. [93] al. οντα. [94] deest in al.

sectatus, non deserit. Quando ergo illic erimus, si eos nanciscamur, coram eo disceptatio flet. Et postquam de multis disseruimus, propter recognitionem gaudio repleti, Deoque magnam gratiam habentes, nocte superveniente, ad somnum nos contulimus.

CXXII. Exorto autem mane, pater cum matre tribusque filiis ingressus in locum ubi erat Petrus, cum salutasset, sedit; deinde nos quoque, illo jubente. Patremque intuitus Petrus: Percupio, inquit, te idem sentire quod uxor ac liberi; ut et hic cum eis convivas, et illic post animæ a corpore disjunctionem, una cum eisdem in lætitia degas. An non enim maxime te atque illos contristaret, si una non essetis? Excepit pater. Omnino sane. Tum Petrus: Si ergo, hic invicem separatos esse molestia afficit; hoc ubi post mortem plane fiet, quanto magis molestum erit te quidem, qui vir sapiens es, ratione tuæ opinionis disjungi a tuis; illos vero multo magis dolere, quod sciant te alia sentientem, æternum supplicium ob veri dogmatis negationem manere?

CXXIII. [7]Et pater dixit: At non ita est, o amice, ut apud inferos animæ puniantur; quoniam anima simul atque a corpore discedit, in aerem dissolvitur. Excepit Petrus: Itaque usque dum hac de re tibi persuadeamus, responde mihi: nonne tibi videtur, te quidem qui futuras pœnas non credis, nequaquam dolere; illos vero, qui persuasum habent non parvam te manere calamitatem, plurimum angi? Tum pater: Recte dicis. Petrus autem: Et quare maximo de te mœrore non eos liberabis? fidei assentiens; non pudore inquam, sed æquitate; de iis quæ tibi a me dicuntur audiendo, et judicando utrum ea ita necne habeant. Ac si quidem ita est, ut dicimus; et hic una cum charissimis delectaberis, et illic cum eisdem requiem consequeris. Quod si in verborum tuorum disceptatione ostenderis, quæ a nobis afferuntur falsam esse fabulam; etiam illos idem tecum sentientes accipies, sicque pulchre facies. Ut enim vana spe inniti desistant efficies, eosque falsarum rerum metu liberabis.

CXXIV. Et pater: Multa mihi videris dicere rationi consentanea. Ac Petrus: Quid ergo impedit, nostræ te fidei assentiri? Non enim negotiis mercaturæ, actionum publicarum, agriculturæ, sollicitudinum; horum nullo retineris: potes autem intelligere, nihil eorum quæ sunt, fortuito, quasi nequaquam existat providentia, evenire. Cujus quidem rei documentum manifestissimum, quæ tibi liberisque tuis ac uxori acciderunt. Nam si apud te

A 'Επὰν [95] οὖν ἐκεῖ γενώμεθα, ἐάν γε καταλαβωμεν αὐτοὺς, ἡ ζήτησις ἐπ' ἐκείνου γενήσεται [96]. Καὶ ὅμως πολλὰ διαλεχθέντες, καὶ ἐπὶ τῷ ἀναγνωρισμῷ χαρᾶς [97] πληρωθέντες, καὶ Θεῷ πολλὴν χάριν [98] ὁμολογοῦντες [99], ἑσπέρας καταλαβούσης, εἰς ὕπνον ἐτράπημεν.

CXXII. Ὄρθρου δὲ γενομένου, ὁ πατὴρ μετὰ τῆς μητρὸς [100] καὶ τῶν τριῶν υἱῶν εἰσελθὼν ἔνθα ὁ Πέτρος ἦν, [1] καὶ προσαγορεύσας, ἐκαθέσθη· ἔπειτα καὶ ἡμεῖς, αὐτοῦ κελεύσαντος. Καὶ ὁ Πέτρος τὸν πατέρα [2] προσβλέψας· Σπεύδω σε, ἔφη, ὁμόφρονα γενέσθαι γυναικὶ καὶ τέκνοις, ὅπως αὐτοῖς καὶ ἐνταυθα ὁμοδίαιτος ᾖς, κἀκεῖ μετὰ τὸν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς χωρισμὸν, συνὼν [3] ἐν εὐφροσύνῃ διάγῃς. Ἢ γὰρ οὐ τὰ μέγιστά σέ τε λυπεῖ καὶ αὐτοὺς τὸ μὴ ἀλλήλοις συνεῖναι; B Καὶ ὁ πατὴρ [4] ἔφη· Καὶ πάνυ γε. Καὶ ὁ Πέτρος· Εἰ οὖν ἐνταῦθα τὸ ἀλλήλων κεχωρίσθαι λυπεῖ, μετὰ θάνατον πάντως [5] γενόμενον, πόσῳ γε μᾶλλον [6] λυπήσει, σὲ μὲν ἄνδρα σοφὸν, ὄντα, τῷ τῆς γνώμης σου λόγῳ τῶν σῶν κεχωρίσθαι, αὐτοὺς δὲ πολὺ μᾶλλον ὀδυνᾶσθαι, τῷ εἰδέναι, ὅτι σε ἄλλα φρονοῦντα αἰώνιος μένει κόλασις, ῥητοῦ δόγματος ἀποφάσει;

CXXIII. Καὶ ὁ πατὴρ ἔφη· Ἀλλ' οὐκ ἔστιν, ὦ φίλτατε, τὸ ἐν ᾅδου ψυχὰς [8] κολάζεσθαι, αὐτῆς ἅμα τῷ ἀποστῆναι τοῦ σώματος, εἰς ἀέρα λυομένης· Καὶ ὁ Πέτρος ἔφη· Μέχρις οὖν ὅτε περὶ τούτου πείσομέν σε, ἀπόκριναί μοι· οὐ δοκεῖ σοι, σὲ μὲν τῇ κολάσει διαπιστοῦντα μὴ [9] λυπεῖσθαι, ἐκείνους δὲ [10] περὶ σοῦ πεπεισμένους, ὡς ἄρα οὐ μικρὰν ἔχεις ἀνάγκην, ἐκ περισσοῦ ἀνιᾶσθαι; Καὶ ὁ πατήρ· Ἀκολούθως λέγεις. Καὶ ὁ Πέτρος· Διὰ τί δὲ αὐτοὺς οὐκ ἀπαλλάξεις C μεγίστης περὶ σοῦ λύπης; τῇ πίστει συνθέμενος, οὐ δυσωπίᾳ λέγω, ἀλλ' εὐγνωμοσύνῃ, περὶ τῶν ὑπ' ἐμοῦ λεγομένων σοι ἀκούων, καὶ κρίνων εἰ ταῦτα οὕτως ἔχει ἢ οὔ. Καὶ εἰ μὲν οὕτως ἔχει ὡς λέγομεν, καὶ ὧδε συναπολαύσεις τοῖς φιλτάτοις, κἀκεῖ συναναπαύσῃ. Εἰ δὲ ἐν τῇ τῶν λόγων [11] σοῦ σκέψει δείξῃς τὰ ὑφ' ἡμῶν λεγόμενα ψευδῆ τινα μῦθον εἶναι, καὶ ὁμογνώμονάς σου λάβοις αὐτοὺς, καὶ οὕτω καλῶς ποιήσεις [12]· τοῦ τε γὰρ κεναῖς ἐλπίσι ἐπερείδεσθαι παύσεις, καὶ φόβῳ [13] αὐτοὺς ψευδῶν ἀπαλλάξεις [14].

CXXIV. Καὶ ὁ πατήρ· Πολλὰ φαίνῃ [15] μοι εὔλογα λέγων. Καὶ ὁ Πέτρος [16]· Τί οὖν ἐστι τὸ κωλύον συνθέσθαι σε τῇ ἡμετέρᾳ πίστει; Οὔτε γὰρ ἀσχολίαις D ἀγορασμῶν, οὔτε πράξεων, οὔτε γεωργιῶν, οὐ φροντίδων, οὐδενὶ τούτων κατέχῃ· δύνασαι δὲ νοεῖν ὡς οὐκ αὐτομάτως ἐγένετό τι τῶν ὄντων, οἷα προνοίας οὐκ οὔσης. Καὶ τούτου δεῖγμα σαφέστατον, τὰ περὶ σὲ καὶ τὰ σὰ τέκνα καὶ τὴν γυναῖκα γεγενημένα· Εἰ γὰρ παρὰ σοὶ ὄντες καὶ εἰς δεῦρο ἐτύγχανον, οὐκ ἂν

VARIÆ LECTIONES.

[95] al. ὡς [96] al. γενέσθαι δύναται. [97] al. πλησθέντες. [98] al. εὐχαριστήσαντες, ἑσπέρας. [99] al. ὁμολογήσαντες. [100] al. inser. ἡμῶν. [1] deest in al. [2] al. τῷ πατρί. [3] al. συνόντα ἄλυπον ἔσεσθαι. [4] deest in al. [5] al. ὀφειλόμενον ὑμῖν μετ' ἀλλήλων μὴ εἶναι, πόσῳ. [6] al. inser. οὐ. [7] *Clement.*, hom. xv, c. 1, etc. [8] al. ψυχήν. [9] al. ἀπιστοῦντα τὴν κόλασιν μή. [10] al αὐτοὺς δὲ πεπεισμένους, ἀνάγκην ἔχειν περὶ σοῦ ἀνιᾶσθαι. [11] deest in al. [12] al. οὕτως καλῶς ποιήσεις, αὐτοὺς ὁμογνώμονάς σοι εἰληφὼς, καὶ τοῦ κεναῖς. [13] al. φόβων. [14] deest in al. [15] al. φαίνει. [16] al. add. ἔφη.

τὸν τῆς εὐσεβείας λόγον ἐδέξαντο, οὐκ ἂν ἐπιγνῶναι τὴν ἀλήθειαν ἠδυνήθησαν. Διὰ τοῦτο μετὰ τῆς ἀποδημίας, καὶ ναυάγιον ᾠκονομήθη, καὶ πικροῦ θανάτου ὑπόνοια· προσέτι δὲ καὶ ἡ περὶ τὰ Ἑλληνικὰ τούτων ἄσκησις, ἵν' ὡς πρότερον αὐτὰ παιδευθέντες, εἶτα μεταβαλόντες πρὸς τὴν εὐσέβειαν, δυνατοὶ ὦσιν ἑτοίμως αὐτὰ καὶ μετὰ πολλῆς ἀνασκευάζειν τῆς εὐκολίας· καὶ ἃ κακῶς τηνικαῦτα κατὰ τῆς εὐσεβείας προὐβάλλοντο, τούτοις καλῶς ὑπὲρ αὐτῆς καὶ ἐν καιρῷ τῷ προσήκοντι χρήσαιντο. Εἴσῃ δὲ καὶ αὐτὸς σαφῶς ἀπό γε τοῦ μακροῦ τούτου ἀναγνωρισμοῦ, καὶ ὧν μεταξὺ σαφῶς [17] ἡ Πρόνοια περὶ σὲ ᾠκονόμησεν, ὡς ἄρα υὐδὲν τῶν γινομένων αὐτομάτως οὕτως καὶ εἰκῇ γίνεται· ἀλλ' ἐκείνη ἐστὶν ἡ ἐφεστῶσα καὶ τόδε τὸ πᾶν συγκρατοῦσα διηνεκῶς καὶ συνέχουσα, εἰ καὶ τὰ πολλὰ τὴν διάνοιαν ὑπερβαίνει τὴν ἡμετέραν.

hucusque mansissent, non suscepissent verbum pietatis, veritatem non potuissent agnoscere. Propter hoc, cum peregrinatione naufragium quoque provisum est, ac mortis acerbæ suspicio: præterea que eorum in Græcis disciplinis exercitatio; ut qui illas prius edocti, et postea ad veram religionem conversi fuissent, expedite magnaque cum facilitate possent easdem confutare; et quas aliquando male contra religionem objecerant, his bene et tempore convenienti pro religione uterentur. Tu quoque ex hac post longum tempus recognitione, et iis quæ interim aperte Providentia circa te constituit, manifeste intelliges, nihi eorum quæ fiunt, casu ita et temere fieri, sed Providentiam præesse, ac semper continere atque conservare hanc universitatem, licet multa superent mentem nostram.

CXXV. Ἐπεὶ τούτων ἤκουσεν ὁ πατὴρ, τὸν λόγον ἀναλαβὼν, Μὴ νόμιζε, εἴρηκε, κύριέ μου Πέτρε, ὡς πάντῃ μου διαπέφευγε τὸν νοῦν, ἡ περὶ τοῦ ὑπὸ σοῦ κηρυττομένου λόγου δύναμις· ἀλλὰ καὶ τοῦ παιδὸς Κλήμεντος πολλὰ δι' ὅλης νυκτὸς ὁμιλοῦντός μοι [18], ὥστε συνθέσθαι τοῖς ὑπὸ σοῦ λεγομένοις, καὶ πάντα τρόπον εἰς τοῦτο ἐνάγοντος· Τί δαὶ, πρὸς αὐτὸν ἔφην ἐγὼ, δύναταί τις ἐντέλλεσθαί τι καινότερον, παρ' ὃ πρότερον οἱ ἀρχαῖοι παρῄνεσαν; Κἀκεῖνος ἠρέμα γελάσας· Πολλὴ διαφορὰ, πάτερ, εἶπε, μεταξὺ τῶν τῆς θεοσεβείας λόγων καὶ τῆς φιλοσοφίας. Ὁ γὰρ τῆς ἀληθείας λόγος τὴν ἐκ προφητείας ἔχει βεβαίαν ἀπόδειξιν· ὁ δὲ τῆς φιλοσοφίας ἀπὸ συνθέσεως λόγων καὶ στοχασμῶν δοκεῖ παριστάνειν τὰς ἀποδείξεις. Καὶ ὁμῶς ταῦτα εἰπὼν, δείγματος χάριν τόν περὶ φιλανθρωπίας λόγον ἐξέθετο, ὃν οὐ πολλῷ πρότερον αὐτῷ [21] ὑφηγήσω, ὡς ἀδικώτατός μοι μᾶλλον ἐφαίνετο, καὶ τὸ πῶς, ἐρῶ. Δίκαιον ἔφασκεν εἶναι, καὶ τῷ τύπτοντι αὐτοῦ τὴν σιαγόνα, παρατιθέναι καὶ τὴν ἄλλην· καὶ τῷ αἴροντι αὐτοῦ τὸ ἱμάτιον, προσδιδόναι καὶ τὸν χιτῶνα [22], ἀγγαρεύοντι δὲ [23] μίλιον ἓν, συναπέρχεσθαι δύο· καὶ ὅσα τοιαῦτα.

CXLIX. Τρίτος [23] (18) γὰρ μετὰ Πέτρον τὸν μέγαν τὸν ὑψηλὸν τῆς Ῥωμαίων Ἐκκλησίας θρόνον καθίσας, καὶ ἀρετῆς ἆθλον αὐτὸν δεξάμενος, εἵπετο κατ' ἴχνος τῷ διδασκάλῳ, καὶ ἀποστολικὴν διδασκαλίαν

(a) I Cor., vi, 3.

VARIÆ LECTIONES.

[16-17] al. inser. ὑμῶν. [18] deest in al. [19] al. inser. ἐν. [20] deest in mss. [21] Αὕτη μὲν οὖν In uno veterum codicum præponitur titulus, Μαρτύριον τοῦ ἁγίου Κλήμεντος. Cot. [22] al. inser. καί. [23] al. πρῶτος. al. δεύτερος.

VARIORUM NOTÆ.

(18) Τρίτος. Infra Latine habes etiam Passionem seu Vitam Clementis, post pseudo-Abdiam et apud Monbritium. Memoratur autem a Gregorio Turonensi, *Miraculorum* lib. I, cap. 35, et excerpitur per Freculfum, tom. II, lib. II, cap. 10, ac per martyrologos. Joannem quoque diaconum sæculo nono scripsisse gesta Clementis papæ legimus in Sigeberto, *De scriptoribus ecclesiasticis* cap. 107, eumque librum aiunt exstare in Casinensi Bibliotheca. De Græco Martyrio, venisse in manus Nicephori Callisti colligere est ex illius lib. III, cap. 18. Cæterum hic notari debet triplex lectio τρίτος δεύτερος, πρῶτος, originem ducens a diversis exscriptorum sententiis, quas retuli ad *Constitut. apostol.* lib. VII, cap. 46. Cot.

καὶ αὐτὸς ἐπεδείκνυτο, καὶ τοῖς ὁμοίοις διέλαμπε A τρόποις, οὐ Χριστιανοῖς μόνον εὐαρεστῶν, ἀλλὰ δὴ καὶ Ἰοαδαίοις καὶ αὐτοῖς Ἕλλησι, καὶ πᾶσι πάντα γινόμενος, ἵνα τοὺς πάντας καὶ οὕτω [24-25] κερδάνῃ, καὶ τῷ Χριστῷ παραστήσῃ, καὶ συνδήσῃ τῇ εὐσεβείᾳ. Ὅπως δὲ μὴ ψιλὴ μόνον ὑπόληψις εἶναι δοκῇ τὰ παρόντα, καὶ τὰς αἰτίας ἐροῦμεν. Ἕλλησι μὲν γὰρ διὰ τοῦτο τιμώμενος ἦν, καὶ ἡδέως αὐτῷ προσεῖχον ἐκεῖνοι, ὅτι μὴ λοιδορούμενος αὐτοῖς, μηδὲ ἀποστρεφόμενος, ἀλλ' ὥσπερ ἀπολογούμενος, καὶ μαρτυρίας πάντοθεν παράγων ἀπὸ τῶν παρ' αὐτοῖς βιβλίων τε καὶ γραφῶν, ἐδείκνυ σαφῶς, ὅθεν τε οἱ ὑπ' αὐτῶν νομιζόμενοι θεοὶ ὥρμηνται, καὶ ὅπου γεγέννηνται, ἅ τε πράξειαν, καὶ εἰς οἷον ἔλθοιεν τέλος, καὶ ὅπως τὸν βίον ἀθλίως κατέστρεψαν. Εἶτα καὶ ὡς οὐκ ἀποκέκλεισται αὐτοῖς παρὰ τοῦ Θεοῦ ἡ τῆς μετανοίας B ὁδὸς, οὐδὲ παντάπασι τῆς σωτηριας ἐξέπεσον· ἀλλ' εἰ καὶ μόννν ἐπιστρέψαντας ἴδοι, καὶ τῆς προτέρας ἀπωλείας, καὶ τῆς ἀπάτης ἀποσχομένους, καὶ συγγνώσεται αὐτοῖς φιλανθρώπως, καὶ προσηνῶς ὑποδέξεται, καὶ βασιλείαν οὐρανῶν ἑτοιμάσει, καὶ ἀγαθῶν ἀξιώσει τῶν ἀποῤῥήτων.

CL. Ἰουδαίοις δὲ πάλιν ἐντεῦθεν ἐδόκει χαρίζεσθαι, ὅτι τε φίλους τοῦ Θεοῦ τοὺς ἐκείνων πατέρας ὑπέφαινε [26], καὶ ὅτι τὸν παρ' αὐτοῖς νόμον ἱερόν τε παρίστη καὶ θεῖον, καὶ οὔτε αὐτὸν παυθήσεσθαι, οὔτε τὴν πολιτείαν μετατεθήσεσθαι, ἀλλὰ κλῆρον αὐτοῖς ἔσεσθαι τὴν Παλαιστίνην διηνεκῆ, εἴ γε τὸν [27] τοιοῦτον καὶ αὐτοὶ νόμον τηρήσουσιν· ὥστε γενέσθαι αὐτὸν πατέρα τοσούτων ἐκγόνων, ὡς παρισοῦσθαι τὸ πλῆθος αὐτῶν τῷ πλήθει τῶν ἄστρων, καὶ ἐν τῷ σπέρματι αὐτοῦ C κληροδοτεῖσθαι πάντα τὰ ἔθνη· καὶ ὃ πρὸς τὸν Δαβὶδ εἶπεν αὖθις· Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου· καὶ διὰ Ἡσαΐου πάλιν, ὅτι· Ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Εἰ τοίνυν μὴ ἀθετοῦσιν, ἀλλὰ πίστει παραδέχονται ταῦτα, τῆς προτέρας αὐτοὺς τοῦ Θεοῦ προνοίας μὴ ἐκπεσεῖν, ἀλλ' ἀναφαίρετον μένειν παρ' αὐτοῖς τὴν Παλαιστίνην διεβεβαίου! Ἕλληνας μὲν [28-31] οὕτω καὶ Ἰουδαίους νεξιῶς ἄγαν καὶ οἰκείως ὑπήρχετο (19), χαριζόμενός τε αὐτοῖς ὁμοῦ, καὶ ἠρέμα πρὸς τὴν εὐσέβειαν ἐπαγόμενος.

CLI. Χριστιανοὶ δὲ πολλὰ [32] καὶ ἄλλα τῆς τοῦ ἀνδρὸς περὶ αὐτοὺς κηδεμονίας δείγματα εἶχον. Μάλιστα δὲ τὴν εὐποιίαν οἷος ἐκεῖνος, πένησι θησαυρίζων ἀεὶ ταῖς ἀσφαλέσιν ἀπαθήκαις, καὶ τῶν ἐπιβουλευόντων D ἰσχυροτέραις! Τούς τε γὰρ ἐν ἑκάστῳ μέρει τῆς πόλεως ἐνδεεῖς ἀπογραψάμενος, τῶν ἀναγκαίων αὐτοῖς καθ' ἑκάστην ἡμέραν ἐποιεῖτο τὴν χορηγίαν· καὶ ὅσοι παρ' αὐτῷ πάλιν τοῦ θείου κατηξιοῦντο βαπτίσματος, δημοσίων αὐτοὺς ἀπέλυε φόρων, καὶ παντελῆ παρεῖχεν

præferebat, et similibus moribus effulgebat: non Christianis duntaxat placens, verum etiam Judæis ac ipsis gentilibus, et omnibus omnia factus, ut et sic omnes lucrifaceret (*a*), Christoque præsentaret ac veræ religioni connecteret. Ut autem ista non videantur esse nuda tantum suspicio, etiam causas dicemus. Ethnicis enim ideo venerationi erat, ac in eum mentem libenter illi intendenbant; quoniam non eos codviciis insectans, nec aversatus; sed quasi rationem reddens, et undique testimonia ex eorum libris ac scriptis adducens, clare ostendebat, unde et prodiissent qui ab illis putantur dii, et ubi nati fuissent, quæ gessissent, quem habuissent exitum, utque misere vitam amisissent. Deinde non eis a Deo interclusam esse pœnitentiæ viam; nec omnimodis salute excidisse; sed si vel solum illos videret redire, et a pristina perditione ac fraude recedere, veniam ipsis daturum humaniter, et benigne suscepturum, ac paraturum regnum cœlorum, bonisque donaturum ineffabilibus.

CL. Judæis rursum inde gratum facere videbatur, quod patres eorum Dei amicos fuisse ostenderet, quodque legem eorum sacram esse doceret ac divinam; nec eam desituram, nec eorum populum translatum iri, sed Palæstinam fore illis perpetuam hæreditatem, si talem legem servarent: esse Abrahamum patrem tot posterorum, ut eorum multitudo stellarum multitudinem adæquet; et in ejus semine omnes gentes hæreditatem accipere (*b*); rursusque quod ad Davidem dictum est: *De fructu ventris tui ponam super sedem tuam* (*c*): et iterum quod per Isaiam: *Virgo in utero concipiet, et pariet filium, et vocabunt nomen ejus, Emmanuel* (*d*). Si ergo hæc non rejiceient, sed fide comprobarent, non eos pristina Dei providentia carituros; verum Palæstinam apud illos stabilem mansuram affirmabat. Græcos quidem hoc modo, et Judæos valde solerter et accomodate subjiciebat; eos simul et demerens, et sensim ad veram religionem adducens.

CLI. Christiani vero multa et alia curæ viri illius erga ipsos documenta habebant. Præsertim vero in beneficentia quantus ille fuit! Qui pauperibus semper thesauros asservaret in tutis repositoriis quæque erant insidiatoribus fortiora. Egenos enim singularum urbis partium in tabulas referens, quotidie illis suppeditabat quæ erant necessaria: iterumque quotquot ab eo fuerant divino baptismate donati, eos a publicis liberabat tributis, et integram

(*a*) I Cor. IX. (*b*) Gen. XXII, 17, 18. (*c*) Psal. CXXXI, 11, (*d*) Isa VII, 14.

VARIÆ LECTIONES.

[24-25] al. οὗτος. [26] al. ἀπέφαινε. [27] al. πρὸς Ἀβραάμ. [28-31] al. inser. οὖν. [32] al. inscr. μέν.

VARIORUM NOTÆ.

(9) Ὑπήρχετο. Significat ὑπέρχεσθαί τινα, in alicujus mentem subire, eumque obsequio capere ac sibi devincire. COT.

præbebat immunitatem. Sed et eos qui semper ad illum propter prædicationem atque doctrinam conveniebant, maximeque quos sciebat divitiis abundare, et largiri posse, hortabatur ne semel sancto baptismo purgatos sinerent publice a Judæis inopiæ causa nutriri, splendidamque gratiæ vestem impura illa communione polluere. Per quæ illos ad explendam calamitosorum necessitatem adeo alacres reddebat, ut id duntaxat lucrum putarent, quod in eos impendissent.

CLII. Cum ergo ita ageret sanctus Clemens, et ita in omnium animis esset constitutus; atque adeo non tantum Christianos, sed etiam ipsos gentiles ac Judæos a sua anima et lingua pendentes haberet; per Sisinnium illum (erat autem is amicus Nervæ et unus ex familiaribus) odio et calumniis petebatur; quando conjugem Theodoram Sisinnius sensit Clementis doctrinæ amore captam esse, et domum quidem, liberos ac virum negligere, totam vero Clementi adhærere, ad eum assiduo adventare, adeoque in adimo suo semper illum spiritualiter ferre. At Theodora quæ suavitate linguæ ac verborum Clementis illecta erat, Christoque per illum crediderat, ardentius pietatem capessebat, psallebat continue, nec ab ulla synaxi seu Christianorum congregatione aberat.

CLIII. Sisinnius vero iniqua zelotypia stimulatus, insidias adversus uxorem meditabatur, singulisque diebus armabatur ab eo affectu. Cumque eam aliquando abeuntem ad synaxim observasset, clam cum famulis ipse quoque in templum ingressus est, ut curiose inquireret, et animadverteret cuncta quæ in eo gererentur, quasque ob causas Theodora eo assidue proficisceretur. Cæterum admirabili Clemente solitam confestim sacrorum hymnorum orationem præfato. Sisinnius cæcus ac surdus illico effectus est, ita ut nec audire nec videre posset. Conversusque ad famulos: Prehendite me, inquit, et ad domum manu deducite: repentinum quippe malum aliquod in me irruens, neque audire neque cernere permittit.

CLIV. Itaque protinus manum ei porrigunt famuli, et abducunt ad domum. Exire autem non poterant, licet tota templi janua aperta esset: sed eum per totam ecclesiam ducebant, inter multitudinem canentium. Præcluserat enim eis exitum vis divina, prudentiorem reddere volens stultum illum. Circumeundo autem ubique per templum, uxori ejus precanti occurrunt. Et illa virum cum servis intuita, primo quidem oculos deflexit, verita ne et ipse eam videret: nihil quippe adhuc eorum quæ gesta erant sciebat Theodora: postea autem uno ex famulis accersito, causam rogabat, propter quam ita cum illis maritus per templum oberraret. Ac ille ei omnia enarrat diligenter; tum quemadmodum post-

A ἀτέλειαν! Παρῄνει δὲ καὶ τοῖς ἑκάστοτε διὰ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν πρὸς αὐτὸν συνιοῦσι, καὶ μάλιστα ὅσους περιττοὺς ᾔδει τῷ πλούτῳ καὶ πρὸς τὸ διδόναι δυνατῶς ἔχοντας, μὴ τοὺς ἅπαξ τῷ βαπτίσματι τῷ ἁγίῳ καθαρθέντας, περιορᾷν δημοσίᾳ παρὰ τῶν Ἰουδαίων τρεφομένους δι' ἀπορίαν, καὶ τὴν λαμπρὰν στολὴν τοῦ χαρίσματος, διὰ τῆς ἐναγοῦς ἐκείνης κοινωνίας μολύνοντας. Ἀφ' ὧν οὕτω προθύμως αὐτοὺς ἐποίει τοῖς βασανιζομένοις τὰ πρὸς τὴν χρείαν ἀποδιδόναι, ὡς τουτό γε μόνον κέρδος νομίζειν, ὃ ἂν εἰς αὐτοὺς ἀναλώσειαν.

CLII. Οὕτω μὲν οὖν ὁ ἱερὸς Κλήμης ἔχων, καὶ οὕτως ἐν ταῖς ἁπάντων ψυχαῖς κείμενος, καὶ οὐ Χριστιανοὺς μόνον, ἀλλὰ καὶ αὐτοὺς Ἕλληνας καὶ Ἰουδαίους τῆς οἰκείας καὶ ψυχῆς πάλιν ἐκεῖνος καὶ γλώττης ἀνηρτημένος, τῷ Σισιννίῳ ἐκείνῳ (φίλος δὲ οὗτος τῷ βα- B σιλεῖ Νερούᾳ καὶ τῶν ἐπιτηδείων) ἐμισεῖτο καὶ διεδάλλετο, ἐπειδὴ τὴν σύζυγον Θεοδώραν ὁ Σισίννιος ὑπησθάνετο ἔρωτι τῆς ἐκείνου διδασκαλίας ἁλισκομένην· καὶ οἴκου μὲν καὶ παίδων καὶ ἀνδρὸς ἀμελοῦσαν, ὅλην δὲ τῷ Κλήμεντι προσκειμένην, καὶ αὐτῷ συνεχῶς φοιτῶσαν, καὶ τοῦτον [83] πάλιν ἐπὶ τῆς οἰκείας ψυχῆς ἀεὶ πνευματικῶς περιφέρουσαν. Ἀλλ' ἡ μὲν Θεοδώρα τῇ σειρῆνι τῆς τοῦ Κλήμεντος γλώττης καταθελχθεῖσα, καὶ τῷ Χριστῷ δι' ἐκείνου πιστεύσασα, θερμότερον ἀντεποιεῖτο τῆς εὐσεβείας, καὶ διηνεκῶς ἔψαλλε, καὶ οὐχ ἀπεκιμπάνετο τῆς συνάξεως.

CLIII. Ὁ Σισίννιος δὲ ὑπὸ τῆς ἀδίκου ζηλοτυπίας κεντούμενος, ἐπιβουλὴν κατὰ τῆς γυναικὸς ἐμελέτα, καὶ ὑπὸ τοῦ πάθους καθ' ἑκάστην ὡπλίζετο τὴν ἡμέραν. Καὶ δή ποτε, τηρήσας αὐτὴν πρὸς τὴν σύναξιν C ἀπιοῦσαν, λάθρα μετὰ τῶν οἰκετῶν καὶ αὐτὸς εἰς τὸν ναὸν παρεισῆλθεν, ὥστε περιεργάσασθαι καὶ καταμαθεῖν τὰ ἐν αὐτῷ πάντα τελούμενα, καὶ ὧν χάριν ἡ Θεοδώρα συνεχῶς ἐκεῖ ἀφικνεῖται. Τοῦ θαυμασίου δὲ Κλήμεντος τὴν συνήθη παραχρῆμα τῶν ἱερῶν ὕμνων εὐχὴν προειπόντος, τυφλὸς εὐθὺς ὁ Σισίννιος ἐγένετο καὶ κωφός. ὡς μήτε ἀκούειν μήτε ὁρᾷν δύνασθαι. Καὶ πρὸς τοὺς οἰκέτας ἐπιστραφείς· Λάβετέ με, ἔφη, καὶ πρὸς τὴν οἰκίαν χειραγωγήσατε· ἀθρόον γάρ τι κατασκῆψαν εἰς ἐμὲ κακὸν οὔτε ἀκούειν, οὔτε βλέπειν ἀνίησι.

CLIV. Χεῖρα μὲν οὖν εὐθὺς ὀρέγουσιν αὐτῷ οἱ οἰκέται, καὶ ἀπαίρουσι δῆθεν πρὸς τὴν οἰκίαν. Ἐξελθεῖν δὲ οὐκ εἶχον, καίτοι γε πάσης τοῦ ναοῦ πύλης ἀνεῳγμένης, ἀλλὰ διὰ πάσης αὐτόν τε περιῆγον τῆς ἐκκλησίας, ἀνὰ τὸ τῶν ᾀδόντων πλῆθος. Ἀπέκλειε D γὰρ τὴν ἔξοδον αὐτοῖς δύναμις θειοτέρα, σωφρονέστερον τὸν ἀνόητον ἐκεῖνον ἐργαζομένη. Περιϊόντες τοίνυν πανταχοῦ τοῦ ναοῦ, ἐντυγχάνουσι προσευχομένῃ τῇ αὐτοῦ συζύγῳ. Κἀκείνη τὸν ἄνδρα σὺν τοῖς οἰκέταις ἰδοῦσα, πρῶτα μὲν ἐκκλίνει τὴν θέαν, δεδοικυῖα μὴ καὶ οὗτος αὐτὴν ἴδοι· οὐδὲν γὰρ τέως τῶν πραχθέντων ἡ Θεοδώρα ᾔδει· ἔπειτα δὲ τῶν οἰκετῶν ἕνα μετακαλεσαμένη, τὴν αἰτίαν ἠρώτα, δι' ἣν οὕτω σὺν αὐτοῖς ὁ ἀνὴρ ἀνὰ τὸν ναὸν περιέρχοιτο. Κἀκεῖνος

VARIÆ LECTIONES.

[83] deest in al.

αὐτῇ πάντα καταλέγει σὺν ἀκριβείᾳ· ὅπως τε μετὰ A τὴν ἐκ τοῦ οἴκου αὐτῆς ὑποχώρησιν, λάθρα τὴν ἐκκλησίαν καὶ αὐτοὶ καταλάβοιεν· καὶ ὅπως, τὴν εὐχὴν τοῦ πατριάρχου διατελέσαντος, τυφλὸς εὐθὺς ὁ κύριος αὐτῶν γένοιτο καὶ κωφός. Καὶ ὡς προστάξειε μὲν αὐτοῖς χειραγωγῆσαι αὐτὸν ἐπὶ τὴν οἰκίαν, οὐδεμία δὲ αὐτοῖς ἔξοδος, καίτοι πολλὰ καμοῦσι καὶ πανταχοῦ τῆς ἐκκλησίας περιελθοῦσιν, εὑρίσκεται.

CLV. Τούτων ἐκείνη ἀκούσασα, συνῆκεν εὐθέως, ὅθεν ἡ τῶν ὤτων αὐτῷ καὶ τῶν ὀφθαλμῶν πήρωσις ἦν· καὶ βοηθὸς [34] ἀληθῶς αὐτῷ γίνεται. Τραπεῖσα γὰρ εἰς εὐχὴν αὐτίκα, καὶ δάκρυα μετὰ τῆς εὐχῆς θερμὰ χέουσα [35], ἐδεῖτο τοῦ Θεοῦ, ὥστε τὴν ἔξοδον ἐπιτραπῆναι τῷ Σισιννίῳ, καὶ οἴκαδε ὑποστρέψαι [36] αὐτόν. Καὶ πρὸς τοὺς οἰκέτας ἐπιστραφεῖσα· (ᾔδει γὰρ ὡς οὐδὲ τὸν ἄνδρα περιόψεται πάντως ὁ ἐκείνης Θεός)· B Ἄγετε, φησὶ, τὸν κύριον ὑμῶν πρὸς [37] τὸν οἶκον χειραγωγήσατε· καταλαμβάνω δὲ μετὰ βραχὺ αὐτή. Ταῦτα ἔφη, καὶ ῥᾳδία ἡ ἔξοδος εὐθὺς τοῖς οἰκέταις ἐγένετο. Καὶ ὁ Σισίννιος ὀφθαλμοὺς ἔτι καὶ ὦτα πεπηρωμένος, ἐχειραγωγεῖτο πρὸς τὴν οἰκίαν. Οἱ οἰκέται τοίνυν ἐλθόντες παρὰ τὴν Θεοδώραν, καὶ αὖθις ἔτι κωφὸν εἶναι καὶ τυφλὸν τὸν ἑαυτῶν ἀπαγγέλλουσιν κύριον. Καὶ αὐτὴ συντονωτέρᾳ πάλιν πρὸς τὸν Θεὸν τῇ δεήσει καὶ θερμοτέροις ἐδεῖτο [38] τοῖς δάκρυσιν, ὥστε τὸν ἄνδρα τοῦ πάθους ἀπαλλαγῆναι· ἤδη δὲ καὶ τοῦ πατριάρχου τὴν ἱερὰν ἐκτελέσαντος λειτουργίαν (20), πίπτει πρὸς τοὺς αὐτοῦ πόδας ἡ Θεοδώρα, καὶ τὴν πήρωσιν τοῦ ἀνδρὸς ἀπαγγέλλει καὶ δεῖται καὶ ἱκετεύει, καὶ δάκρυα τῶν ποδῶν καταχέει, θεραπεῦσαι τῷ ἀνδρὶ τὸ πάθος, καὶ μὴ οὕτω περιιδεῖν κακῶς ἔχοντα.

CLVI. Τούτων ὁ μακάριος Κλήμης ἀκούσας, καὶ C παθὼν ἐπὶ τῇ τῆς γυναικὸς συμφορᾷ τὴν ψυχὴν, εἰς δάκρυα καὶ αὐτὸς φανερὰ κατάγεται, καὶ προτρέπεται τοὺς παρόντας κοινῇ τοῦ Θεοῦ δεηθῆναι, ὥστε λυθῆναι τῷ Σισιννίῳ τὴν πήρωσιν. Τούτου δὲ γενομένου, θαῤῥούντως ἄπεισι μετὰ τῆς γυναικὸς ἐπὶ τὸν οἶκον ὁ πατριάρχης, καὶ ἀνεῳγμένους μὲν εὑρίσκει τῷ ἀνδρὶ τοὺς ὀφθαλμοὺς, εἰς δὲ τὸ βλέπειν οὐδὲν τῶν πεπηρωμένων ἄμεινον ἔχοντας. Κεκώφωτο [39] δὲ τὰ ὦτα, καὶ βαρυτάτῃ συμφορᾷ περὶ τὸ σῶμα ἐκέχρητο. Ὀδυρμὸς οὖν ἐκ τῶν παρόντων ἐγένετο, καὶ κατέσχεν οἰμωγὴ τὸν οἶκον. Ἀλλ' ὁ μὲν Σισίννιος οὐκ ᾐσθάνετο τῶν γεγενημένων. Πῶς [40], ὅς γε οὐκ [41] ἀκούειν οὔτε ὁρᾷν εἶχεν.

CLVII. Ὑπεραλγήσας δὲ ὁ θεῖος Κλήμης τῆς γυναικὸς καὶ τοῦ οἴκου, ἱκέτης γίνεται τοῦ Θεοῦ, καὶ μετὰ δα- D κρύων ἐδεῖτο, καὶ περιπαθεῖς ἐξέτεινε τὰς δεήσεις· Κύριε Ἰησοῦ Χριστὲ, λέγων, ὁ τὰς τῶν οὐρανῶν κλεῖς δεδωκὼς τῷ ἀποστόλῳ σου Πέτρῳ, καὶ Ἅπερ ἀνοίξεις ἀνέῳκται, εἰπὼν, καὶ ἅπερ ἂν κλείσῃς κέκλεισται, αὐτὸς καὶ τοὺς πεπηρωμένους ὀφθαλμοὺς τοῦ ἀνδρὸς τοῦδε,

quam illa domo exiisset, clam etiam ipsi ad ecclesiam venissent, tum quo pacto cum patriarcha orationem peregisset, dominus eorum statim cæcus et surdus factus esset; tum quo modo illis imperasset quidem ut eum manu domum deducerent, nullus autem ab ipsis exitus reperiretur, quamvis multum laborassent ac ubique per ecclesiam obambulassent.

CLV. His illa auditis, intellexit statim, unde illi aurium et oculorum defectus accidisset; eique vere auxiliatrix efficitur. Illico namque conferens se ad preces, lacrymasque cum precatione acres fundens, orabat Deum, ut Sisinnio exitus concederetur, isque domum rediret. Et ad famulos conversa (noverat enim quod nec virum despecturus esset omnino Deus, quem ipsa colebat), Agite, inquit; dominum vestrum ad domum manu ducite; ipsa vero paulo post advenio. Hæc dixit, confestimque facilis exitus exstitit famulis. Et Sisinnius oculis adhuc et auribus captus domum manu ducebatur. Famuli autem venientes ad Theodoram, iterum nuntiant dominum suum adhuc surdum esse ac cæcum. Rursusque ipsa contentioribus ad Deum precibus, lacrymisque vehementioribus orabat, ut vir a morbo liberaretur. Cumque jam patriarcha sacram perfecisset liturgiam, procidit ad ejus pedes Theodora, et mariti debilitatem pronuntiat, profusisque ad pedes lacrymis precatur ac obsecrat ut viri morbum curet, nec ita eum male habentem despiciat.

CLVI. Quæ cum audiisset beatus Clemens, ac ex animo mulieris calamitatem doleret; in lacrymas ipse etiam manifestas prorumpit, eosque qui aderant hortatur Deum in communi orare, ut a Sisinnio morbus depellatur. Quo facto, patriarcha confidenter domum cum muliere abit: et apertos quidem nanciscitur viri oculos, ad videndum vero non melius quam cæcorum dispositos. Sed et auribus obsurduerat, atque pessime corpore erat affectus. Ab iis ergo qui præsentes erant lamentatio orta est, domumque ejulatus occupavit. Verumtamen Sisinnius quæ facta fuerant non intelligebat, scilicet ut qui visu et auditu privatus esset.

CLVII. Divinus autem Clemens, cum admodum mulieris ac domus vicem doleret, Deo supplex fit, et cum lacrymis precabatur, affectusque plenas orationes fudit, dicens: Domine Jesu Christe, qui claves cœlorum dedisti apostolo tuo Petro, et dixisti: Quæ aperueris, aperta erunt, et quæ clauseris, clausa erunt [42]; ipse et aperi cæcos viri hujus oculos ac

VARIÆ LECTIONES.

[34] al. inser. ὡς [35] al. χέουσα [36] al. ἀναστρέψαι. [37] al. καὶ πρός. [38] al. ἐχρῆτο. [39] al. κεκώφητο. [40] al. πῶς γάρ. [41] al. οὔτε. [42] Matth. XVI, 19.

VARIORUM NOTÆ.

(20) Τὴν ἱερὰν ἐκτελέσαντος λειτουργίαν. Latina Versio edita. *Post Mysteria facta;* scripta duorum codicum, Joliani et Herovalliani, *factis et celebratis missis*. In Paraphrasi vero libri Regii 804, καὶ δὴ τῆς ἀπολύσεως γενομένης. Ex Martyrion., 7. COT.

aures surdas; quia hoc etiam dictum tuum est, *Quæcunque petieritis, credentes, accipietis* [44]: et hæc tua promissio permanet in æternum. Ista postquam oravit patriarcha, et qui aderant responderunt: Amen, illico oculorum auriumque vitium discussum est. Ac Sisinnius quasi ex somno expergefactus, beatumque Clementem cum uxore stantem cernens, malam stultus sancto remunerationem dedit, præcepitque famulis ut statim patriarcham comprehenderent, quo pœnas læsionis daret. Arbitrabatur enim præstigias quasdam esse; quod eum prius oculorum auriumque usu privari, posteaque aspicere et audire fecisset.

CLVIII. Igitur servi studiose exsequi de illo quæ imperata fuerant nitebantur: non animadvertebant autem quod adjacentia saxa et ligna tangerent, eaque traherent ac ligarent, atque huc illucque insane circumducerent. Porro id etiam Sisinnio videbatur, ac ipse quoque existimabat patriarcham a famulis vinctum teneri. Is tamen nihil ab iniquis illis manibus patiebatur, nec levem tactionem perferens, nec mediis in malis agitatus. Posteaque ad illum dementem respiciens: Corde, inquit, induratus es, sic saxa et ligna movens, totamque in ea iram immittens, quæ paulo ante honorabas, et ut deos colebas. Ille vero: Sed ego te, inquit, male perdam; adeo ut multi præstigiatores hinc mutent mentem ac resipiscant, iidemque plurimum lucrentur per quæ tu patieris gravissima.

CLIX. Hæc ille quidem, inflatus, apud eos qui aderant, proferebat, et glorians patriarcham vinculis subjecisse. At iste nec sic eum aversatus est; sed benedicta conjuge illius, et in bonas illas obsequentesque aures tanquam in agrum quemdam terræ profundæ ac pinguem demissis uberibus pietatis seminibus, abscessit, ei præcipiens antea ne precari desisteret, quoad virum ad veritatis cognitionem adduxisset. Cum ergo ferventius ad orationem incumberet Theodora, apparet illi ad vesperam quidam vir venerabilis, et capillis canis; videbatur autem esse primus discipulorum Petrus, Magistri calidus amator; et ait ad eam: Propter te, o mulier, sanus erit Sisinnius; ut et vir, secundum fratrem meum Paulum, sanctus efficiatur per mulierem [48]. Quibus quidem dictis, ille abiit.

CLX. Sisinnius vero statim et quasi ex compacto Theodora arcessita; erat autem utique hic finis visionis quæ ipsi apparuerat; apud eam amoris, cibi communis, convictus, ac reliquæ omnis communionis facit mentionem, eorumque omnium unam gratiam poscit, conjugemque rogat et obtestatur ut Deum oret, quo ipsi dimittantur quæ peccavit, salutisque viam demon-

A καὶ τὰ ὦτα διάνοιξον, ὅτι σὸν καὶ τοῦτο τὸ ῥῆμα, τό· Ἅπερ [43] ἂν αἰτήσητε πιστεύοντες, λήψεσθε· καὶ αὐτή σου ἡ ἐπαγγελία διαμένει εἰς τὸν αἰῶνα. Ταῦτα τοῦ πατριάρχου προσευξαμένου, καὶ τῶν παρόντων τὸ ἀμὴν ἐπειπόντων, εὐθέως ἡ τῶν ὀφθαλμῶν καὶ τῶν ὤτων πήρωσις διελέλυτο [45]. Καὶ ὁ Σισίννιος καθάπερ ἐξ ὕπνου διαναστὰς, καὶ τὸν μακάριον Κλήμεντα μετὰ τῆς γυναικὸς ἑστῶτα ἰδὼν, κακὰς ὁ ἀνόητος τῷ ἁγίῳ χάριτας ἀπεδίδου. Καὶ κατασχεῖν εὐθέως τὸν πατριάρχην τοῖς οἰκέταις παρεκελεύετο, τοῦ δίκας ὑποσχεῖν αὐτὸν τῆς πηρώσεως. Ὤετο γάρ τινα γοητείαν εἶναι, ὅτι καὶ πηρωθῆναι πρότερον αὐτὸν, καὶ ἀναβλέψαι, καὶ ἀκοῦσαι πάλιν ἐποίησεν.

CLVIII. Οἱ μὲν οὖν οἰκέται σπουδαίως τὰ προστεταγμένα ποιεῖν [46] αὐτὸν ἐπειρῶντο· ἐλάνθανον δὲ B ἄρα τῶν παρακειμένων λίθων, καὶ ξύλων ἁπτόμενοι, καὶ σύροντες αὐτὰ, καὶ δεσμοῦντες, καὶ τῇδε κἀκεῖσε μανικῶς περιάγοντες. Τοῦτο δὲ καὶ τῷ Σισιννίῳ ἐδόκει, καὶ δεσμώτην ὑπὸ τῶν οἰκετῶν γεγενῆσθαι τὸν πατριάρχην καὶ αὐτὸς ᾤετο. Ἐκεῖνος δὲ ἀπαθὴς ἀπὸ τῶν ἀδίκων ἐκείνων ἐτηρεῖτο χειρῶν, οὐδὲ μικρὰν ἀφὴν ὑπομένων, οὐδὲ ἐν μέσοις τοῖς δεινοῖς θορυβούμενος, εἶτα καὶ πρὸς τὸν ἀνόητον ἐκεῖνον ἰδών· Πεπώρωσαι τὴν καρδίαν, ἔφη, λίθους οὕτω καὶ ξύλα κινῶν, καὶ ὅλην κατ' αὐτῶν ἀφιεὶς τὴν ὀργὴν, ἃ μικρῷ πρόσθεν ἐτίμας, καὶ ὡς θεοὺς ἐθεράπευες. Ὁ δέ· Ἀλλ' ἐγώ σε κακῶς ἀπολῶ, φησὶν, ὡς καὶ μεταβαλεῖν πολλοὺς τῶν γοήτων ἐντεῦθεν καὶ σωφρονῆσαι, ἀφ' ὧν αὐτὸς τὰ ἔσχατα πείσῃ, τὰ μεγάλα ἐκείνους κερδάναντας.

CLIX. Ταῦτα ὁ μὲν φυσώμενος ὑπὸ τῶν παρόντων C ἔλεγε, καὶ αὐχῶν, ὅτι καὶ δεσμοῖς ὑποβέβληκεν τὸν πατριάρχην. Ὁ δὲ, οὐδὲ οὕτως αὐτὸν ἀπεστρέφετο, ἀλλὰ τὴν ἐκείνου σύζυγον εὐλογήσας, καὶ εἰς τὰς εὐγνώμονας ἐκείνας καὶ καταπειθεῖς ἀκοὰς, ὥσπερ εἰς βαθύγειόν τινα καὶ λιπαρὰν ἄρουραν δαψιλῆ σπέρματα τῆς εὐσεβείας καταβαλὼν [47]· ᾤχετο, μὴ ἀνεῖναι προσευχομένην πρότερον ἐντειλάμενος, ἕως καὶ τὸν ἄνδρα εἰς ἐπίγνωσιν τῆς ἀληθείας χειραγωγήσειε. Τῇ εὐχῇ τοίνυν θερμότερον προσκειμένῃ τῇ Θεοδώρᾳ, ἐπιφαίνεταί τις αὐτῇ πρὸς ἑσπέραν αἰδέσιμος ἀνὴρ καὶ πολιὸς τὴν τρῖχα· ἐῴκει δὲ ἄρα ὁ πρῶτος τῶν μαθητῶν εἶναι Πέτρος, ὁ τοῦ Διδασκάλου θερμὸς ἐραστής· καὶ φησι πρὸς αὐτήν· Διὰ σὲ, ὦ γύναι, ὑγιὴς ἔσται Σισίννιος, ὅπως ἂν καὶ ἀνὴρ, κατὰ τὸν ἀδελφόν μου Παῦλον, ἁγιασθῇ διὰ τὴν γυναῖκα. Ὁ D μὲν οὖν, ταῦτα εἰπὼν, ἀπῆλθεν.

CLX. Ὁ Σισίννιος δὲ αὐτίκα καὶ ὥσπερ ἐκ συνθήματος τὴν Θεοδώραν καλέσας· (ἦν δὲ ἄρα τοῦτο πέρας τῆς φανείσης αὐτῇ [48] ὄψεως·) τοῦ πόθου τε αὐτὴν καὶ τῶν κοινῶν ἁλῶν, καὶ τῆς ἑστίας, καὶ τῆς λοιπῆς ἁπάσης κοινωνίας ἀναμιμνήσκει, καὶ πάντων αὐτῶν μίαν ἀπαιτεῖ χάριν, καὶ λιπαρεῖ τὴν γυναῖκα καὶ ἱκετεύει, ὥστε δεηθῆναι τοῦ Θεοῦ ἀφεῖναί τε τὰ ἡμαρτημένα, καὶ τὴν ὁδὸν αὐτῷ ὑποδεῖξαι τῆς σωτηρίας.

VARIÆ LECTIONES.

[43] al. καί. [44] Matth., XXI, 22. [45] al. διαλέλυτο. [46] al. inser. εἰς [47] al. præpon. ἀπιών. [48] I Cor. VII, 14. [49] al. αὐτῆς.

Εἶτα κατήγορος αὐτὸς ἑαυτοῦ γίνεται, καὶ πάντα ποιῆσαι δι' αὐτὴν καὶ παθεῖν ἀπαγγέλλει.

CLXI. Ἐγὼ γὰρ ἐζηλοτύπουν, φησὶν, ἐπὶ σοὶ, ὅτι, τὸν σύζυγον ἐμὲ περιορῶσα, παρὰ τὸν ξένον τοῦτον ἐφοίτας, τὸ τοῦ πατριάρχου προσθεὶς ὄνομα· καὶ τοὺς τῆς φύσεως θορύβους, καὶ τὰς ἐκ τῆς ζάλης [50] ταραχὰς οὐ φέρων, ἠναγκάσθην πρὸς τὴν ἐκκλησίαν ἀπιοῦσαν ἐπιφυλάξαι σε, καὶ ἰδεῖν τὰ τελούμενα. Εἰσελθὼν τοίνυν καὶ αὐτὸς κατόπιν εἰς τὸν ναὸν, καὶ περιέργοις ὀφθαλμοῖς τὰ ὑπὸ τοῦ πατριάρχου γινόμενα θεωρῶν, ὅλην τε αὐτῷ τὴν ἀκοὴν διανιστῶν, καὶ ἀκροατὴς εἶναι τῶν λεγομένων ἐθέλων, τὰς ὄψεις τε ὁμοῦ καὶ τὰ ὦτα πηροῦμαι. Εἰ καὶ πάλιν ἐκεῖνος, ἅτε Θεοῦ μιμητὴς ὢν, ἀναβλέψαι τε καὶ ἀκοῦσαι πεποίηκε· ἐγὼ δὲ ἀγαθοῦ τοσούτου ἀμνημονήσας, οὐ μόνον οὐκ ἀπέδωκα [51] χάριτας αὐτῷ τῆς εὐεργεσίας, ἀλλὰ καὶ τερατείαν ὁ μάταιος τὸ θαῦμα εἰπὼν, τιμωρήσασθαί τε αὐτὸν ἐπεχείρουν, ὅση μοι δύναμις, καὶ κατασχεῖν, οἴμοι, καὶ δεσμοῖς περιβαλεῖν ἐκέλευον τοῖς οἰκέταις· ἐκείνοις δὲ, κατέχειν τε αὐτὸν νομίζουσι καὶ εἰς δεσμὰ φέρειν, ξύλα ἦν ἐν χερσὶ μόνον καὶ λίθοι. Τοῦτο δὲ καὶ αὐτῷ μοι ἐδόκει, καὶ οἷα ὑπ' αὐτῶν κατεχομένου τοῦ πατριάρχου, ἀπειλὰς ἐγὼ χαλεπωτέρας ἐπῆγον. Διὰ τοῦτο δέομαι ὁ σὸς ἀνὴρ, καὶ ταύτην παρὰ γυναικὸς ἐμῆς αἰτῶ χάριν [52], ὥστε πρῶτα μὲν εὐμενῆ γενέσθαι [53] τὸν Θεὸν, ἔπειτα δὲ, καὶ αὐτὸν διαλλαγῆναι τὸν πατριάρχην.

CLXII. Τούτων ἀκούσατα Θεοδώρα, πρὸς τὸν ὅσιον εὐθὺς ἀφικνεῖται, καὶ ὅσα τε ἴδοι, καὶ ὅσα παρὰ τοῦ ἀνδρὸς ἀκούσειε, πάλιν ἀπαγγέλλει πάντα τῷ πατριάρχῃ. Ὁ δὲ μὴ μελλήσας μηδὲν, αὐτίκα μάλα πρὸς τὸν Σισίννιον παραγίνεται· καὶ οὐχ ὡς τὸ πρότερον αὐτῷ ἐντυγχάνει, ἀλλὰ μεθ' ὅσης ἐκεῖνος τῷ πατριάρχῃ προσέβαλε τότε τῆς ἀγριότητος, μετὰ πλείονος αὐτὸν νῦν τῆς τιμῆς ὑποδέχεται. Ἀθρόαν τοίνυν οὕτω καὶ πολλὴν τὴν μεταβολὴν ὁ μέγας ἰδὼν, λόγους τε περὶ τῆς εὐσεβείας δεξιῶς ἄγαν αὐτῷ ὑποτείνει, καὶ ὅλον ὑποποιεῖται τὸν ἄνδρα. Καὶ πιστεύσας ἀπὸ ψυχῆς ὁ Σισίννιος τῷ Θεῷ, ἥψατο τῶν μακαρίων ἐκείνων τοῦ πατριάρχου ποδῶν, καὶ τοιαῦτα μετὰ δακρύων ἐφθέγγετο·

CLXIII. Εὐχαριστῶ σοι τῷ ἀληθεῖ καὶ μόνῳ Θεῷ, τῷ διὰ τοῦτό μοι τοὺς ὀφθαλμοὺς πεπηρωκότι τοῦ σώματος, ὅπως τοὺς τῆς ψυχῆς διανοίξῃς, καὶ διαβλέψαι με παρασκευάσῃς πρὸς τὴν ἀλήθειαν· διὰ τοῦτο δὲ καὶ τῶν ὤτων τὴν ἐνέργειαν ἀποσβέσαντι, ὅπως νηφούσῃ διανοίᾳ, καὶ μηδενὸς τῶν ἔξωθεν ὅλως αἰσθανομένῃ, τὸ τῆς εὐσεβείας ὑποδέξωμαι κήρυγμα. Νῦν δὲ αὐτὴν τὴν ἀλήθειαν ἐμυήθην, καὶ ἀκριβῶς τὰ τῶν Ἑλλήνων διέγνων, ἀπάτην ὄντα μόνον καὶ τερατείαν ἀπίθανον. Ἐπὶ τούτοις φαιδρότης ἔσχε καὶ ἡδονὴ τὸν οἶκον, καὶ τῷ Χριστῷ πάντες ἐπίστευσαν. Τοῦ πάσχα δὲ ἤδη ἐνισταμένου, ἐβαπτίσαντο μετὰ τοῦ Σισιννίου πάντες πατέρες ὁμοῦ καὶ μητέρες καὶ παῖδες, εἰς εἴκοσι καὶ τρεῖς ἐπὶ τοῖς τετρακοσίοις ὄντες. Τοῦτο πολ-

A stret. Postea ipse sui accusator efficitur, cunctaque se propter illam fecisse ac pertulisse commemorat.

CLXI. Ergo enim, inquit, zelotypia tui ductus sum, quod me conjuge neglecto, ad hospitem hunc adventares, et addidit nomen patriarchæ; naturæque perturbationes ac ex fluctuatione ortos tumultus non ferens, coactus sum te cum ad ecclesiam ires observare, atque videre quæ agebantur. Ingressus ergo et ipse pot te in templum, oculisque curiosis quæ a patriarcha gerebantur aspiciens, eique totas aures arrigens, eorum quæ dicebantur cupiens esse auditor, oculis pariter atque auribus captus sum. Et licet ille iterum, utpote Dei imitator, me cernere ac audire fecerit; ego tamen tanti B beneficii immemor, non solum grates ipsi ob beneficentiam non persolvi sed et stolidus, cum miraculum dicerem esse præstigias, eum supplicio afficere, quantum potui, conatus sum, jussique famulis, hei mihi! ut eumdem retinerent ac vinculis onerarent; illis vero qui tenere illum et in vincula ducere putabant, ligna duntaxat et lapides erant in manibus: id quod mihi etiam videbatur; et quasi ab eis patriarcha detineretur, minas gravissimas ego jactabam. Quocirca precor, vir tuus, hancque ab uxore mea gratiam peto ut primo quidem Deum mihi propitium efficias, deinde vero et me concilies patriarchæ.

CLXII. His auditis, Theodora ad sanctum confestim venit, cunctaque quæ vidisset, et quæ a viro audiisset, rursum patriarchæ nuntiat. Ille nihil cun- C ctatus, citissime ad Sisinnium proficiscitur: et non ut antea eum invenit, sed cum quanta ille ferocitate patriarcham tunc adortus fuerat cum majore honore nunc eum excipit. Adeo igitur subitam et magnam mutationem vir magnus cernens, sermones de pietate admodum scite ei suggerit, totumque sibi comparat hominem. Cumque ex animo Sisinnius Deo credidisset, tetigit beatos illas patriarchæ pedes, hæcque cum lacrymis prolocutus est:

CLXIII. Gratias ago tibi vero ac soli Deo, qui ideo mihi oculos corporis excæcasti, ut eos qui animæ sunt aperires, meque faceres aspicere ad veritatem; ideoque etiam aurium vim compressisti, ut D mente vigili nihilque penitus eorum quæ extra sunt sentiente, veræ religionis susciperem prædicationem. Nunc vero mysteriis veritatis initiatus sum, certoque agnovi gentilium sacra fraudem tantum esse ac incredibilem vanitatem. Propter ista hilaritas et lætitia domum occupavit, omnesque Christo crediderunt. Paschate vero jam ineunte, baptizati sun cum Sisinnio omnes patres simul et matres et liberi, ad tres et viginti supra quadringentos. Hoc attraxit multos ex illustrioribus, qui magnis hono-

VARIÆ LECTIONES.

[50] al. τοῦ ζήλου. [51] al. ἀποδέδωκα. [52] al. add. τὴν ἐμαυτοῦ σωτηρίαν. [53] al. inser. μοι.

ribus præpollebant, quibusque imperator Nerva amicis maxime et consiliariis utebatur; atque pio cultui omnes assensi sunt.

CLXIV. Quæ cum videret pessimus per illud tempus comes officiorum Publius Tarquitianus moleste tulit, et gravia existimavit, consideransque quo modo pietatem ulterius progredientem comprimeret, ipsum primo Clementem tanquam eorum quæ fiebant maxime auctorem statuit e medio tollere : et singularum Urbis regionum præfectis convocatis, iisque pecunia corruptis, seditionem adversus Clementem uti moverent eis proposuit, utque illius existimationem impeterent hortatus est, cupiens amorem Urbis erga eum per hoc dissolvere, hominemque reddere insidiis facilem atque opportunum.

CLXV. Conspirantes ergo adversus eum improbissimi illi cives, mala ac fœda, ut ipsi arbitrabantur, de illo diffundunt, multaque objiciunt crimina; præstigias ei attribuunt, et religionis eorum eversionem, aliaque plurima ; atque dicunt ab ipso affici contumeliis et lacerari patrios deos : ut qui Jovem omnium deorum maximum, neque deum prorsus nominaret; Herculem vero Alcmenæ filium (quem illi suum conservatorem aiunt) impurum quemdam dæmonem et scelestum vocaret ; charissimam et suavissimam Venerem, meretricem induceret; atque optimam jaculatricem Dianam, sapientem Mercurium deum sermonis, bellicosum Martem, Saturnumque ipsum, ex æquo omnes infamaret atque criminaretur nec non horum fana et aras everteret. Ad summam, aiebant : Vel diis sacrificet, aut vita statim privetur. Atque illi quidem, talia moventes, petebant ut sibi ad mortem traderetur patriarcha. Ob quæ indignabantur quicunque pecunia venalem conscientiam non exhibuerant, loquebanturque ad populum libere, dicentes : Quid mali a patriarcha gestum est ? imo vero quæ beneficia per eum civitas non est consecuta ? Deindeque singula quæ mirabiliter ab eo facta fuerant recensebant, et eorum quæ memorabant ipsos assumebant testes.

CLXVI. Mamertus autem Urbi præfectus, adeo seditione agitatam civitatem videre non sustinens, ad hæc veræ religionis incremento invidens, ad se arcessit beatum Clementem, verbisque tam genero-

A λοὺς ἐπεσπάσατο τῶν ἐπιφανεστέρων, ὅσοι τε μακρῷ τῇ δόξῃ διέπρεπον, καὶ οἷς ὁ βασιλεὺς Νερούας φίλοις μάλιστα καὶ συμβούλοις ἐχρῆτο· καὶ τῇ εὐσεβείᾳ πάντες συνέθεντο.

CLXIV. Ταῦτα ὁρῶν ὁ πονηρότατος κατ' ἐκεῖνο καιροῦ τῶν ὀφφικίων κόμης (21) Πούπλιος Τουρκουτιανὸς (22), ἐδυσχέραινε, καὶ δεινὰ ἐποίει· καὶ σκοπῶν ὅπως ἂν ἐπίσχῃ περαιτέρω προβαίνουσαν τὴν εὐσέβειαν, αὐτὸν ἔγνω πρῶτον ἐκ ποδῶν ποιῆσαι [54] τὸν Κλήμεντα, οἷα τῶν παρόντων αἰτιώτατον [55] αὐτὸν ὄντα· καὶ τοὺς ἑκάστου μέρους τῆς πόλεως προεστῶτας συγκαλεσάμενος, καὶ χρήμασιν αὐτοὺς διαφθείρας, στάσιν τινὰ κινῆσαι κατὰ τοῦ Κλήμεντος αὐτοῖς ὑπετίθει, καὶ διαβαλεῖν αὐτοῦ τὴν ὑπόληψιν προετρέπετο· ταύτῃ καταλῦσαι τὸ πρὸς αὐτὸν τῆς πόλεως φίλτρον βουλόμενος, καὶ πρὸς ἐπιβουλὴν εὐχείρωτον τὸν
B ἄνδρα παρασκευάσαι.

CLXV. Συστάντες οὖν ἐπ' αὐτὸν οἱ πονηρότατοι τῶν πολιτῶν ἐκεῖνοι, ψόγους τε ὡς αὐτοὶ ᾤοντο, καταχέουσιν αὐτοῦ πονηρούς, καὶ πολλὰς ἐπάγουσι τὰς αἰτίας, γοητείαν αὐτῷ περιάπτοντες, καὶ τῆς ἐκείνων θρησκείας ἀνατροπὴν, ἄλλα τε πολλὰ, ἐξυβρίζειν αὐτὸν λέγοντες καὶ τοὺς πατρῴους διασύρειν θεούς· τὸν μὲν ἁπάντων θεῶν [56] μέγιστον Δία, μηδὲ θεὸν ἁπλῶς ὀνομάζοντα· Ἡρακλέα δὲ τὸν Ἀλκμήνης, ὃν ἐκείνων φασὶ σωτῆρα (23), ἐναγῆ τινα δαίμονα καὶ μιαρὸν ἀποκαλοῦντα· πόρνην τε τὴν φίλην Ἀφροδίτην εἰσάγοντα, καὶ τὴν ἐκηβόλον Ἄρτεμιν, καὶ τὸν σοφὸν Ἑρμῆν τὸν τοῦ λόγου θεὸν, τὸν πολεμικόν τε Ἄρεα, καὶ τὸν Κρόνον αὐτὸν, ἐπίσης βλασφημοῦντα πάντας καὶ διαβάλλοντα, καὶ τὰ τεμένη τούτων καὶ τοὺς βω-
C μοὺς καταστρέφοντα. Κεφάλαιον τοῦ λόγου, Ἢ θυσάτω τοῖς θεοῖς, ἔλεγον, ἢ τῆς ζωῆς τὸ τάχος ἀπαλλαγήτω. Οἱ μὲν οὖν, τοιαῦτα κινοῦντες, ἔκδοτον ἠξίουν τὸν πατριάρχην ἐπὶ θανάτῳ λαβεῖν. Ἐφ' οἷς ἠγανάκτουν πάντες ὅσοι μὴ χρημάτων ὤνιον τὴν συνείδησιν προετίθεσαν, καὶ λόγους πρὸς τὸν δῆμον ἐλευθέρους ἐποιοῦντο· Τί τῷ πατριάρχῃ κακὸν εἴργασται, λέγοντες· μᾶλλον δὲ ποίων οὐχ ἡ πόλις παρ' αὐτῷ χαρίτων ἀπέλαυσεν ; Εἶτα καὶ αὐτὰ ἕκαστα τῶν ὑπ' αὐτοῦ παραδόξως γεγενημένων ἀπηριθμοῦντο, καὶ μάρτυρας αὐτοὺς ἐποιοῦντο τῶν λεγομένων.

CXLVI. Μαρμεντῖνος δὲ ὁ τῆς πόλεως ἔπαρχος, μὴ φέρων ἐπὶ πολὺ στασιάζουσαν οὕτω τὴν πόλιν ὁρᾷν, ἄλλως τε καὶ τῇ τῆς εὐσεβείας ἐπιδόσει βασκαίνων,
D ἄγει τὸν μακάριον Κλήμεντα πρὸς ἑαυτὸν, καὶ λόγοις

VARIÆ LECTIONES.

[54] al. deest in al. [55] al. deest in al. [56] al. Θεόν.

VARIORUM NOTÆ.

(21) Τῶν ὀφφικίων κόμης Historia Latina, *Comes sacrarum*, nempe largitionum, quæ est alia dignitas. Sic in concilio Ephesino memoratur Joannes κόμης τῶν σακρῶν. Κόμης τῶν θείων λαργιτιώνων. Lex autem 3 C. Th. de metallis, est Juliani Augusti ad Rufinum comitem Officiorum. Sed tempore Nervæ Imperatoris nulli erant comites hujusmodi. Cot.

(22) Aliter Τορκουτιανός et Τουρκιτιανός. Latine in in Editione *Tarquinius* pro *Tarquitius ;* in ms. V. C. Vionis Herovallii *Torquatus* ; ut sit vel Torquatianus. vel Tarquitianus. Id.

(23) Σωτῆρα Similiter apud Theodoritum, *Sermomone de martyribus :* Ἡρακλέα σωτῆρα καὶ ἀλεξίκακον προσηγόρευον. Id.

τὴν γενναίαν οὕτω ψυχὴν κλέπτειν ἐπεχείρει, Ἐξ εὐγενοῦς, λέγων, προελήλυθας ῥίζης· τοῦτο πᾶς ὁ τῶν Ῥωμαίων σοι μαρτυρεῖ δῆμος, ἀλλ' ἀνθρωπίνην καὶ αὐτὸς πλάνην ὑπέστης, καὶ διὰ τοῦτο οὐδὲ σιωπᾷν ἡ πόλις ἀνέχεται. Φασὶ γάρ σε καινοτέραν εἰσάγειν θρησκείαν, καί τινα παρὰ τοὺς πατρῴους θεοὺς κηρύσσειν Χριστόν. Ὅθεν ἀποθέσθαι σε χρὴ τὴν περιττὴν ταύτην δεισιδαιμονίαν, καὶ μόνους αἰδεῖσθαι καὶ τιμᾷν τοὺς συνήθεις τῇ πόλει θεούς. Καὶ ὁ πατριάρχης· Εὔχομαι τὴν σὴν στεῤῥότητα, ἔφη, μεταδοῦναί μοι λόγου, καὶ προσχεῖν μου ταῖς ἀποκρίσεσιν, ἀλλὰ μὴ οὕτως ἀλόγῳ στάσει καὶ ματαίοις ἕπεσθαι θορύβοις. Οὐδὲ γὰρ δεῖ στάσεως οὐδὲ θορύβων, ὅπου σκοπῆσαί τε περὶ τῆς ἑαυτοῦ σωτηρίας τινὶ, καὶ περὶ Θεοῦ διαλεχθῆναι πρόκειται. Ὁ ἔπαρχος τοίνυν τὸ τοῦ ἀνδρὸς γενναῖον καὶ στάσιμον ἐξ αὐτῶν εὐθὺς τῶν προοιμίων καταμαθὼν, καὶ εἰπεῖν τε αὐτὸς καὶ ἀκοῦσαι παρ' ἐκείνου πάλιν ὀκνήσας, καὶ ἀναβαλλόμενος τὴν διάλεξιν. Τραϊανῷ περὶ αὐτοῦ τῷ αὐτοκράτορι ἀναφέρει. Καὶ ὁ βασιλεὺς αὐτῷ οὕτως ἐπιλύει τὰ γεγραμμένα, ὡς ἢ θῦσαι τὸν Κλήμεντα τοῖς πατρῴοις θεοῖς, ἢ πέραν τοῦ Πόντου εἴς ἔρημόν τινα πόλιν τῶν τῇ Χερσῶνι παρακειμένων, ἀπὸ τῆς Ῥώμης ἀϊδίῳ φυγῇ ἐλαθῆναι.

CLXVII. Τῆς ἀποφάσεως οὖν ταύτης καταλαβούσης, ἐσκέπτετο Μαρμεντῖνος ὅπως ἂν μὴ ὁ Κλήμης ἕληται τὴν ὑπερορίαν, ἀλλ' αὐτῷ μᾶλλον καὶ τῷ βασιλεῖ πεισθείη καὶ θύσειεν. Οὐδὲ γὰρ ἔφερε τηλικαύτην ἀνδρὸς ἀρετὴν ζημιούμενος. Τῷ δὲ τοσοῦτον ἐμέλησεν [57] ἐκείνοις πεισθῆναι, ἢ [58] δυσχεράναι πρὸς τὴν ὑπερορίαν, ὅσῳ καὶ αὐτὸν ἐσπούδαζε πρὸς τὴν εὐσέβειαν τὸν ἔπαρχον ἐπισπάσασθαι. Τοσαύτη γάρ τις ἄνωθεν τὸν Κλήμεντα περιΐπτατο χάρις, καὶ οὕτως ἡ ἐκείνου γλῶττα κηρίου παντὸς καὶ μέλιτος γλυκύτερον ἔσταζεν, ὡς καὶ αὐτὸν ἔρωτι θερμῷ τοῦ ἀνδρὸς ληφθέντα τὸν Μαρμεντῖνον, πολλά τε τῇ ἀποδημίᾳ ἐπιστενάξαι, καὶ δάκρυα τῷ πατριάρχῃ ἐπιβαλεῖν, Ὁ Θεὸς, εἰπόντα, ᾧ σὺ εἰλικρινῶς λατρεύεις, αὐτός σοι βοηθὸς ἐπὶ τῇ συμφορᾷ παρασταίη· καὶ αὐτίκα πλοῖον εὐτρεπίσαι, διαρκῆ τε αὐτῷ τὰ πρὸς τὴν χρείαν ἐνθέσθαι, καὶ δεξιώσασθαι αὐτὸν, καὶ περιβαλεῖν, καὶ οὕτω μετὰ τῶν προσηκόντων ἀσπασμῶν ἀπολῦσαι. Πολλοὶ δὲ αὐτῷ καὶ τῶν εὐλαβῶν ἠκολούθησαν· καὶ εἰς τὴν ὑπερορίαν γενόμενοι, καταλαμβάνουσιν ἐν τῇ τῶν μαρμάρων λατομίᾳ Χριστιανοὺς, περί που τοὺς χιλίους [59] ἢ καὶ πλείονας, πολὺν διὰ τὴν εὐσέβειαν ἐκεῖ χρόνον κατεχομένους. Οἳ καὶ περὶ τοῦ πατριάρχου πρότερον ἀκούσαντες, καὶ ὅτι τῆς πόλεως ἀπελαθεὶς, ὑπερόριος, πρὸς ἐκείνους καὶ αὐτὸς ἄγεται, παραμυθίαν ἔσχον οὐ τὴν τυχοῦσαν τὴν ἐκείνου ἐπιδημίαν.

CLXVIII. Ὅτε γοῦν πρὸς αὐτοὺς κατελάμβανε, τοῦ τῶν χειρῶν ἔργου ἀφέμενοι καὶ τούτῳ προσελθόντες μετὰ δακρύων, καὶ τῶν ἁγίων ἐκείνου ποδῶν ἀψάμενοι, καὶ τὰς καθαρὰς περιπτυξάμενοι χεῖρας, τὰς καταλαβούσας αὐτοὺς ἀνεκλαίοντο συμφορὰς, τὴν τῆς πατρίδος ἔκπτωσιν, τὴν ἄφιλον ἐπὶ ξένης διαγωγὴν,

suum animum conatur fallere ac abducere, dicens: Ex nobili stirpe ortus es: hoc de te perhibet testimonium omnis populus Romanus, sed et ipse in humanum errorem incurristi, atque ideo neque Urbs tacere potest. Aiunt enim te novam inducere religionem, et contra deos patrios prædicare quemdam Christum. Quare oportet te abjicere superfluam hanc superstitionem, deosque tantum revereri et colere quos civitas solet. Ad hæc patriarcha: Oro, inquit, tuam gravitatem et constantiam, ut mihi concedas verba facere, ac meis responsionibus attendas; non autem adeo ratione destitutam seditionem, tumultusque vanos consecteris. Neque enim opus est seditione ac tumultibus, ubi cuipiam propositum est de salute sua considerare atque de Deo disserere. Igitur præfectus, comperta ex ipso statim exordio constantia viri et fortitudine, veritusque tum ipse dicere, tum et ab eo audire, atque collocutionem detrectans, ad Trajanum imperatorem de illo refert. Et imperator ad istum modum ea quæ scripta erant dirimit: ut Clemens aut diis patriis sacrificet, aut trans Pontum in desertum aliquod oppidum eorum quæ Chersoni adjacent, Roma perpetuo exsilio ablegetur.

CLXVII. Hac itaque sententia accepta, cogitabat Mamertinus quo modo Clemens non eligeret exsilium, sed potius pareret ipsi ac imperatori, atque immolaret. Non enim sustinebat privari tanta viri virtute. Porro Clementi adeo curæ fuit obtemperare illis aut moleste ferre relegationem, ut etiam ad pietatem præfectum attrahere niteretur. Tanta quippe divinitus Clementem gratia circumdabat, sicque illius lingua omni favo ac melle dulcius stillabat, ut ipse quoque viri fervido amore captus Mamertinus, plurimum ex ejus discessu ingemuerit, lacrymasque dederit patriarchæ, dicens: Deus, quem tu sincere colis, ipse tibi auxiliator in calamitate assistat; statimque navigium paraverit, impositis ei quæ ad usum sufficiebant; illumque dextera prehenderit, item complexus sit, atque ita cum salutationibus congruis dimiserit. Multi autem ex piis secuti sunt eum: et pervenientes ad locum exsilii, reperiunt in marmoris lapidicinis Christianos circiter mille, vel et plures; qui jam diu illic propter verum cultum detinebantur. Hi cum de patriarcha prius audiissent, quod et ipse ab Urbe pulsus exsul ad eos duceretur, solatium non vulgare ceperunt ex ejus adventu.

CLXVIII. Itaque cum ad illos venit, ab opere manuum cessarunt, et ad eum cum lacrymis accesserunt; tactisque sanctis ejus pedibus, et puras manus deosculati calamitates ipsos complexas defleverunt, patriæ amissionem, insuavem in alieno solo vitam, rerum necessariarum penuriam; quodque

VARIÆ LECTIONES.

[57] al. ἐμέλλησεν. [58] al. ἢ καί. [59] al. δισχιλίους.

omnium erat gravissimum, aquæ ipsius indigentiam. Si quis enim, aiebant, per totum diem opere manuum et labore maceratus, aquæ guttam exiguam sumere voluerit, quo miseriam ex fatigatione ortam sublevet; is non minus quam usque ad stadia quinque et quadraginta profectus, aquam portaverit. Ob hæc patriarcha particeps eorum doloris ac lacrymarum factus, dein et Deo gratiis actis, et sufficienter animos illorum consolatus: Non ita, inquit, temere et sine causa huc me Deus permisit expelli; sed ut et socius sim vestrarum perpessionum, et patientiæ maxime ac tolerationis documentum.

CLXIX. Postea vero ad preces convertitur, et cum eis orat Deum, ut suis confessoribus fontem aquæ aperiat: quippe percussit petram in deserto, et fluxerunt aquæ [60], ipse etiam eis copiosam aquam suppeditat. Jam enim omnibus precationi insistentibus, patriarcha huc aque illuc respiciens, agnum videt qui dextrum pedem attollebat, eoque quasi ostendebat subjectum solum: a nullo enim alio agnus visus est. Tum patriarcha conjectis oculis, ad locum monstratum cum iis qui aderant accedit, et ait: In nomine Domini nostri Jesu Christi, hic mihi, filii, fodite. Cumque tum ipsum locum in quo agnus stabat, tum quidquid circum erat fodissent, patriarcha, sumpto sarculo, locum quem agnus ostendebat, levi et ad superficiem ictu pulsat; confestimque terra emittit limpidam aquam et ad bibendum suavem, atque ea cum impetu effusa flumen repentinum efficit. Universis ergo, aquæ causa gaudentibus, patriarcha dixit: *Fluminis impetus lætificat civitatem Dei* [63-64].

CLXX. Hinc tota ad eum confluebat civitas, et spiritalis illius doctrinæ dulcedine ad veram fidem cunctos impellebat; ut et multi quotidie baptizarentur numerusque ad quingentos pervenerit, ac vera religio in dies caperet incrementum. Nondum profecto annus in exsilio erat emensus ac præteritus, et ædificantur quidem, ab iis qui crediderant, Ecclesiæ numero quinque et septuaginta, idolorumque fana et templa evertuntur; iisque adsitos lucos, multum terræ occupantes, ignis depascit, atque universa prosternitur dæmonum insania.

CLXXI. Tunc ergo invidiosus et gravis rumor ad imperatoris aures pervenit, referens Christianorum sectam in majorem multitudinem crescere, et singulis diebus augeri. Quam ob causam ille statim Aufidianum præsidem mittit, qui non solum non ulterius progredi sectam sineret, verum et jam captos reduceret, avocaretque a pietate. Hic itaque postquam Chersonem venit, Christianosque com-

A τῶν ἀναγκαίων τὴν ἀπορίαν, καὶ, ὃ πάντων βαρύτατον ἦν, τὴν αὐτοῦ τοῦ ὕδατος ἔνδειαν. Εἰ γάρ τις ὅλην τὴν ἡμέραν τῇ τῶν χειρῶν ἐργασίᾳ, καὶ τῷ καμάτῳ προστετηκὼς, ἔλεγον, ὕδατος βραχεῖάν τινα σταγόνα λαβεῖν ἐθελήσειεν, ὥστε τὴν ἐκ τοῦ κόπου ἀναψύξαι ταλαιπωρίαν, οὐκ ἔλαττον ὁ τοιοῦτος ἢ σταδίους πέντε καὶ τεσσαράκοντα προελθὼν ἂν, ὕδωρ κομίσαιτο. Πρὸς ταῦτα συναλγήσας τε αὐτοῖς ὁ πατριάρχης καὶ συνδακρύσας, εἶτα καὶ τῷ Θεῷ εὐχαριστήσας, καὶ ἱκανῶς τὰς ἐκείνων ψυχὰς παραμυθησάμενος, Οὐχ ἁπλῶς οὕτω καὶ ἀλόγως, εἶπεν, ἐνταῦθά με ὁ Θεὸς συνεχώρησεν ἐκβληθῆναι, ἀλλ' ὥστε καὶ κοινωνὸν ὑμῖν γενέσθαι τῶν παθημάτων, καὶ ὑπομονῆς μάλιστα καὶ καρτερίας ὑπόθεσιν.

CLXIX. Ἔπειτα μέντοι καὶ εἰς εὐχὴν τρέπεται, καὶ
B δεῖται σὺν αὐτοῖς τοῦ Θεοῦ, ὥστε τοῖς αὐτοῦ ὁμολογηταῖς πηγὴν ὕδατος διανοῖξαι· καὶ ὁ πατάξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐῤῥύησαν ὕδατα, αὐτὸς ἄφθονον καὶ αὐτοῖς τοῦ ὕδατος παρέχει τὴν χορηγίαν. Ἤδη γὰρ πάντων τῇ εὐχῇ προσκειμένων, ὁ πατριάρχης τῇδε κἀκεῖσε περιβλεψάμενος, ἀμνόν τινα ὁρᾷ, [61], τὸν δεξιὸν μετεωρίζοντα πόδα, καὶ ὥσπερ ἐκείνῳ ὑποδεικνύντα τὸ ὑποκείμενον ἔδαφος· οὐδενὶ γὰρ ὁ ἀμνὸς τῶν ἄλλων τεθέατο. Καὶ συμβαλὼν τὴν ὄψιν ὁ πατριάρχης, τῷ ὑποδειχθέντι τόπῳ μετὰ τῶν παρόντων ἐφίσταται, καί φησιν. Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐνταῦθά μοι, τέκνα, ὀρύξατε. Καὶ ἐπειδὴ αὐτόν τε [62] τὸν τόπον, εἰς ὃν ὁ ἀμνὸς ἵστατο, καὶ τὸ κύκλῳ πᾶν περιέσκαψαν, λαβὼν σκαφεῖον ὁ πατριάρχης, κρούει τὸν τόπον ἔνθα ὁ ἀμνὸς ὑπεδείκνυ, κούφῳ τινὶ καὶ μετεώρῳ τῷ κρούματι· καὶ παραχρῆμα διειδὲς ὕδωρ
C ἡ γῆ καὶ ἡδὺ πιεῖν ἀναδίδωσι· καὶ τοῦτο, σὺν ὁρμῇ ἐκχυθὲν, ποταμὸν ἀθρόον ποιεῖ. Πάντων οὖν χαιρόντων ἐπὶ τῷ ὕδατι, ὁ πατριάρχης, Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, ἔλεγεν.

CLXX. Ἐντεῦθεν ἡ πόλις περὶ αὐτὸν πᾶσα συνέῤῥεον, καὶ τῇ οἰῆς πνευματικῆς ἐκείνης διδασκαλίας γλυκύτητι πρὸς τὴν ἀληθῆ πίστιν πάντας ἐπήγετο, ὡς καὶ πολλοὺς ὅσαι ἡμέραι βαπτίζεσθαι, εἰς πεντακοσίους τε τὸν ἀριθμὸν ἀναβῆναι, καὶ τὴν εὐσέβειαν καθ' ἑκάστην ἐπιδιδόναι. Οὔπω τοίνυν ἐνιαυτὸς τὴν ὑπερορίαν ἐμέτρει, καὶ οἰκοδομοῦνται μὲν ὑπὸ τῶν πιστευσάντων ἐκκλησίαι τὸν ἀριθμὸν πέντε καὶ ἑβδομήκοντα, τεμένη τε εἰδώλων καὶ ναοὶ καθαιροῦνται, καὶ τὰ παραπεφυκότα τούτοις ἄλση, ἐπὶ πολὺ γῆς διικνούμενα, τὸ
D πῦρ κατανέμεται, καὶ πᾶσα τῶν δαιμόνων καταβάλλεται ἡ μανία.

CLXXI. Τηνικαῦτα οὖν ἐπίφθονός τε καὶ βαρεῖα φήμη τὰς τοῦ βασιλέως ἀκοὰς ὑποτρέχει, ἐπιδοῦναι τὰ Χριστιανῶν εἰς πλῆθος ἀριθμοῦ κρεῖττον, καὶ καθ' ἑκάστην αὔξεσθαι τὴν ἡμέραν διδάσκουσα. Ἐφ' ᾧ δὴ καὶ Αὐφιδιανὸν αὐτίκα τὸν ἡγεμόνα ἐκεῖνος ἐκπέμπει, ὥστε μὴ μόνον μηδὲ περαιτέρω προελθεῖν αὐτὰ συγχωρῆσαι, ἀλλὰ καὶ τοὺς ἤδη χειρωθέντας ἐπαναγαγεῖν, καὶ ἀποστῆσαι τῆς εὐσεβείας. Οὗτος τοίνυν, τὴν Χερσῶνα κα-

VARIÆ LECTIONES.

[60] Num. xx, 6. Psal. LXXXII, 20. [61] al. inser· ἑστῶτα. [62] deest in al. [63] [64] Psal· XLV, 5.

ταλαβὼν, καὶ πολλοὺς τῶν Χριστιανῶν πολλαῖς βασάνοις καὶ ποικίλαις ὑποβαλὼν, ἐπεὶ πάντας τῇ προθέσει μάρτυρας γεγενημένους ἑώρα, καὶ πρὸς μυρίους παρεσκευασμένους θανάτους, τί ποιεῖ; Ἀπέχεται μὲν τοῦ πλήθους, δεδοικὼς μὴ καὶ ἀπὸ τοῦ τέλους (24) μάρτυρας πλείονας ἐργάσηται· τὸν αἴτιον δὲ μόνον κολάζει, καὶ πάντα θυμὸν κατὰ τῆς μακαρίας ἐκείνης τοῦ Κλήμεντος ἀφίησι κεφαλῆς. Ἐπειδὴ δὲ πάντα ἦν αὐτῷ κοῦφα, καὶ εἰς οὐδὲν λογιζόμενα, καὶ ἀφ' ὧν αὐτὸν ἔπασχε μᾶλλον πλείονα τοῖς ἄλλοις παρείχετο τὴν ἀσφάλειαν, σύντομον ἀπαλλαγὴν αὐτῷ τοῦ βίου καὶ ταχεῖαν ἐπινοεῖται, καὶ εἰς μέσην τὸν μάρτυρα τὴν θάλασσαν ἀγαγὼν, καὶ ἄγκυραν σιδηρᾶν τοῦ τραχήλου ἐκδήσας, καθίησι τῷ βυθῷ, ὅπως μηδὲ λείψανον ἐκείνου, φησὶν, ὑπολειφθείη Χριστιανοῖς.

CLXXII. Ἀλλ' ὁ μὲν ἔῤῥιπτο κατὰ τοῦ πελάγους· τὸ δὲ τῶν Χριστιανῶν πλῆθος ἐπὶ τοῦ αἰγιαλοῦ ἑστὼς, ἐθρήνουν ἐλεεινῶς, ὠλοφύροντο, καὶ οἰκτροτάταις φωναῖς ἀνεκάλουν τὸν πατριάρχην. Κορνήλιος δὲ καὶ Φοῖβος οἱ μαθηταὶ οἵας τὸ πάθος ἀπῄτει φωνὰς καὶ αὐτοὶ βοῶντες, καὶ οὐκ ἔχοντες ὅ τι τῆς συμφορᾶς ποιήσονται παραμύθιον, Εὐξώμεθα πάντες ὁμοθυμαδὸν, εἶπον, ὥστε κἂν ἀναδειχθῆναι ἡμῖν τὸ τοῦ μάρτυρος λείψανον. Καὶ προσευχομένων αὐτῶν, ὢ τῶν μεγάλων σου, Δέσποτα, τεραστίων [65], θαυματουργεῖταί τι κἀνταῦθα [66] Θεὸς τοῦ Μωσέως παραδοξότερον. Ὑποφεύγει μὲν γὰρ ἡ θάλασσα προσωτέρω σταδίους σχεδὸν οὐκ ἐλάττους τῶν εἴκοσι. Προσελθόντες δὲ τὸ πλῆθος διὰ ξηροῦ τοῦ ἐδάφους· τῆς θαυμαστῆς σου καὶ τοῦτο, Χριστὲ, δυνάμεως· εὑρίσκουσι λίθον ἐν εἴδει ναοῦ παρὰ τῆς σῆς ἀποῤῥήτου σοφίας πεποιημένον, καὶ τὸ μαρτυρικὸν σῶμα λαμπρῶς ἐν αὐτῷ κείμενον, καὶ τὴν βαρεῖαν ἐκείνην ἄγκυραν, ἔγγιστά που τοῦ λίθου καὶ αὐτὴν κειμένην.

CLXXIII. Ἀλλ' ἀπεκαλύφθη Κορνηλίῳ καὶ Φοίβῳ, ὥστε μὴ τὸ λείψανον ἐκεῖθεν μετακινῆσαι, καλῶς ἐν τῷ βυθῷ κείμενον· καὶ ὅτι καθ' ἑκάστην ἐνιαυτοῦ περιτροπὴν ἐν τῷ καιρῷ τῆς τοῦ μάρτυρος τελειώσεως, ὑποχωρήσει παρ' ὅλας ἑπτὰ ἡμέρας τοῖς προσιοῦσιν ἡ θάλασσα, πεζῇ καὶ βάδην αὐτοῖς μέχρι τοῦ λειψάνου τὴν πάροδον ἐπιτρέπουσα. Ὅπερ ἐτησίως ἐξ ἐκείνου καὶ εἰς δεῦρο τελεῖται, τὴν ἐπιδημίαν τῆς αὐτοῦ μνήμης (25) οἱονεί τινα ὅρον ἔχον καὶ προθεσμίαν. Ἐντεῦθεν αἵρεσις παρ' αὐτοῖς πᾶσα, καὶ ἑλληνισμὸς καταλέλυται, τῶν ἐν τῇ τοῦ μάρτυρος μνήμῃ τελουμένων ἐκεῖ σημείων καὶ τῶν θαυμάτων εἰς ἐπίγνωσιν πάντας χειραγωγούντων, καὶ καθαρῶς ἐναγόντων πρὸς τὴν ἀλήθειαν. Οὐδενὶ γὰρ [68] ὑπό τινος ἀνηκέστου κακοῦ πιεζομένων, τῆς τοῦ ὕδατος ἐκείνου μεταλήψεως καὶ

A plures tormentis multis ac variis affecit, quando omnes proposito et intentione martyres fuisse vidit, paratosque esse ad mille mortes, quid facit? Abstinet quidem a populo, veritus ne etiam ex primoribus multos faceret martyres: solum vero auctorem reprimit, omnemque furorem immittit in beatum illud Clementis caput. Porro cum huic omni essent levia et nullius momenti, quin potius ex eis quæ ipse patiebatur, cæteris præberet majorem fiduciam, brevem ei et celerem excogitat discessum e vita, atque adducto martyre in medium mare, anchoraque ferrea ad collum ejus religata, in profundum demittit: Ne, inquit, illius vel reliquiæ remaneant Christianis.

B CLXXII. Atque ille quidem in pelagum projectus est: Christianorum autem multitudo, in littore stans, lamentabatur, misere ejulabat, et miserandis admodum vocibus inclamabat patriarcham. Cornelius vero et Phœbus discipuli, quales voces id quod perferebatur postulabat, et ipsi per clamorem emittunt, nec habent quam infortunio afferant consolationem, atque aiunt: Oremus cuncti uno animo, ut nobis ostendatur martyris corpus. Et cum orarent, o magna tua miracula, Domine! ibi Deus aliquid majore admiratione dignum edit, quam quod Moses [67]. Etin mare procul recedit viginti fere stadia. Accedens autem plebs per sicum solum, hoc quoque mirabilis tuæ potentiæ, Christe! invenit lapidem in forma templi ab ineffabili tua sapientia effectum, et martyris corpus magnifice in eo jacens, C gravemque illam anchoram proxime saxum et ipsam positam.

CLXXIII. Sed Cornelio et Phœbo revelatum est, ne illinc transferrent corpus, quod præclare situm erat in profundo; ac fore ut per singulos annorum circuitus, tempore quo martyr morte consummatus est, mare adventuris cederet per septem integros dies, permitteretque illis aditum pedibus et lento gradu usque ad corpus. Quod annuatim ab illo tempore adhuc perficitur, habetque velut præfinitum terminum ac præstitum tempus adventum commemorationis martyris. Hinc omnis apud eos hæresis, et Græca religio eversa est; cum signa et miracula quæ ibi in memoria martyris eduntur, cunctos ad D cognitionem adducant, et plane ad veritatem impellant. Nemini enim illorum qui insanabili aliquo malo premerentur, alia re quam aquæ illius perceptione

VARIÆ LECTIONES.

[65] al. θαυμασίων. [66] deest in al. [67] Exod. XIV. al. inser. τῶν.

VARIORUM NOTÆ.

(24) Ἀπὸ τοῦ τέλους. *Ex primoribus*. Vel cum Perionio, *tandem*. COT.

(25) Τῆς αὐτοῦ μνήμης. Infra Martyrii num. 25, ἐν τῇ ἡμέρᾳ τῆς ἀθλήσεως αὐτοῦ. Acta, et Freculfus *die passionis ejus*. Gregorio Turonensi: *in die solemnitatis ejus*. Græci ad 24 Novemb. ἐν τῇ τοῦ ἁγίου μνήμῃ. Male ergo apud Nicephorum III, 18, ista παράδοξον δέ τι τῆς μνήμης ἐνισταμένης αὐτῷ ἐπιγίνεται, verterunt sic: *De quo supra opinionem præsentis memoriæ quiddam accidit.* Lego ego αὐτοῦ, et explico: *Editur autem miraculum, quoties adventat dies quo illius memoria celebratur*. COT.

et aspersione opus fuit ad morbi eum occupantis depulsionem.

CLXXIV. Sed hæc quidem talia sunt, et ita habent: illud vero longe majus, sufficiensque ad confirmanda præcedentia. Nam cum, ut superior oratio declaravit, in pelagus martyr immissus est, et in sinus aquarum projectus, atque mare longius abscessit, dum quasi sub pedem dat locum, et index corporis mirabiliter efficitur, ac volenti facit potestatem gradiendi per profundum; ingens certe Christianorum multitudo tunc ad corporis spectaculum properabat. Postea vero et maximus dies festus miraculum induxit; aut potius hoc miraculum diem festum effecit; quod non, semel editum, deinde desiit, sed per unumquodque ami curriculum perficiebantur eodem modo, piasque animas convocabat ad epulum. Cum equidem hæc ita essent, et omnes circa Chersonem Christiani ad miræ rei solemnem diem quotannis concurrerant; ibi etiam Deus miraculum, anterioribus magis inopinum et admirabile, operatur.

V. Itaque cum per ipsius doctrinam conversa ad Deum uxor Sisinnii Theodora, sedulum Deo exhiberet ministerium, eam zelotypia ductus maritus laqueis involvere nitebatur, properantem ad ecclesiam. Et quidem illa ingrediente, ipse per alium introitum adveniens, cœpit curiose inspicere: et quando a sancto Clemente facta fuit oratio, dixitque populus: Amen; eo tempore Sisinnius cæcus et surdus effectus est, ut neque videre neque audire posset. Tunc ergo dixit servis suis: Prehendite me in manus vestras, et extra educite, quoniam oculi mei cæci facti sunt, et aures meæ in tantum obsurduerunt, ut nihil penitus audire valeam.

VI. Tunc servi ejus circuibant cum illo per totam ecclesiam, in medio orantis populi, virorum pariter et mulierum, nec portas quas ingressi fuerant poterant contingere. Unde dum ipsi vagabundi oberrant, iterumque gyros agunt, ad Theodoram dominam suam, ubi Deo preces fundebat, pervenerunt cum domino suo. Quæ cum vidisset servos suos una cum domino eorum excæcato circumagentes, primo quidem declinavit aspectum eorum, putans quod apertis oculis ipsam aspiceret. Dein misit unum e servis suis, ut sciret quid sibi vellent, cum domino circumeuntes. Illi dixerunt: Dominus noster, dum vult videre quod ei licitum non est, et alienum mysterium audire, excæcatus est, et surdus effectus; nobis autem imperavit, ut illum hinc quomodocunque edu-

A Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Καὶ αὖθις διὰ Ἡσαΐου τοῦ προφήτου· Ὅτι ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

III. Παρὰ δὲ Χριστιανοῖς, διὰ τοῦτο καὶ μᾶλλον ἠγαπᾶτο, ἐπειδὴ τοὺς καθ' ἑκάστην [82-84] ῥεγεῶνα πένητας κατ' ὄνομα εἶχε γεγραμμένους· καὶ οὓς τῷ τοῦ βαπτίσματος ἁγιασμῷ ἐφώτιζεν, οὐ συνεχώρει δημοσίαν ἀπαίτησιν ὑπελθεῖν. Τῷ δὲ καθ' ἡμέραν κηρύγματι τούς τε μετρίους καὶ πλουσίους ἐνουθέτει τοῦ μὴ ἀνέχεσθαι τοὺς πεφωτισμένους πένητας παρὰ Ἰουδαίων ἢ Ἑλλήνων δημόσια ὄψα λαμβάνειν, καὶ βίον τῇ τοῦ βαπτίσματος καθιερώσει κεκαθαρμένον [85], χαρίσμασιν Ἑλλήνων χραίνεσθαι.

IV. Τούτοις, καὶ τούτων πλείοσιν ἀνδραγαθίας ἄνB θεσι τῷ τε Θεῷ καὶ πᾶσιν ἀνθρώποις ἐχέφροσιν εὐηρέστει. Τοῖς γὰρ ἀλογίστοις ἀρέσκειν ἀδύνατον, ὅπερ τῷ Θεῷ εὐάρεστον ἀποδείκνυται. Τούτου οὖν ἕνεκεν οὐκ ἐφόβησαν [86] τὰς ὕβρεις τῶν ἀλογίστων ἀνθρώπων ἐκεῖνοι, οἷς ἡ γνώμη ἐτύγχανε τοὺς ἀπαρέσκοντας [87] πλείστοις [88] μὴ δειλιᾷν. Ὅτου χάριν περιῆν τῷ μακαριωτάτῳ Κλήμεντι τῷ τοῦ θρόνου Ῥωμαίων ἐπισκόπῳ τὸν φίλον τοῦ βασιλέως Νερούα μὴ φοβεῖσθαι.

V. Ἐπειδὴ τοίνυν τῇ αὐτοῦ διδασκαλίᾳ ἡ γυνὴ τοῦ Σισιννίου Θεοδώρα, ἐπιστραφεῖσα [89] πρὸς Θεὸν, σπουδαίαν ἐτέλει τὴν λειτουργίαν, ταύτην ὁ ἀνὴρ ζηλοτυπήσας, παγιδεῦσαι κατηγωνίζετο, πρὸς τὴν ἐκκλησίαν σπεύδουσαν [90]. Καὶ δὴ εἰσερχομένης [91], ἐκεῖνος δι' ἑτέρας εἰσόδου καταφθάσας, ἤρξατο πολυπραγμονεῖν· καὶ ἡνίκα παρὰ τοῦ ἁγίου Κλήμεντος εὐχὴ γέC γονε, τοῦ λαοῦ εἰρηκότος τὸ Ἀμήν, ὁ Σισίννιος ἐν τούτῳ τυφλός τε καὶ κωφὸς ἀπετελέσθη, τοῦ μήτε ὁρᾷν, μήτε ἀκούειν δύνασθαι. Τότε οὖν λέγει τοῖς δούλοις αὐτοῦ. Λάβετέ με εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἐξαγάγετε ἔξω, ὅτι οἱ ὀφθαλμοί μου τυφλοὶ γεγόνασι, καὶ αἱ ἀκοαί μου εἰς τοσοῦτον ἐκωφώθησαν, ὅτι οὐδὲν τὸ σύνολον ἀκούειν δύναμαι.

VI. Τότε οἱ παῖδες αὐτοῦ περιῆγον μετ' αὐτοῦ δι' [92] ὅλης τῆς ἐκκλησίας ἐν μέσῳ τοῦ εὐχομένου λαοῦ, ἀνδρῶν τε καὶ γυναικῶν, καὶ τὰς θύρας ὅθεν εἰσέβησαν καταλαβεῖν [93] οὐκ ἐδύναντο. Ὅθεν ἐν τῷ περιέρχεσθαι αὐτοὺς πλανηθέντας, καὶ πάλιν κυκλεύειν [94], πρὸς Θεοδώραν τὴν κυρίαν αὐτῶν, ἔνθα τῷ Θεῷ προσηύχετο, σὺν τῷ δεσπότῃ αὐτῶν παρεγένοντο. Ἥτις ἑωρακυῖα τοὺς ἑαυτῆς παῖδας μετὰ τοῦ κυρίου αὐτῶν D τυφλωθέντος [95] περιάγοντας, πρῶτον μὲν ἐξέκλινε τὴν θέαν αὐτῶν [96], νομίζουσα ὅτι περ ἠνεῳγμένοις ὄμμασιν θεάσηται αὐτήν. Καὶ πεμψάσης [97] ἕνα τῶν παίδων αὐτῆς πρὸς τὸ γνῶναι τί ἄρα θέλοιεν μετὰ τοῦ κυρίου αὐτῶν περιερχόμενοι, εἶπον [98]· Ὁ κύριος ἡμῶν, θέλων ὁρᾷν ὅπερ αὐτὸν οὐκ ἐξῆν [99], καὶ ἀκούειν ἀλλοτρίου μυστηρίου, ἀποτετύφλωται, καὶ κωφὸς

(a) Psal. CXXXI, 11. (b) Isa. VII, 14.

VARIÆ LECTIONES.

[82-84] al. καθ' ἕκαστον. [85] al. κεκαθαρμένων. [86] al. ἐφοβήθησαν. [87] al. ἀπαρεσκομένους πλείστους ὄντας. [88] Concinnior mihi videtur lectio duorum mss. Τοὺς ἀπαρεσκομένους πλείστους ὄντας, *illos qui ægre ferunt, suntque numero plures*. Cot. [89] al. πιστεύσασα. [90] al. ἀπιοῦσαν. [91] al. εἰσελθούσης [92] al. λαβόντες αὐτὸν περιῆγον δι'. [93] al. εἰσῆλθον εὑρεῖν. [94] al. πλανωμένους καὶ κοχλεύειν. [95] al. τυφλωθέντα αὐτόν, [96] al. αὐτοῦ. [97] al. μεταπεμψαμένη. [98] al. εἶπεν. [99] al. ἅπερ αὐτῷ οὐκ ἔξεστι.

ἀπειργάσθη· ἡμῖν τε ἐκέλευσεν, ἵνα τοῦτον ἐντεῦθεν [100] ὁπωσοῦν ἐξαγάγωμεν· καὶ οὐ συγκεχώρηται ἡμῖν αὐτὸν ἐντεῦθεν ὁπωσοῦν ἐκφέρειν [1]. A

VII. Ἡνίκα δὲ τοῦτο [2] τὸ διήγημα ἡ Θεοδώρα ὑπεδέξατο [3] παρὰ τοῦ παιδὸς, κατέστρωσεν [4] ἑαυτὴν εἰς εὐχὴν, καὶ μετὰ δακρύων [5] παρὰ τοῦ Θεοῦ ἐδέετο ἵνα ὁ ἀνὴρ αὐτῆς ἐκεῖθεν δυνηθῇ ἐξελθεῖν. Καὶ στραφεῖσα πρὸς τοὺς παῖδας τοὺς συνόντας αὐτῷ, εἶπεν· Ἀπέλθετε, καὶ χειραγωγήσαντες τὸν κύριον ὑμῶν, ἀπαγάγετε εἰς τὸν οἶκον· ἐγὼ γὰρ τὴν εὐχὴν, ἣν ἠρξάμην, οὐ μὴ καταλείπω, ἀλλὰ προσφέρω τὴν θυσίαν μου τῷ Κυρίῳ, καὶ πληρουμένων τῶν μυστηρίων, καταφθάνω ὑμᾶς. Τότε τοίνυν ἀπῆλθον οἱ παῖδες χειραγωγοῦντες αὐτὸν [6], καὶ ἐξερχόμενοι, ἀπήγαγον εἰς τὸν οἶκον· καὶ ὑποστρέψαντες πρὸς τὴν κυρίαν αὐτῶν, τυφλὸν ἀπήγγειλαν καὶ κωφὸν αὐτὸν εἰσέτι διαμεῖναι [7]. B Ἡ δὲ Θεοδώρα ἐπὶ πλεῖον τῷ Θεῷ δεήσεις καὶ δάκρυα ἐξέχεεν, ὅπως τοῦ ἀνδρὸς αὐτῆς τὸ αὐτοῦ ἔλεος ἀντιλήψηται. Καὶ δὴ τῆς ἀπολύσεως γεγονυίας προσέπεσε τῷ μακαρίῳ Κλήμεντι ἡ Θεοδώρα, λέγουσα [8], τὸν ἄνδρα αὐτῆς περιεργαζόμενον τὰ ἀπόῤῥητα τῶν μυστηρίων τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ, τυφλώσει περιπεσεῖν τῶν ἀμφοτέρων ὀφθαλμῶν, τῶν τε ἑκατέρων ὤτων τὸ ἀκουστικὸν παραυτὰ ἀπολέσαι.

VIII. Τηνικαῦτα οὖν ὁ μακάριος Κλήμης, προχέας δάκρυα, προτρέπειν ἤρξατο [9] τοὺς συμπαρόντας, ἵνα ὁμοθυμαδὸν παρὰ τοῦ Κυρίου αἰτήσωνται, ὅπως τῷ ἀνδρὶ αὐτῆς τήν τε ἀκοὴν χαρίσηται καὶ τὴν ὅρασιν· θαρσαλέως τοίνυν ὁ μακάριος Κλήμης μετὰ τὴν εὐχὴν συνεπορεύθη τῇ γυναικὶ πρὸς τὸν ἐκείνης ἄνδρα, καὶ εὗρεν αὐτὸν, ἀνεῳγμένων τῶν [10] ὀμμάτων, οὐδὲν [11] ὁρῶντα, οὔτε μὲν λόγου τὸ παράπαν, οὔτε τινὸς C ἤχου ἀκούοντα· ἔνθα καὶ συμμιγεῖς ὀλοφυρμῶν [12] ἅπαντες περιήχουν, οὗ τινος ὁ Σισίννιος παντάπασιν οὐκ ἠκροᾶτο.

IX. Τότε οὖν, κλίνας τὰ γόνατα πρὸς τὸν Θεὸν, ἔφη ὁ μακάριος Κλήμης· Κύριε Ἰησοῦ Χριστὲ, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν δεδωκὼς τῷ ἀποστόλῳ σου, διδασκάλῳ δὲ ἐμῷ Πέτρῳ, καὶ εἰπών· Ἅπερ ἂν ἀνοίξῃς, ἠνέῳκται, καὶ ἅπερ κλείσῃς, κέκλεισται, σὺ πρόσταξον ἵνα διανοιχθῶσι τῷ ἀνθρώπῳ τούτῳ [13-14] αἱ ἀκοαὶ, καὶ οἱ ὀφθαλμοὶ, ὅτι σὺ εἶπας· Ἅπερ ἂν αἰτήσητε πιστεύοντες, λήψεσθε. Καὶ αὕτη σου ἡ ἐπαγγελία διαμένει εἰς αἰῶνα αἰώνων [15-16]. Καὶ ἡνίκα πάντες ἀπεκρίνοντο [17], Ἀμήν, διηνοίχθησαν [18] οἱ ὀφθαλμοὶ Σισιννίου καὶ αἱ ἀκοαί. Καὶ ἰδὼν τὸν ἅγιον Κλήμεντα σὺν τῇ ἑαυτοῦ ἱστάμενον γυναικὶ, ἐξέστη D τῇ διανοίᾳ, λογιζόμενος τί ἄρα εἴη τοῦτο, καὶ ὑπονοῶν τοῦτο αὐτὸ γοητικαῖς τέχναις ἐμπεπαῖχθαι, ἤρξατο κράζειν [19] τοῖς δούλοις αὐτοῦ [20]· Κρατήσατε Κλήμεντα τὸν ἐπίσκοπον· διὰ γὰρ τοῦ εἰσελθεῖν πρὸς τὴν γυναῖκά μου, τῇ μαγικῇ αὐτοῦ τέχνῃ τὴν πήρωσίν μοι ἐπήγαγεν.

ceremus; sed non licuit nobis eum hinc ullo pacto emittere.

VII. Postquam autem hanc narrationem Theodora a puero suscepit, prostravit se in orationem, et cum lacrymis a Deo rogabat, ut inde vir ejus posset exire. Conversaque ad servos, qui cum eo erant: Abite, inquit, manu ducentes dominum vestrum, domum reducite: ego enim preces quas inchoavi non relinquam, sed offeram Domino sacrificium meum, completis vero mysteriis, vos assequar. Tunc igitur discesserunt famuli manu deducentes eum, et egressi reduxerunt domum: reversique ad dominam suam, illum nuntiaverunt cæcum et surdum adhuc permansisse. At Theodora magis magisque Deo deprecationes et lacrymas effudit, ut suo viro misericordia ejus subveniret. Atque facta dimissione, accidit beato Clementi Theodora, dicens, maritum suum dum abscondita mysteriorum Domini Jesu Christi perscrutatur, incidisse in orbitatem amborum oculorum, statimque utriusque auris vim audiendi amisisse.

VIII. Tunc igitur beatus Clemens effusis lacrymis, hortari cœpit eos qui aderant, ut a Domino unanimiter postularent, viro ejus auditum redderet ac visum. Audacter itaque B. Clemens post orationem perrexit cum muliere ad virum ejus; et invenit eum apertis oculis nihil videre, neque etiam sermonem ullatenus, aut ullum sonum audire: ubi et permisti omnes ejulatibus perstrepebant; nec Sininnius ullo modo audiebat.

IX. Tunc igitur genibus flexis ad Deum, dixit beatus Clemens: Domine Jesu Christe, qui claves regni cœlorum dedisti apostolo tuo, magistro autem meo Petro, et dixisti: *Quæcunque aperueris, aperta sunt, et quæcunque clauseris clausa sunt* (*a*); tu præcipe ut aperiantur huic homini aures atque oculi; quoniam tu dixisti: *Quæcunque petieritis credentes, accipietis* (*b*). Et hæc tua promissio permanet in sæculum sæculi. Cumque omnes responderunt: Amen, aperti sunt oculi Sisinnii, itemque aures. Et videns sanctum Clementem stantem cum conjuge sua, mente excidit, reputans quidnam hoc esset; ac existimans id ipsum præstigiosis artibus et illusionibus effectum fuisse, cœpit clamare servis suis: Tenete Clementem episcopum: nam ut ingrederetur ad uxorem meam, magica sua arte mihi cæcitatem induxit.

(*a*) Matth. xvi, 19. (*b*) Marc. xxi, 22.

VARIÆ LECTIONES.

[100] deest in al. [1] al. ἐκβαλεῖν. [2] deest in al. [3] al. ἤκουσεν. [4] al. ἔστησεν. [5] deest in al. [6] deest in al. [7] al. διαμένειν. [8] al. λέγουσα πάντα τὰ συμβάντα τῷ ἀνδρὶ αὐτῆς, καὶ ὅτι τυφλός ἐστι τοῖς ὀφθαλμοῖς καὶ κωφὸς τοῖς ὠσί. Ταῦτα ἀκούσας ὁ μακάριος. [9] al. προετρέψατο. [10] al. αὐτῷ. [11] al. μηδένα. [12] al. συμμιγῆ ὀλοφυρμόν. [13-14] al. τοῦ ἀνθρώπου τούτου. [15-16] al. αἰῶνος. [17] al. εἶπον τό. [18] al. inser. εὐθέως. [19] al. κελεύειν. [20] al. αὐτοῦ, καὶ λέγειν.

X. Illi vero, quos jusserat Clementem constringere ac trahere, ipsi columnas adjacentes ligabant et trahebant; aliquando quidem ex interioribus ad exteriora, aliquando vero ab exterioribus ad interiora : hoc autem ipsi etiam Sisinnio videbatur, quod sanctum Clementem ligatum tenerent ac traherent. Ad quem S. Clemens dixit: Duritia cordis tui in lapides conversa est: quia enim lapides putas esse deos, lapides trahere sortitus es.

XI. Ille vero quasi vincto insultans, dicebat: Ego te faciam in exemplum omnium præstigiatorum interimi. Tunc sanctus Clemens, cum dedisset orationem, et uxori ejus benedixisset, abiit; hoc eidem mandans, ne ab oratione ullo modo cessaret, donec visitationem suam Dominus in virum ejus dignaretur ostendere. Flenti igitur et oranti Theodoræ, ad vesperam apparuit quidam vir canitie venerandus, dixitque : Propter te sanus erit Sisinnius; ut impleatur quod dixit frater meus Paulus apostolus : *Sanctificabitur vir infidelis per mulierem fidelem* (*a*). Hisque dictis discessit ab ejus aspectu. Unde indubium et perspicuum est, beatum Petrum apostolum illic apparuisse.

XII. Et vero statim Sisinnius vocavit ad se Theodoram, aitque illi : Obsecro te ut roges Deum tuum, ne irascatur mihi. Zelotypia enim tui ductus adveni et ingressus sum post te in ecclesiam; et quia volui videre quæ celebrabantur, auditorque esse eorum quæ dicebantur, visum pariter et auditum amisi. Nunc vero quandoquidem hæc me recuperare fecit Clementis adventus, ora eum ut veniat ad me, meque faciat veritatem agnoscere. Etnim mihi servisque meis pro certo putabatur, quod Clementem cum ejus clericis ligarent, eumque distraherent: sed illi lapides et columnas ligasse, et huc illucque traxisse noscuntur.

XIII. Tunc Theodora profecta, narravit sancto Clementi omnia quæ viderat, et quæ a marito suo dicta fuerant. Veniens itaque sanctus ad Sisinnium, cum honore susceptus est. A quo audivit quæcunque ad ædificationem animæ pertinebant: et credidit Deo, corroboratusque est : et cœpit ad genua Clementis advolvi, et clamare :

XIV. Gratias ago vero Deo et omnipotenti, qui me ideo excæcavit ut videam, et ideo auditum abstulit ut auribus percipiam veritatem, quam aliquando deridebam per ignorantiam, et hoc quidem

A X. Ἐκεῖνοι δὲ, οἷς ἐκέλευσε τὸν Κλήμεντα κατασφίγγειν [21] τε καὶ σύρειν, αὐτοὶ τοὺς κειμένους στύλους δεσμοῦντες εἷλκον· ποτὲ μὲν ἔνδοθεν εἰς τὰ ἔξω, ποτὲ δὲ ἐκ τῶν ἔξω εἰς τὰ ἔσω· τοῦτο δὲ καὶ αὐτῷ τῷ Σισιννίῳ ἐδόκει, ὅτι περ τὸν ἅγιον Κλήμεντα δεδεμένον εἷλκόν τε καὶ κατεῖχον [22]. Πρὸς ὃν ὁ ἅγιος Κλήμης [23] ἔφη· Ἡ σκληρότης τῆς καρδίας σου εἰς λίθους ἐτράπη· ἐπειδὴ γὰρ τοὺς λίθους δοξάζεις εἶναι θεοὺς, λίθους σύρειν κεκλήρωσαι.

XI. Ἐκεῖνος δὲ, ὡς δῆθεν δεδεμένου κατακαυχώμενος [24], ἔλεγεν· Ἐγώ σε ποιῶ εἰς ὑπόδειγμα πάντων τῶν γοήτων ἀναιρεθῆναι. Τηνικαῦτα ὁ ἅγιος Κλήμης, δεδωκὼς εὐχὴν, καὶ εὐλογήσας τὴν ἐκείνου σύμβιον, ἀπῴχετο [25], τοῦτο ἐντειλάμενος αὐτῇ, μὴ παύσασθαι τὸ παράπαν τῆς προσευχῆς, μέχρις ἂν τὴν B παρ' αὐτοῦ ἐπίσκεψιν ὁ Κύριος εἰς τὸν ἄνδρα αὐτῆς καταξιώσῃ ἀναδεῖξαι. Κλαιούσῃ τοίνυν καὶ εὐχομένῃ τῇ Θεοδώρᾳ, πρὸς ἑσπέραν ἐφάνη τις ἀνὴρ τῇ πολιᾷ αἰδέσιμος, καὶ εἶπε· Διὰ σὲ ὑγιὴς ἔσεται ὁ Σισίννιος· ὅπως πληρωθῇ ὅπερ ἔφη ὁ ἀδελφός μου Παῦλος ὁ ἀπόστολος· Ἁγιασθήσεται ὁ ἀνὴρ ὁ ἄπιστος διὰ τὴν γυναῖκα τὴν πιστήν. Καὶ ταῦτα εἰπὼν, ἐκ τῆς ὄψεως αὐτῆς ἀνεχώρησεν. Ὅθεν ἀναμφίβολον ὑπάρχει καὶ κατάδηλον τὸν μακάριον ἐκεῖσε Πέτρον τὸν ἀπόστολον φανῆναι.

XII. Καὶ δὴ ἐξαυτῆς ἐκάλεσε πρὸς ἑαυτὸν ὁ Σισίννιος τὴν Θεοδώραν, καὶ λέγει αὐτῇ· Δέομαί σου ἵνα ἱκετεύσῃς τὸν Θεόν σου, τοῦ μὴ ὀργισθῆναί μοι. Σὲ γὰρ ζηλοτυπήσας, παρεγενόμην καὶ παρεισέβην [26-27] κατόπιν σου εἰς τὴν ἐκκλησίαν. Καὶ διὰ τὸ θέλειν με ὁρᾷν τὰ τελούμενα [28], καὶ ἀκροατὴν εἶναι τῶν λεγο- C μένων, τήν τε ἀκοὴν ἅμα καὶ τὴν ὅρασιν [29] ἀπώλεσα. Νυνὶ δὲ, ἐπειδὴ [30] τοῦ ταῦτά με ἀνακτήσασθαι ἡ τοῦ Κλήμεντος ἀπειργάσατο παρουσία, δεήθητι αὐτοῦ ὅπως ἔλθῃ πρός με, καὶ ποιήσῃ με τὴν ἀλήθειαν γνῶναι [31]. Ἐπεὶ καὶ ἐμοὶ καὶ τοῖς παισί μου ἀσφαλῶς ἐνομίζετο τὸν Κλήμεντα δεσμεύειν σὺν τοῖς αὐτοῦ κληρικοῖς, καὶ τοῦτον περισύρειν· ἀλλ' οὗτοι λίθους τε καὶ στυλάρια [32] δεσμοῦντες, ἕλκειν τε καὶ ἀνθέλκειν καταφαίνονται [33].

XIII. Τηνικαῦτα ἡ Θεοδώρα, πορευθεῖσα, διηγήσατο πάντα ἅπερ εἶδε, καὶ ἅπερ ὑπὸ τοῦ αὐτῆς συμβίου ἐλαλήθη [34], τῷ ἁγίῳ Κλήμεντι. Παραγενόμενος οὖν ὁ ἅγιος πρὸς τὸν Σισίννιον, μετὰ τιμῆς [35] ὑπεδέχθη. Παρ' οὗ ἀκηκοὼς ὅσαπερ πρὸς οἰκοδομὴν τῆς ψυχῆς [36] συνέτεινεν, ἐπίστευσε τῷ Θεῷ, D καὶ [37] ἐστερεώθη· καὶ ἤρξατο τοῖς γόνασι [38] τοῦ Κλήμεντος προσκυλινδεῖσθαι, καὶ βοᾷν·

XIV. Εὐχαριστῶ τῷ ἀληθινῷ Θεῷ [39] καὶ παντοκράτορι, ὃς διὰ τοῦτό με τετύφλωκεν, ἵνα ὄψωμαι [40], καὶ διὰ τοῦτο τὴν ἀκοὴν ἀφείλετο, ἵν' ἐνωτίσωμαι τὴν ἀλήθειαν, ἧς ποτε δι' ἄγνοιαν κατεγέλων [41]·

(*a*) I Cor. VII, 14.

VARIÆ LECTIONES.

[21] al. κατασχεῖν. [22] al. κατέχουσι καὶ ἕλκουσι. [23] al. inser. ἰδών. [24] al. τοῦ ἁγίου καυχώμενος. [25] Exemplar 2124, εἰς τὸ αὐτοῦ ἐπισκοπεῖον ἄπεισι. *Ad episcopium suum abiit*. Cot. [26-27] al. εἰσῆλθον. [28] al. τελούμενα μυστήρια. [29] al. ὅρασιν καὶ ἀκοήν. [30] deest. in al. [31] al. ἐπιγνῶναι. [32] al. στυλαρίους. [33] al. κατεφαίνοντο. [34] al. ἐδηλώθη ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς. [35] al. πολλῆς τιμῆς. [36] al. ψυχῆς αὐτοῦ. [37] al. ἐξ ὅλης ψυχῆς. [38] al. ποσί. [39] al. Θεῷ τῷ ἀληθινῷ. [40] al. ὄψωμαι αὐτόν. [41] al. ἐν ᾗ τὴν ἀλήθειάν ποτε δι' ἄγνοιαν κατεγέλων, ἐν αὐτῇ ἀκούσας δέξωμαι· καὶ τοῦτο.

καὶ τοῦτο μὲν ἐνόμιζον ψευδὲς ὑπάρχειν, ὅπερ ἦν ἀληθὲς, ἐδόκουν δὲ τὸ ἔμπαλιν ἀληθὲς, ὃ ψευδὲς ἐτύγχανε· τὸ σκότος ἐνόμιζον φῶς, καὶ τὸ φῶς σκότος ὑπελάμβανον. Ἀλλ' ἐκαθαρίσθη ὁ νοῦς μου ἐκ τοῦ μολυσμοῦ τῆς εἰδωλομανίας. Ἀληθῶς γὰρ ἔγνων [42] τοὺς δαίμονας ἐξαπατήσαντας [43] τοὺς ἀνθρώπους· ὅπως τῶν μὴ πιστευόντων τὸν Χριστὸν εἶναι Θεὸν κυριεύσωσι πέτραι καὶ λίθοι, κωφοὶ καὶ ἄλαλοι, ὥσπερ κἀμοῦ ἐπεκράτησαν μέχρι τῆς δεῦρο. Ταῦτα καὶ τὰ παραπλήσια [44] τοῦ Σισιννίου φάσκοντος, χαρὰ μεγάλη γέγονεν. Ἐπίστευσε γὰρ σὺν πάσῃ τῇ αὐτοῦ οἰκίᾳ· καὶ ἐπιδεδωκὼς τὸ οἰκεῖον ὄνομα, προσεγγίζοντος [45] τοῦ Πάσχα, ἐβαπτίσθη [46]· ἠριθμήθησαν δὲ οἱ βαπτισθέντες ἐκ τοῦ οἴκου αὐτοῦ ἅμα πάντες ἄνδρες τε καὶ γυναῖκες σὺν τοῖς νηπίοις τετρακόσιοι εἴκοσι τρεῖς. Διὰ τοῦτον δὲ τὸν Σισίννιον πολλοὶ τῶν περιφανῶν καὶ φίλων Νερούα τοῦ βασιλέως πρὸς [47] τὸν Θεὸν ἐπεστράφησαν.

XV. Κατ' ἐκείνου δὲ τοῦ καιροῦ [48] ὁ κόμης τῶν [49] θείων ὀφφικίων Πούβλιος Ταρκουτιανὸς, ἑωρακὼς ἀναρίθμητον πληθὺν τῷ Χριστῷ πιστεύσασαν, προσεκαλέσατο τοὺς προστάτας τῶν ῥεγεώνων, ἐπιδεδωκὼς [50] αὐτοῖς χρήματα, παρέσεισεν [51] αὐτοὺς ἵνα κινήσωσι τάραχον τῷ Χριστιανῷ [52] ὀνόματι.

XVI. Διοικοῦντος τοίνυν Μαμερτίνου τοῦ ἐπάρχου τοῦ πολιτικοῦ θρόνου [53], στάσις γέγονε τοῦ Ῥωμαίων δήμου ἐπ' ὀνόματι τοῦ Κλήμεντος· καὶ πρὸς ἀλλήλους συγχυθέντες, ἄλλοι [54] μὲν ἔλεγον· Τί γὰρ κακὸν ἔπραξεν, ἢ τί τῶν καλῶν οὐ κατώρθωσεν; ὅστις γὰρ ἄῤῥωστος παρ' αὐτοῦ ἐπεσκέφθη, ἰάσεως ἔτυχεν· ὅστις πρὸς αὐτὸν λελυπημένος [55] ἀπῆλθε, χαίρων ἀνεχώρησεν· οὐδένα ποτὲ ἔβλαψε, πάντας δὲ ὠφέλησεν. Ἄλλοι δὲ πνεύματι διαβολικῷ ἐκκαυθέντες, ἔκραζον· Γοητικαῖς τέχναις ταῦτα ποιῶν; τῶν θεῶν ἡμῶν τὴν λατρείαν ἀνατρέπει· τὸν Δία λέγει θεὸν μὴ εἶναι. Ἡρακλέα δὲ τὸν ἡμέτερον φύλακα, ἀκάθαρτον εἶναι λέγει πνεῦμα· Ἀφροδίτην τὴν ὁσίαν [56] θεὰν, πόρνην γεγονέναι ὑποτίθεται· Ἑστίαν δὲ τὴν μεγάλην θεὰν πυρὶ κατηναλῶσθαι βλασφημεῖ. Ὡσαύτως δὲ καὶ τὴν εὐαγεστάτην [57] θεὰν Ἀθηνᾶν, Ἄρτεμίν τε καὶ Ἑρμῆν, ἅμα τε καὶ τὸν Κρόνον, καὶ τὸν Ἄρεα διαβάλλει. Πάντα τε τὰ ὀνόματα τῶν ἡμετέρων θεῶν, καὶ τοὺς ναοὺς καθυβρίζει. Ἢ θύσει τοῖς θεοῖς ἡμῶν, ἢ αὐτὸς ἐξαλειφθείη.

XVII. Τότε Μαμερτῖνος ὁ τῆς πόλεως ἔπαρχος, μὴ φέρων τοῦ δήμου τὴν στάσιν, ἐκέλευσε πρὸς ἑαυτὸν ἀναχθῆναι [58] τὸν μακαριώτατον Κλήμεντα· ὅνπερ θεασάμενος, ἤρξατο λέγειν· Ἐξ εὐγενοῦς μὲν ῥίζης προελήλυθας· ὅπερ ἡμῖν ἡ τῶν Ῥωμαίων πληθὺς προσμαρτυρεῖ [59]· ἀλλὰ πλάνην ὑπέστης· καὶ διὰ τοῦτο οὐ φέρουσιν [60]· ἐπειδὴ οὐκ οἶδα τίνα Χριστὸν σέβῃ, καὶ ἐναντία τῶν [61] ἐν τοῖς ναοῖς

putabam falsum esse, quod verum erat; existimabam autem rursus verum, quod falsum erat: tenebras putabam lucem, et lucem tenebras arbitrabar. Sed purgatus est animus meus a sordibus insani idolorum cultus. Vere siquidem agnovi decipi a dæmonibus homines; ut in eos qui non credunt Christum esse Deum, dominentur petræ ac lapides auditu carentes et voce, quemadmodum et mihi imperarunt usque in hunc diem. Ista similiaque Sisinnio proferente, gaudium magnum ortum est. Credidit enim cum omni domo sua; traditoque suo nomine, appropinquante Paschate baptizatus est. Numerati autem sunt qui baptizati fuerunt de domo ejus, omnes simul viri et mulieres cum infantibus, quadringenti viginti tres. Cæterum propter hunc Sisinnium multi illustrium, et amicorum Nervæ imperatoris ad Deum conversi sunt.

XV. In illo autem tempore comes sacrorum officiorum Publius Tarquitianus cum innumeram multitudinem Christo videret credidisse, arcessivit præfectos regionum, et data eis pecunia persuasit ut tumultum commoverent adversus nomen Christianum.

XVI. Administrante igitur Urbis præfecturam Mamertino, seditio facta est populi Romani de nomine Clementis; atque inter se confusi, alii quidem dicebant: Quid enim mali fecit, aut quid non bonæ rei gessit? Quicumque enim ægrotus ab eo visitatus est, sanitatem est consecutus: quicunque ad eum tristitia affectus abiit, gaudens reversus est: nullum unquam læsit; imo profuit omnibus. Alii autem diabolico accensi spiritu, clamabant: Magicis artibus ista faciens, deorum nostrorum cultum evertit; Jovem negat esse deum: Herculem vero custodem nostrum, dicit esse immundum spiritum: Venerem deam sanctam, meretricem fuisse docet: Vestam autem magnam deam, igne fuisse consumptam calumniatur. Simili quoque modo sanctissimam deam Minervam, item Dianam, Mercurium, simulque Saturnum et Martem infamat. Atque omnia deorum nostrorum nomina, et templa contumeliis afficit. Aut sacrificabit diis nostris, aut ipse deleatur.

XVII. Tunc Mamertinus Urbis præfectus, non ferens populi seditionem, jussit ad se adduci beatissimum Clementem: quem intuitus, cœpit dicere: E nobili quidem radice prodiisti; quod nobis Romana plebs attestatur: sed errorem subiisti: et ideo non ferunt; quia nescio quem Christum colis, contra deos qui in templis honorantur suscipis. Quocirca oportet ut deponas omnem superfluam

VARIÆ LECTIONES.

[42] al. ἐπέγνων. [43] al. ἐξαπατῶντας. [44] al. inser. τούτοις. [45] al. προσεγγίσαντος. [46] al. ἐβαπτίσθη αὐτὸς καὶ πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ, ἠρ. δ. ο. βάπτ. ἄνδρες. [47] al. ἐπίστευσαν καὶ πρός. [48] Κατ' ἐκείνου δὲ τοῦ καιροῦ. Hinc incipitur apud Surium, Novembris XXIII. Cor. [49] deest in al. [50] al. καὶ δεδωκώς. [51] al. ἔπεισεν. f. παρέπεισεν. [52] al. Χριστιανικῷ [53] ὑπάρχου τὸν πολιτικὸν θρόνον. [54] al. ἄλλος ἄλλο κατ' αὐτοῦ ἔλεγον· τινὲς δὲ ἀντέλεγον· Τί γάρ. [55] al. λυπούμενος. [56] deest in al. [57] deest in al. [58] al. ἀχθῆναι. [59] al. μαρτυρεῖ. [60] al. φέρουσιν σιωπῇν. [61] desunt in al.

superstitionem, colasque deos eximios. Tunc beatus Clemens: Optarem, inquit, tuæ excellentiæ prudentiam ad meam defensionem attendere, et non propter imperitorum seditionem, sed propter meam doctrinam accusasse me. Nam si canes multi allatraverint nos ac disciderint, non possunt etiam auferre quod homines rationales sumus; ipsique remanent canes sine ratione oblatrantes. Etenim seditio semper ab imperitis proficisci ostenditur, adeo ut nihil habeat tutum, nec etiam verum rectumque. Quamobrem quæratur silentii occasio, in quo pro salute sua homo rationis particeps apud se consultare ac disserere incipiat, quo verum Deum inveniat, cui fidem suam digne commendet.

A τῶν θεῶν ἀποδέχῃ. Διὸ ἀποθέσθαι σε δεῖ πᾶσαν τὴν περιττὴν δεισιδαιμονίαν, καὶ τοῖς ἐξαισίοις θεοῖς λατρεύειν [62]. Τότε ὁ μακάριος Κλήμης ἔφη· Ηὐχόμην τὴν τῆς σῆς ὑπεροχῆς φρόνησιν προσανέχειν μου τῇ ἀπολογίᾳ, καὶ μὴ διὰ στάσιν τῶν ἀπαιδεύτων, ἀλλὰ διὰ τὸν ἐμὸν λόγον γράψασθαί με. Ἐπεὶ, ἐὰν κύνες ἡμᾶς πολλοὶ περιυλάξωσι καὶ κατασχίσωσι, μὴ δύνανται ἀφελέσθαι καὶ τὸ εἶναι ἡμᾶς μὲν λογικοὺς ἀνθρώπους, ἐκείνους δὲ κύνας [63] ἀλογίστως καθυλακτοῦντας. Καὶ γὰρ ἡ στάσις ἀεὶ παρὰ ἀπαιδεύτων προερχομένη διαδείκνυται, ὥστε μηδὲν ἀσφαλὲς [64] ἔχειν, μήτε μὴν ἀληθές. Ὅθεν σιγῆς ζητείσθω πρόφασις, ἐν ᾗ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ὁ λογικὸς ἄνθρωπος, καὶ καθ' ἑαυτὸν βουλεύεσθαι καὶ διαλέγεσθαι ἀπάρξηται, ἵνα τὸν ἀληθῆ Θεὸν εὕροι, ᾧ τὴν ἑαυτοῦ πίστιν σεμνοπρεπῶς παράθοι.

XVIII. Tunc Publius Tarquitianus, missa relatione ad Trajanum imperatorem, de nomine beati Clementis detulit, dicens: Hunc Clementem seditiosis clamoribus populus non cessat quærere; et fide digna probatio adversus illius gesta inveniri non potest. Tunc Trajanus imperator rescripsit, oportere eum vel consentire sacrificando, aut ultra mare et Pontum in desertum Chersoni adjacens oppidum relegari.

B XVIII. Τότε Πούβλιος ὁ Ταρκουτιανὸς [65], ἀποστείλας ἀναφορὰν Τραϊανῷ τῷ αὐτοκράτορι, ἀνήγαγε περὶ τοῦ ὀνόματος τοῦ μακαρίου Κλήμεντος, φάσκων· Τοῦτον τὸν Κλήμεντα στασιώδεσι κραυγαῖς ζητῶν ὁ δῆμος οὐ παύεται· καὶ ἀξιόπιστος ἀπόδειξις εἰς τὰ κατ' αὐτὸν εὑρεθῆναι οὐ δύναται. Τηνικαῦτα Τραϊανὸς ὁ αὐτοκράνωρ ἀντέγραψε, δέον αὐτὸν ἢ συναινεῖν θύοντα, ἢ πέραν τῆς θαλάσσης καὶ τοῦ Πόντου ἐν ἐρήμῳ παρακειμένῃ τῇ Χερσῶνι [66] πόλει ἐξορισθῆναι [67].

XIX. Cumque ex Trajani jussu res confirmata fuit, cogitabat apud se Mamertinus, quonam modo Clemens voluntarium non peteret exsilium, sed potius diis libamina exhiberet. Verum beatus Clemens contendebat ut ipsius quoque judicis animum ad fidem Christi adduceret, ipseque ostenderet, se eligere exsilium magis, quam timere. Tantam itaque gratiam Dominus Clementi præbuit, ut Mamertinus præfectus lugeret, ac diceret: Deum quem tu sincere colis, ipse tibi opem feret in hoc exsilii judicio: et constituit navem, cunctisque necessariis impositis, dimisit. Onerata autem est navis. Quinetiam e populo homines religiosi et quidem multi secuti sunt eum.

XIX. Καὶ ὁπότε τῷ τοῦ Τραϊανοῦ κελεύσματι ἐπεκυρώθη, συνεσκέπτετο ὁ Μαμερτῖνος [68], ὅπως ὁ Κλήμης ἑκούσιον ὑπερορίαν μὴ αἰτήσηται, ἀλλὰ μᾶλλον τοῖς θεοῖς σπονδὰς ἐμπαρέξῃ [69]. Ἀλλ' ὁ μακάριος Κλήμης ἠγωνίζετο καὶ αὐτοῦ τοῦ δικαστοῦ C τὸν λογισμὸν εἰς τὴν πίστιν τοῦ Χριστοῦ μεταγαγεῖν, καὶ ἑαυτὸν ἀποδεῖξαι προαιρεῖσθαι μᾶλλον τὴν ὑπερορίαν, ἢ δεδίττεσθαι. Τοσαύτην τοίνυν ὁ Κύριος χάριν τῷ Κλήμεντι παρέσχετο, ὥστε κατοδύρεσθαι Μαμερτῖνον τὸν ἔπαρχον [70], καὶ λέγειν· Ὁ Θεὸς ᾧ σὺ εἰλικρινῶς λατρεύεις, αὐτός σοι βοηθήσει ἐν ταύτῃ γραφῇ τῆς ὑπερορίας· καὶ ἠφώρισεν ναῦν, καὶ πάντα τὰ ἀναγκαῖα [71] ἐπιβαλὼν, ἀπέλυσεν [72]. Ἐφορτώθη δὲ ἡ ναῦς. Οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ λαοῦ εὐλαβεῖς ἄνδρες [73], καὶ πολλοὶ ἠκολούθησαν αὐτῷ.

XX. Ubi autem pervenerunt ad exsilii locum, in opere cædendi marmoris, ultra duo millia Christianorum illic invenit, jam diu judicii sententia condemnatorum. Qui sanctum et celebrem episcopum Clementem intuiti, omnes concorditer cum gemitu ac fletu accedentes, dixerunt: Ora pro nobis, sancte pontifex, ut digni efficiamur promis-

XX. Ἡνίκα δὲ κατέλαβον [74] τὸν τόπον τῆς ὑπερορίας, ἐν τῇ ἐργασίᾳ τῆς τῶν μαρμάρων λατομίας, περαιτέρω δύο χιλιάδων Χριστιανοὺς αὐτόθι [75] κατέλαβε, μακροχρονίῳ γραφῇ καταδικασθέντας [76]. Οἵτινες, ἑωρακότες τὸν ἅγιον καὶ ἀοίδιμον Κλήμεντα D [77] ἐπίσκοπον, ἅπαντες ὁμοθυμαδὸν εἰς στεναγμὸν καὶ ὀδυρμὸν [78] προσελθόντες ἔλεγον· Εὖξαι ὑπὲρ ἡμῶν,

VARIÆ LECTIONES.

[62] al. ἐξ ἔθους ἡμῖν. [63] deest in al. [64] Ἀσφαλές. ms. 2421 ἀφελές. Cot. [65] al. Μαμερτῖνος ὁ ἔπαρχος. [66] deest in al. [67] ibidem, συνελθεῖν, θύοντα, etc., ἐρήμῳ πόλει παρακειμένῃ τῇ Χερσῶνι. Itaque in Actis Latinis præferenda est lectio, *ultra mare et Pontum*, communiori, *ultra mare Pontum*, pro quo Freculfus, *trans mare Ponticum*, quamvis aliter videatur Baronio. Vocem autem πόλει (quæ abest ab altero ms. 2437) jungunt cum voce ἐρήμῳ etiam Metaphrastes, Nicephorus, et Menæa: cum voce Χερσῶνι Acta Latina, quique ea sequuntur Beda, Ado, Freculfus. Ibid. [68] al. τὸ τοῦ βασιλέως Τραϊανοῦ κέλευσμα ἐπεκυρώθη, ἐσκέπτετο Μαμερτῖνος. [69] al. προσάξῃ. [70] al. ὕπαρχον. [71] al πρὸς τὴν χρείαν ἀναγκαῖα. [72] desunt in al. [73] deest in al. [74] al. κατέλαβε. [75] al. εὗρεν αὐτόθι. [76] Μακροχρονίῳ γραφῇ καταδικασθέντας, 2421 μακρόνιοι σχῶντας (sic) ὑπερορίαν, et paulo post, παραγενέσθαι ἠξίωσεν pro ἀπεκατέστησεν. Ibid. [77] deest in al. [78] μετὰ στεναγμῶν καὶ ὀδυρμῶν.

ὅσιε ἱεράρχα, ἵνα ἄξιοι ἀποδειχθῶμεν τῆς παρὰ τοῦ Χριστοῦ ἐπαγγελίας. Οὓς ἐγνωκὼς [79] ὁ ἅγιος Κλήμης διὰ τοῦ Θεοῦ [80] ὑπερορισθέντας, ἔφη· Οὐκ ἀπροσφόρως ὁ Κύριός με ἐνταῦθα ἀπεκατέστησεν, ἵνα [81] συμμέτοχος γενόμενος τῶν παθημάτων ὑμῶν, ἔτι παρηγορίας ὑποτύπωσιν καὶ ὑπομονῆς ἐμπαρέξω.

A sione Christi. Quos cum cognovisset S. Clemens propter Deum fuisse deportatos[1] ait: Non abs re Dominus me huc perduxit; ut particeps factus perpessionum vestrarum, etiam consolationis et patientiæ exemplum præberem.

XXI. Ἔμαθε δὲ παρ' αὐτῶν, ὅτι ἀπὸ ἓξ μιλίων τὸ ὕδωρ ἐπὶ τῶν ἰδίων ὤμων ἐκόμιζον. Αὐτίκα οὖν ὁ ἅγιος Κλήμης προετρέψατο αὐτούς, λέγων· Εὐξώμεθα τὸν [82] Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἵνα τοῖς ὁμολογηταῖς τῆς αὐτοῦ πίστεως νομὴν ὕδατος διανοίξῃ· καὶ ὁ πατάξας τὴν πέτραν ἐν τῇ [83] ἐρήμῳ τοῦ Σινᾶ, καὶ ἐῤῥύησαν ὕδατα εἰς πλησμονὴν, αὐτὸς ἡμῖν τὸ ἄφθονον νᾶμα παράσχοι, ὅπως τῇ αὐτοῦ χορηγίᾳ εὐφρανθῶμεν. Καὶ δὴ τῆς ἱκεσίας πληρωθείσης, ἔνθεν κἀκεῖθεν περιεβλέψατο· καὶ εἶδεν [84] ἀμνὸν ἱστάμενον [85], ὃς τὸν δεξιὸν πόδα ἐκούφισεν, οἷα τὸν τόπον τῷ ἁγίῳ Κλήμεντι ὑποδεικνύς. Τότε ὁ ἅγιος Κλήμης, συννοήσας [86] τὸν Κύριον εἶναι, ὃν μόνος αὐτὸς τεθέατο [87] καὶ ἕτερος παντελῶς οὐδεὶς, ἐπορεύθη πρὸς τὸν τόπον, καὶ εἶπεν· Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος κρούσατε ἐν τῷ τόπῳ τούτῳ. Καὶ ἐπειδὴ πάντες ἐν κύκλῳ τοῖς σκαπανίοις ἔσκαψαν, καὶ οὐκ αὐτὸν τὸν τόπον ἐν ᾧ ὁ ἀμνὸς ἔστη, λαβὼν μικρὸν σκαλίδιον ὁ ἅγιος, ἐλαφρῷ κρούσματι [88] τὸν τόπον τὸν ὑπὸ τὸν πόδα τοῦ ἀμνοῦ, ἔτυψεν [89]. ὅθεν παραχρῆμα πηγὴ ὑπερβλυούσαις [90] ταῖς φλεψὶν εὐπρεπεστάτη ἀνεφάνη· ἥτις, σὺν ὁρμῇ ἐκχυθεῖσα, ποταμὸν ἀπετέλεσε. Τηνικαῦτα ὁ ἅγιος πάντων ἀγαλλιωμένων, [91] ὑπακουστικὸν εἶπε· Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

XXI. Didicit autem ab eis, quod de sexto milliario aquam suis humeris deportarent. Confestim ergo sanctus Clemens cohortatus est illos dicens: Oremus Dominum nostrum Jesum Christum, ut fidei suæ confessoribus venam aquæ aperiat; et qui percussit petram in deserto Sinæ, et fluxerunt aquæ in abundantiam (*a*), ipse nobis cupiosum laticem præbeat, quo ipsius suppeditatione lætemnr. Et B vero completa supplicatione, hinc illucque circumspexit; et vidit agnum stantem, qui dexterum pedem levavit, tanquam sancto Clementi locum ostendens. Tunc S. Clemens reputans Dominum esse, quem solus ipse conspexit, et nullus omnino alius; ad locum profectus est, ac dixit: In nomine Patris et Filii et Spiritus sancti, pulsate in hoc loco. Cumque omnes ligonibus in orbem fodissent, non autem locum ipsum in quo agnus steterat; sanctus accepto parvo sarculo, locum qui erat sub pede agni percussit levi ictu: unde repente fons venis redundantibus pulcherrimus emersit: qui cum impetu effusus effecit fluvium. Tunc sanctus cun- C ctis exsultantibus, responsorium dixit: *Fluminis impetus lætificant civivitatem Dei* (*b*).

XXII. Διὰ ταύτην οὖν τὴν φήμην, προσέδραμε πᾶσα ἡ ἐπαρχία· καὶ οἱ ἐληλυθότες ἅπαντες πρὸς τὴν διδαχὴν τοῦ ἁγίου Κλήμεντος ἐπιστρέφοντες [92-93] πρὸς τὸν Κύριον· ὥστε καθ' ἡμέραν πεντακόσιοι καὶ περαιτέρω βαπτιζόμενοι ἀνεχώρουν. Ἐντὸς δὲ ἑνὸς ἔτους, γεγόνασιν ἐκεῖσε παρὰ τῶν πιστῶν ἑβδομηκονταπέντε ἐκκλησίαι, καὶ πάντα τὰ εἴδωλα κατεθρύβησαν, πάντες οἱ ναοὶ τῆς περιχώρου καθῃρέθησαν, πάντα τὰ ἄλση ἐπὶ τριακόσια μίλια διόλου ἐν κύκλῳ κατεκόπησαν καὶ κατεστρώθησαν.

XXII. Ob hanc igitur famam, concurrit tota provincia; quique veniebant ad S. Clementis doctrinam omnes convertebantur ad Dominum; adeo ut quotidie quingenti et amplius recederent baptizati. Intra unum autem annum, factæ sunt illic a fidelibus septuaginta quinque ecclesiæ, et omnia idola confracta sunt, omnia templa circumjacentis regionis diruta sunt, omnes luci usque ad trecenta milliaria in circuitu concisi sunt et solo æquati,

XXIII. Τηνικαῦτα [94] ἐπίφθονον διήγημα διέδραμε πρὸς τὸν βασιλέα Τραϊανὸν, ὡς αὐτόθι πρὸς ἀναρίθμητον πλῆθος ὁ τῶν Χριστιανῶν ἐπηυξήθη λαός· καὶ ἀπεστάλη [95] Αὐφιδιανὸς ὁ ἡγεμών· ὅστις, πλείστους τῶν Χριστιανῶν διαφόροις βασάνοις ἀνελὼν [96], ὁρῶν τε [97] τοὺς πάντας τῷ μαρτυρίῳ μετὰ χαρᾶς προσερχομένους, παρεχώρησεν τῷ πλήθει, μόνον τὸν ἅγιον Κλήμεντα ἐπὶ τὸ θύειν [98] βιαζόμενος. Καὶ βλέπων οὕτως ἱδρυμένον ἐν Κυρίῳ, καὶ [99] τὸ καθόλου μετατεθῆναι οὐχ οἷόν τε [100], λέγει [1] τοῖς ἰδίοις· Ἀπαχθήτω

XXIII. Tunc invidiosa narratio pervenit ad imperatorem Trajanum, quod illic ad innumerabilem D multitudinem adauctus esset populus Christianorum. Et missus est Aufidianus præses: qui multos Christianos diversis suppliciis cum occidisset, videretque omnes ad martyrium cum gaudio accedere, cessit multitudini, solum sanctum Clementem cogens ad sacrificandum. Et videns adeo stabilem in Domino, nec omnino posse a sententia dimoveri, dixit ad suos; Abducatur in medium

(*a*) Exod. XVII. (*b*) Psal XLV, 5.

VARIÆ LECTIONES.

[79] al. ἑωρακώς· [80] al. τὸν Θεόν. [81] al. ἀλλ' ἵνα. [82] al. πρὸς τόν. [83] al. γῇ. [84] al. ἴδεν. [85] al. ἑστῶτα [86] al. ἐννοήσας. [87] al. ἐθεάσατο. [88] idem, κρούματι. COT. [89] al. ἔκρουσεν. [90] al. ὑπερβλυζούσαις. [91] deest in al. [92] [93] al. ἐπέστρεφον. [94] al. inser. οὖν. [95] al. inser. παρ' αὐτοῦ. [96] al. ἀνεῖλεν. [97] al. δέ. [98] al. ἐπιθύειν. [99] deest in al. [100] al. μὴ βουλόμενον. [1] Vide n. 3, proxime seq.

δὲ εἰς μέσον τὴν θάλασσαν [2], καὶ δεσμήσατε πρὸς τὸν αὐχένα αὐτοῦ ἄγκυραν, καὶ κάτω κείσθω [3], ὅπως μὴ δυνηθεῖεν οἱ Χριστιανοὶ ἀντὶ [4] θεοῦ αὐτὸν σέβεσθαι.

XXIV. Τούτου οὖν γενομένου, ἅπαν τὸ πλῆθος τῶν Χριστιανῶν ἐν τῷ αἰγιαλῷ παρέστη καὶ ὠδύρετο. Καὶ ἐπὶ τούτοις εἶπον Κορνήλιος καὶ Φοῖβος οἱ μαθηταὶ αὐτοῦ. Πάντες ὁμοθυμαδὸν εὐξώμεθα, ἵνα δείξῃ ἡμῖν ὁ Κύριος τοῦ μάρτυρος αὐτοῦ τὰ λείψανα. Εὐχομένου τοίνυν τοῦ λαοῦ, ὑπεχώρησεν ἡ θάλασσα εἰς τὸν ἴδιον κόλπον ἐπὶ τρία σχεδὸν μίλια· καὶ εἰσελθόντες διὰ ξηρᾶς οἱ λαοὶ, εὗρον ἐν σχήματι ναοῦ μαρμαρίνου οἴκημα παρὰ τοῦ Θεοῦ εὐτρεπισμένον καὶ αὐτόθι ἐν σορῷ λιθίνῃ ἐτέθη τὸ σῶμα τοῦ ἁγίου Κλήμεντος μαθητοῦ Πέτρου τοῦ ἀποστόλου, ὥστε τὴν ἄγκυραν μεθ' ἧς κατεβλήθη πλησίον αὐτοῦ κεῖσθαι [5].

XXV. Ἀπεκαλύφθη τοιγαροῦν τοῖς μαθηταῖς αὐτοῦ, τοῦ μὴ λαβεῖν αὐτόν [6]· οἷς καὶ τοῦτο ἐχρηματίσθη, ὅτι [7] ἑκάστῳ χρόνῳ ἐν τῇ ἡμέρᾳ τῆς ἀθλήσεως αὐτοῦ ὑποχωρήσει ἡ θάλασσα ἐπὶ ἑπτὰ ἡμέρας, τοῖς ἐρχομένοις ξηρὰν πορείαν ποιουμένη· ὅπερ εἰς αἶνον τοῦ ὀνόματος αὐτοῦ εὐδόκησεν ὁ Κύριος γενέσθαι μέχρι τῆς σήμερον ἡμέρας. Τούτου δὲ γεγονότος, πάντα τὰ κύκλωθεν ἔθνη ἐπίστευσαν τῷ Χριστῷ. Ἔνθα οὐδεὶς Ἕλλην, οὐδεὶς Ἑβραῖος, οὐδεὶς τὸ παράπαν εὑρίσκεται αἱρετικός. Καὶ γίνονται [8] ἐκεῖσε πλεῖσται εὐεργεσίαι, τυφλοὶ φωτίζονται ἐν τῇ ἑορτῇ αὐτοῦ, δαίμονες ἀπελαύνονται, πάντες οἱ νοσοῦντες θεραπεύονται· καὶ διαμένει αὐτοῦ ὁ ἔπαινος εἰς ἀεὶ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ [10] Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ, ἀχράντῳ [11] καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A maris, et ligate ad collum ejus anchoram, et in profundum dejiciatur, ne possint Christiani eum pro deo colere.

XXIV. Hoc igitur peracto, universa Christianorum multitudo ad littus adfuit, et lamentabatur. Atque ad hæc dixerunt Cornelius et Phœbus ejus discipuli: Omnes unanimi consensu precemur, ut nobis Dominus ostendat martyris sui reliquias. Orante igitur populo, recessit mare in sinum suum ad tria fere millia: et ingressi per aridam populi, repererunt in figura templi marmorei paratum a Deo habitaculum: atque ibi in tumulo saxeo positum erat corpus sancti Clementis discipuli Petri apostoli; adeo ut anchora cum qua dejectus fuerat, juxta ipsum jaceret.

B XXV. Revelatum ergo fuit discipulis ejus, ne illum tollerent: quibus et hoc oraculum redditum est, fore ut singulis annis die certaminis ejus recessurum sit mare per septem dies, et venientibus siccam profectionem facturum. Quod quidem ad laudem nominis sui Deo placuit fieri usque in hodiernum diem. Hoc autem facto, omnes, quæ in ambitu sunt, gentes crediderunt Christo. Ubi nullus gentilis, nullus Judæus, nullus omnino invenitur hæreticus. Ac illic multa conceduntur beneficia: cæci illuminantur in illius festo, dæmones expelluntur, curantur omnes ægroti: et permanet laus ejus in æternum, per Dominum nostrum Jesum Christum: per quem et cum quo, Deo ac Patri gloria, cum sanctissimo, immaculato et vivifico ipsius Spritu, nunc et semper, et in sæcula sæcu-

C lorum. Amen.

VARIÆ LECTIONES.

[2] f. τῆς θαλάσσης. [3] Alii duo codices: λέγει τοῖς δημίοις· λαβόντες ἀπαγάγετε αὐτὸν μέσον τῆς θαλάσσης, καὶ δήσατε πρὸς τὸν αὐχένα αὐτοῦ ἄγκυραν σιδηρᾶν, καὶ ῥίψατε αὐτὸν ἐν τῷ βυθῷ κάτω. *Ait lictorihus: Accipientes abducite eum in medium maris, et ligate ad collum ejus anchoram ferream, atque dejicite illum in imum pelagi.* Cot. [4] al. ἀνελέσθαι τὸ σῶμα αὐτοῦ, καὶ ἀντί. [5] al. αὐτόθι κείμενον σῶμα τοῦ ἁγίου μάρτυρος Κλ. καὶ τὴν ἄγκυραν μεθ' ἧς ἐρρίφη πλησίον αὐτοῦ κειμένην. [6] al. ἐκβάλαι τὸ λείψανον ἐκ τοῦ τόπου. [7] al. ὡς ὅτι. [8] al. γίνονται γάρ. [9] Longe plura ex aliis mss. ῥιγῶντες ὑγιαίνουσιν, οἱ τοῖς νεφροῖς ἐταζόμενοι καὶ λιθιῶντες, μόνῃ τῇ τοῦ λειψάνου αὐτοῦ προσψαύσει, καὶ ὕδατος ἁγιασθέντος ῥαντισμῷ καὶ πόσει, τοῦ νοσήματος ἀπολύονται, ἀλγυνόμενοί τε νόσῳ οἱᾳδήποτε, πρὸς τὴν τοῦ ἱερομάρτυρος καταφεύγοντες βοήθειαν, ἰάσεως ἀπολαύουσι· καὶ διαμένει ἡ δόξα αὐτοῦ καὶ ὁ ἔπαινος εἰς ἀεί. *Febrientes sanantur; renibus et calculo laborantes, per solum corporis ipsius contactum, et sanctificatæ aquæ aspersionem ac potum, a morbo liberantur; tum qui qualicumque affliguntur languore, ad sacri martyris confugientes auxilium, consequuntur medelam: atque permanet gloria ejus et laus in perpetuum.* Cot. [10] deest in al. [11] deest in al.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΦΡΑΙΜ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΧΕΡΣΩΝΟΣ

ΠΕΡΙ ΤΟΥ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΕΙΣ ΠΑΙΔΑ ΥΠΟ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΛΗΜΕΝΤΟΣ.

SANCTI PATRIS NOSTRI

EPHRAIM

ARCHIEPISCOPI CHERSONIS

DE MIRACULO QUOD IN PUERO FACTUM EST A S. CLEMENTE SACRO MARTYRE.

(Cotel., *Patres apostolici*, I, 815.)

MONITUM.

Quam ex ms. Regio 804, damus Homiliam Ephraimi, vel Ephræmi, Ephræmii, Ephræm, et Ephremi, Chersonis archiepiscopi, aiunt, aut episcopi, atque martyris, additur ab aliis, exstat quoque in bibliotheca Augustana, et in Scorialensi, necnon alibi procul dubio : atque Latine edita fuit ex Metaphraste per Surium, ad Novembris diem 23, neque omittitur a Leone Allatio, in Diatriba de Simeonum scriptis Monet præterea diligentissimus vir de ejusdem Ephræmii Chersonis tractatu Περὶ τῶν θαυμάτων τοῦ ἁγίου Κλήμεντος, incipiente sic : Ἐξελθόντος Φιλίππου τοῦ ἀποστόλου τῆς Γαλιλαίας. Illum ego si potuissem reperire, præsentem, frater fratrem non deseruisset. Cot.

I. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, εὔκαιρον μετὰ τοῦ Προφήτου [12] εἰπεῖν σήμερον· καὶ Ὡς θαυμαστὰ τὰ ἔργα σου, Κύριε! καὶ Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; καὶ, Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος. Και τί γὰρ ἂν ἄλλο τι προοίμιον τῷ παρόντι λόγῳ προθήσομαι; Ἀπὸ γὰρ τεχνικῶν μεθόδων τὸ παρὸν ὑπέρκειται θαῦμα, θαύματος πολλῶν ὑπερανεστηκότος θαυμάτων, καὶ προφητικῶν αὐτῶν θαυμάτων ὑπερεξέχοντος, ὡς ὁ λόγος δηλώσειεν. A

II. Καὶ οἶδα ὅτι ποθεῖτε οἷον καὶ τίνος τὸ θαῦμα μαθεῖν, καὶ εἰπεῖν ἡμᾶς κατεπείγεσθε· τὸ δέ ἐστι πρῶτα μὲν Θεοῦ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον· ἔπειτα δὲ Κλήμεντος τοῦ Ῥωμαίου, τοῦ μετὰ Πέτρον τῆς ἀληθείας κήρυκος, καὶ τοῦ τῆς Ῥώμης θρόνου τούτου διαδόχου πιστοῦ· Κλήμεντος ἐκείνου, οὗ μέχρι καὶ νῦν ἡ σύμπασα τὰς

I. *Mirabilis Deus in sanctis suis* (*a*) opportunum est hodie dicere cum Propheta; et, *Quam admirabilia opera tua, Domine* (*b*)! et, *Quis Deus magnus, sicut Deus noster?* et, *Tu es Deus qui facis mirabilia solus* (*c*). Quodnam etenim aliud procemium præsenti orationi præponam? Artificiosas quippe methodos præsens miraculum exsuperat; miraculum multa excellens miracula, et prophetica ipsa miracula supereminens; quemadmodum decluratura est oratio.

II. Ac scio cupere vos quodnam et cujus sit miraculum cognoscere; atque nos ut dicamus urgetis. Illud autem primo quidem est Dei, a quo *omne datum bonum et omne donum perfectum* (*d*) proficiscitur: postea vero Clementis Romani, qui post Petrum præco fuit veritatis, ejusque in Romana

(*a*) Psal. LXVII, 36. (*b*) Psal. XCI, 6. (*c*) Psal. LXXVI, 14, 15. (*d*) Jac. I, 17

VARIÆ LECTIONES.

[12] Ita unus codex Allatianus : alter vero ad hunc modum : Εὐλογητὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, εὔκαιρον μετὰ τοῦ προφήτου Δαυὶδ εἰπεῖν σήμερον. Principium homiliæ Nectarii, de festo S. Theodori : Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, δίκαιον ἡμῖν σήμερον μετὰ τοῦ Δαβὶδ με ᾠδικῶς ἀναφθέγξασθαι. Eam homiliam qui contulerit cum nostra, non pauca similia inveniet. Ὃ καὶ παρακατιὼν ὁ λόγος δηλώσειεν. Vide hic n. 1. Τί τούτου παραδοξότερον εἴργασταί ποτε τῷ προφήτῃ, etc. Πολὺ μὲν τοῦτο ἐκείνου παραδοξότερον. Hic. n. 6. Πρὸ δὲ τούτων, καὶ σὺν τούτοις καὶ μετὰ τούτων, τὴν ἐλεημοσύνην κατεργαζώμεθα. N. 18. Οἶδα γὰρ ὑμῶν τὰς ψυχρὰς ἀναβολὰς καὶ ματαίας προφάσεις· παίδων μοι πλῆθος περίεστι. Ibidem. Ad finem homiliæ Nectarius : Ὦ μαρτύρων ἀγλάϊσμα, καὶ ἁγίων ὡραϊσμός. Noster cap. 17. Ὦ μαρτύρων ἀγλάϊσμα, ὁσίων τε ἐγκαλλώπισμα. Cot.

sede successor fidelis: Clementis illius cujus huc usque universus orbis salutares fuisse doctrinas vel tacens clamat: Clementis, qui vitis Christi verus exstitit palmes, per quem nobis doctrinæ uva maturescens, pietatis et salutis mustum stillavit: Clementis, veræ scalæ, quæ non ad collis alicujus altitudinem nos evehit, sed virtutum ascensionibus, tanquam gradibus quibusdam, ad cœlum et cœlestia nos traducit: scalæ, quæ illa a Jacobo visa nequaquam inferior est (*a*); nec ostendit nobis angelos per eam ascendentes ac descendentes, sed hominum animas divinis maxime admonitionibus velut e gradibus in gradus per virtutes ad Deum inducit.

III. Cujus quidem miraculum cum non didiceritis, o pulcherrime et fidelissime cœtus, quale sit et quantum audire, tanquam pietatis amantes, contendite, et ad sermonem exsultate, ac aures inclinate, atque nostram accusate tarditatem: etenim de hoc gaudeo: tantum, usque ad finem mihi, quæso, sic attentum servate animum, nec sinatis aliquam hujus vitæ rerum cogitationem subire mentem vestram, et alacritatem emolllire: verum vigilanti intellectu ac sensu rem fideliter suscipite. Ita autem habet.

IV. Postquam præclarus et beatissimus Clemens doctrinæ atque apostolatus cursum perfecisset, ac e rebus humanis per martyrii consummationem excessisset; sicut et liber gloriosi ejus martyrii declarat, quem a vobis non ignorari persuasum habeo; nequaquam justum esse judicavit Dominus, qui glorificantes ipsum glorificat (*b*), non vicissim glorificare illum, qui pro amore erga eum sic decertaverat; imo admodum glorificare et magnum facere, eumque ut in cœlo angelis, ita hic quoque hominibus clarissimum reddere, per miraculorum demonstrationem, et maxime venerandum: miraculorum, quorum quidem mens magnitudinem comprehendere non valet, nec oratio multitudinem dicere, nec manus exarare infinitatem. Ut ergo ex fimbria pannum, juxta proverbium, intra vos reputetis, id quod promisi narrabo.

V. Cum veneratione dignissimum corpus sanctissimi martyris Clementis in profundum maris ab impiis illis idololatris projectum fuisset, illudque excepisset templum in profundo a Deo ædificatum, hic quoque maximum edit miraculum Deus admirabilium. Hoc enim facto, cum discipuli ejus una cum fidelibus qui illic erant lamentarentur, et ut sanctissimas gloriosissimi Clementis reliquias ei ostenderet, quod et factum est, Deum supplices rogarent: protinus immensum illud pelagus desistens ac retrocedens, effecit ut ipsum etiam profundum a piis adiri posset usque ad tria milliaria. Itaque ingressi, invenerunt domum in figura tem-

A σωτηριώδεις διδαχὰς καὶ σιγῶσα βοᾷ γεγονότα [18-19]. Κλήμεντος τοῦ ἀληθοῦς κλήματος τῆς ἀμπέλου Χριστοῦ, δι' οὗ ἡμῖν ὁ τῆς διδασκαλίας βότρυς περκάσας, γλεῦκος εὐσεβείας καὶ σωτηρίας ἐστάλαξεν· Κλήμεντος, τῆς ἀληθοῦς κλίμακος, τῆς οὐ πρὸς γεώλοφόν τι ὕψος ἐπαναγαγούσης ἡμᾶς, ἀλλὰ ταῖς τῶν ἀρετῶν ἀναβάσεσιν, ὥσπερ τισὶ βαθμίσι, πρὸς οὐρανόν τε καὶ τὰ οὐράνια ἡμᾶς διαβιβαζούσης· κλίμακος, καὶ τῆς Ἰακὼβ ὁραθείσης οὐδὲν ἀποδεούσης, οὐκ ἀγγέλους δι' αὐτῆς ἀνιόντας καὶ κατιόντας ἡμῖν δεικνυούσης, ἀλλὰ ἀνθρώπων ψυχὰς ταῖς θειοτάταις παραινέσεσιν, ὡς ἐκ βαθμῶν εἰς βαθμοὺς δι' ἀρετῶν τῷ Θεῷ συνεισφερούσης.

III. Οὕτινος δὴ τὸ θαῦμα μὴ μαθόντες, ὦ κάλλιστον καὶ πιστότατον ἄθροισμα, καὶ οἷόν ἐστι καὶ ὅσον ἀκηκοέναι, ὡς φιλευσεβεῖς, ἀγωνίζεσθε, καὶ προσκιρ- B τᾶτε τοῦ λόγου, καὶ τὴν ἀκοὴν ὑποκλίνετε, καὶ τῆς βραδυτῆτος ἡμῶν καταμέμφεσθε· χαίρω δ' οὖν τούτου ἕνεκα· μόνον, μέχρι τέλους μοι, παρακαλῶ, οὕτως συντεταμένην τηρήσατε τὴν διάνοιαν, καὶ μή τινα βιωτικὸν λογισμὸν τῷ νῷ ὑμῶν ὑπεισελθεῖν, καὶ τὸ πρόθυμον χαυνῶσαι ἐάσητε· ἀλλ' ἐγρηγορότι λογισμῷ καὶ φρονήματι τοῦτο πιστῶς ὑποδέξασθε. Ἔστιν δὲ οὕτως.

IV. Τοῦ ἀοιδίμου καὶ μακαριωτάτου Κλήμεντος τὸν τῆς διδασκαλίας καὶ ἀποστολῆς δρόμον ἐκτελέσαντος, καὶ τῶν τῇδε διὰ τῆς τοῦ μαρτυρίου τελειώσεως μετακεχωρηκότος· ὡς καὶ ἡ τοῦ ἐνδόξου αὐτοῦ μαρτυρίου βίβλος δεδήλωκεν, ἣν μὴ ἀγνοεῖν ὑμᾶς πέπεισμαι· οὐ δίκαιον κέκρικεν ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν Κύριος, μὴ ἀντιδοξάσαι τὸν οὕτως ὑπὲρ C τῆς εἰς αὐτὸν ἀγάπης ἀγωνισάμενον· ἀλλὰ καὶ ὑπερδοξάσαι καὶ μεγαλῦναι, καὶ ὡς ἐν οὐρανῷ τοῖς ἀγγέλοις, οὕτω κἀνταῦθα τοῖς ἀνθρώποις λαμπρότατον αὐτὸν καταστῆσαι, διὰ τῆς τῶν θαυματουργιῶν ἐπιδείξεως, καὶ αἰδεσιμώτατον· θαυματουργιῶν, ὧν νοῦς μὲν τὸ μέγεθος ἐννοῆσαι ἀτονεῖ, λόγος δὲ τὸ πλῆθος εἰπεῖν, καὶ χεὶρ διαχαράξαι τὸ ἄπειρον· ἵνα οὖν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα [20] μετὰ τὴν παροιμίαν γνοίητε ἐν ὑμῖν, ὃ καὶ ὑπεσχόμην διηγήσομαι.

V. Τοῦ πανσέπτου λειψάνου τοῦ πανοσίου ἱερομάρτυρος Κλήμεντος ἐν τῷ τῆς θαλάσσης ἀποῤῥιφέντος βυθῷ παρὰ τῶν ἀθέων ἐκείνων εἰδωλολατρῶν, καὶ τοῦ ἐν βυθῷ θεοδμήτου ναοῦ τοῦτο ὑποδεξαμένου, θαυματουργεῖ τι μέγιστον κἀνταῦθα ὁ τῶν θαυμασίων D Θεός. Τούτου γὰρ γεγονότος, καὶ τῶν μαθητῶν αὐτοῦ σὺν τῶν ἐκεῖσε πιστῶν [21] ὀδυρομένων, δεῖξαί τε τούτοις τὸ πανίερον λείψανον τοῦ πανενδόξου Κλήμεντος, ὅ τι καὶ γέγονε, πρὸς Θεὸν ἱκετευόντων, παρευθὺ τὸ ἄπειρον ἐκεῖνο πέλαγος ὑπολοφῆσαν καὶ εἰς τοὐπίσω ἀναποδίσαν, εἰσιτητὸν καὶ αὐτὸν τὸν βυθὸν τοῖς εὐσεβέσι πεποίηκεν, ἄχρι μιλίων τριῶν. Καὶ δὴ εἰσελθόντες εὗρον ἐν σχήματι ναοῦ μαρμαρίνου οἴκημα,

(*a*) Gen. XXVIII, 12. (*b*) I Reg. II, 30.

VARIÆ LECTIONES.

[18 19] f. γεγονέναι vel γεγονυίας. [20] Oratione de Gregorio Thaumaturgo Gregorius Nyssenus circa medium: Ὡς ἂν, κατὰ τὴν παροιμίαν, ὅλον ἡμῖν γένηται καταφανὲς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα. Cot. [21] τοῖς ἐκεῖσε πιστοῖς.

καὶ αὐτόθι ἐν σορῷ λιθίνῃ τὸ πανάγιον καὶ ἔνδοξον A ἀποτεθειμένον τοῦ μάρτυρος λείψανον. Οἷς ἆραι βουλομένοις τὸ πανάγιον ἐκ τοῦ βυθοῦ λείψανον, νυκτωρ ἐπιστὰς τούτοις ὁ ἅγιος, οὑτωσὶ διηγόρευσε· Τὸ μὲν λείψανον ἆραι μὴ δόξητε· χαρίζομαι δὲ ὑμῖν ταύτην τὴν χάριν, ἵν' ἑκάστῳ χρόνῳ ἐν τῇ τῆς ἐμῆς ἀθλήσεως ἡμέρᾳ ἐπὶ ἑπτὰ ἡμέρας ὑποχωρῶν ὁ βυθὸς, διὰ ξηρᾶς πεζεύειν, μέχρις ὧδε παρασκευασθήσεται. Καὶ ὁ λόγος ἔργον ἐγένετο. Ἔκτοτε γὰρ μέχρι τῆς σήμερον ἑκάστῳ χρόνῳ τὸ θαυμαστὸν τοῦτο τελεῖται θεουργικῶς μεγαλούργημα.

VI. Τί τοῦτο τοῦ Μωσέως θαύματος ἀτιμότερον; Τί δὲ τοῦ Ἐλισσαίου ἀδοξότερόν τε καὶ ταπεινότερον; πολὺ μὲν οὖν γε ἐνδοξότερόν τε καὶ ὑψηλότερον. Ὁ μὲν γὰρ ῥάβδῳ καὶ ζῶν καὶ ἅπαξ τὴν θάλασσαν διασχίσας, τρίβον τὸν βυθὸν ἀπειργάσατο· ὁ δὲ ὡσαύτως B τῇ μηλωτῇ τὸν Ἰορδάνην τεμὼν, ἅπαξ καὶ οὗτος τοῦτο τεθαυματούργηκεν· εἰς τὴν προτέραν ἀμφοτέρων τῶν ὑδάτων, μετὰ τὴν διάβασιν, φύσιν καταστάντων, καὶ μηκέτι τοῦτο πεπραχότων· οὗτος δέ τί; μετὰ θάνατον, καὶ οὐχ ἅπαξ, ἀλλ' ἔκτοτε μέχρι σήμερον. Ὢ τοῦ θαύματος καὶ τῆς δόξης τοῦ μάρτυρος! οἵας εἴληχεν ἑκάστῳ χρόνῳ ἐν τῇ τῆς ἐνδόξου αὐτοῦ ἀθλήσεως ἡμέρᾳ! Ἐπὶ ἑπτὰ γὰρ, ὡς προέφημεν, ἡμέραις ὑποχωροῦν τὸ ἄπειρον ἐκεῖνο πέλαγος, πορείαν εὐεπίβατον τοῖς εὐσεβέσι παρέχεται.

VII. Τούτου οὖν οὕτως γινομένου, πάντες τῶν ἐν ἡμῖν φιλευσεβῶν ἐγχωρίων καὶ πολιτῶν τῆς Χερσῶνος, τοῦτο ἀκηκοότες, πρὸς τὴν τοῦ θαύματος θέαν ἠπείγοντο. Μεθ' ὧν καί τις ἀνὴρ εὐσεβὴς σὺν εὐσεβεῖ γυναικὶ καὶ τέκνῳ ἄῤῥενι τὴν ἐπὶ τὸν ἁγίου ἱερομάρτυρος ναὸν διήνυον ὁδὸν προθυμότατα. Καὶ δὴ C τὸν τόπον καταλαβόντες, καὶ τὸ θαῦμα εἰσέτι τελούμενον θεασάμενοι, τῇ χειρὶ τὸν παῖδα λαβόμενοι, εἰς τὸν ἐν τῷ βυθῷ θεόδμητον ἐκεῖνον ναὸν εἰσήεσαν· καὶ τῇ σορῷ παραστάντες, ἱκετικῶς τὸν ἅγιον ἐλιτάνευον, ἁμαρτημάτων συγχώρησιν δι' αὐτοῦ λαβεῖν ἐξαιτούμενοι, καὶ τῷ παιδὶ δοθῆναι δεόμενοι ζωὴν μακρὰν καὶ ἀπήμονα, βίου τε εὐμάρειαν, καὶ οἷα εἰκὸς γονεῖς ἐπὶ τέκνῳ αἰτεῖσθαι μονογενεῖ.

VIII. Ὡς οὖν τὴν εὐχὴν τετελέκασι, καὶ τὸ τοῦ ἁγίου κατησπάσαντο λείψανον, εἰς τούπισω πάλιν ἐξήεσαν. Ὧν ἐξελθόντων, τὸ ὕδωρ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐπέδραμεν. Οἱ δὲ μεταστραφέντες, καὶ πέλαγος τὴν πρὶν θεασάμενοι τρίβον, τῇδε κἀκεῖσε περισκοποῦντες, τὴν τοῦ τέκνου ζήτησιν ἐπεχείριζον· τὸ D δὲ ἦν ἐν τῇ τοῦ ἁγίου λάρνακι καταλειφθέν· καὶ τοῦτο οὐ τῇ τῶν γονέων λήθῃ, ἀλλὰ τῇ τοῦ Θεοῦ εὐδοκίᾳ ἐγεγόνει, ἵνα καὶ ἐνταῦθα μειζόνως θαυμαστώσῃ τὸν μάρτυρα.

IX. Ὡς δ' οὖν οἱ γονεῖς τὸ τέκνον οὐχ ηὕρισκον, καὶ ὅτι ἐν τῷ βυθῷ τούτοις ἐπελήσθη ὁ παῖς ἐνενόησαν, τί δεῖ καὶ λέγειν, τούς τε τοῦ πατρὸς θρήνους, καὶ τὰς τῆς μητρὸς οἰμωγάς; Πᾶσαν γὰρ τὴν λαμπρὰν ἐκείνην ἑορτὴν εἰς θρῆνον μετεποίησαν. Τί γὰρ οὐκ ἔλεγον; τί δὲ οὐκ ἔπραττον; τῶν ὅσα εἰκὸς ἦν

A pli marmorei, et illic in capsa lapidea repositum martyris corpus sanctissimum et gloriosum. Quod cum e profundo vellent tollere, noctu illic se sistens sanctus, ita edixit: Corpus quidem nolite tollere: hanc autem vobis concedo gratiam, ut singulis annis die certaminis mei per septem dies recedens mare, pedestre iter per aridam ad hunc usque locum præparet. Et sermo opere completus fuit. Ab eo siquidem tempore, usque in hodiernum diem, singulis annis magnum hoc miraculum Deo operante perficitur.

VI. Quid istud miraculo Mosis inhonoratius est? Quid vero Elisei ignobilius et humilius? quinimo nobilius et altius. Ille siquidem virga, et vivus, et semel, mari scisso, gurgitem iter effecit (*a*): alter B vero similiter melote Jordanem secans, semel quoque ipse hoc fecit miraculum (*b*): ambabus aquis post transitum redactis ad suam naturam, nec postea idem operatis. Hic autem quid? Post mortem; et non semel, sed ab eo tempore usque in hunc diem. O miraculum et gloriam martyris! Quantam consecutus est singulis annis die gloriosi sui certaminis! Septem enim dies, sicut antea diximus, secedens infinitum illud pelagus, piis præbet iter transitu facile.

VII. Hoc igitur ita facto, cuncti apud nos religiosi incolæ regionis et cives Chersonis, audita re, ad videndum miraculum properarunt. Cum quibus quidam quoque vir pius una cum pia uxore ex prole mascula, viam ad sacrosancti martyris templum C ducentem summa alacritate peregerunt. Et vero locum assecuti, et miraculum quod adhuc fiebat, intuiti, puerum manu prehendentes, ingressi sunt illud in profundo divinitus ædificatum templnm: atque ad loculum accedentes, suppliciter sanctum rogabant, petentes delictorum veniam per ipsum accipere, darique postulantes puero vitam longam et illæsam, cum facili rerum apparatu, et quæ consentaneum est petere parentes pro filio unico.

VIII. Ut ergo preces finierunt, et sancti reliquias exosculati sunt, retrorsum postea redierunt. Quibus egressis, aqua iterum ad suum locum recurrit. Illi autem conversi, et cernentes pelagus esse quod prius iter erat, huc et illuc circumspiciendo, filii D inquisitionem aggrediebantur: at ille in arca sancti relictus fuerat: idque non oblivione parentum, sed Dei voluntate factum est, ut hic quoque martyrem magis redderet admirabilem.

IX. Cum ergo parentes natum non invenirent, et cogitassent a se fuisse puerum in maris profundo oblivione mandatum, quid opus est dicere et patris lamentationes, et matris ululatus? Omne siquidem illud splendidum festum converterunt in lamentationem. Quid enim non dicebant? quid vero non

(*a*) Exod. XIV. (*b*) IV Reg. II..

ΙΖ'. « Καὶ ὅτι ἠκούσατε περὶ τῶν ο' ἑβδομάδων, ἀκούσατε καὶ περὶ τῆς ἱερωσύνης. Καθ' ἕκαστον γὰρ Ἰωβηλαῖον ἔσται ἱερωσύνη. Καὶ ἐν τῷ πρώτῳ Ἰωβη- C λαίῳ ὁ πρῶτος χριόμενος εἰς ἱερωσύνην μέγας ἔσται, καὶ λαλήσει Θεῷ ὡς πατρί· καὶ ἡ ἱερωσύνη αὐτοῦ πλήρης μετὰ φόβου Κυρίου· καὶ ἐν ἡμέρᾳ χαρᾶς αὐτοῦ ἐπὶ σωτηρίᾳ κόσμου αὐτὸς ἀναστήσεται. Ἐν τῷ δευτέρῳ Ἰωβηλαίῳ ὁ χριόμενος ἐν πένθει ἀγαπητῶν συλληφθήσεται, καὶ ἔσται ἡ ἱερωσύνη αὐτοῦ τιμία, καὶ παρὰ πᾶσι δοξασθήσεται. Ὁ δὲ τρίτος ἱερεὺς ἐν λύπῃ παραληφθήσεται. Καὶ ὁ τέταρτος ἐν ὀδύναις ἔσται· ὅτι προσθήσει ἐπ' αὐτὸν ἡ ἀδικία εἰς πλῆθος· καὶ πᾶς Ἰσραὴλ μισήσουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ. Ὁ πέμπτος ἐν σκότει παραληφθήσεται· ὡσαύτως καὶ ὁ ἕκτος, καὶ ὁ ἕβδομος. Ἐν δὲ τῷ ἑβδόμῳ ἔσται μιασμὸς, ὃν οὐ δύναμαι εἰπεῖν, ἐνώπιον Κυρίου καὶ ἀνθρώπων· ὅτι αὐτοὶ γνώσονται οἱ ποιοῦντες αὐτά. Διὰ τοῦτο ἐν αἰχμαλωσίᾳ, καὶ ἐν προνομῇ D ἔσονται· καὶ ἡ γῆ, καὶ ἡ ὕπαρξις αὐτῶν ἀφανισθήσεται. Καὶ ἐν πέμπτῃ ἑβδομάδι ἐπιστρέψουσιν εἰς γῆν ἐρημώσεως αὐτῶν, καὶ ἀνακαινοποιήσουσιν οἶκον Κυρίου. Ἐν δὲ τῷ ἑβδόμῳ ἑβδοματικῷ ἥξουσιν ἱερεῖς εἰδωλολατροῦντες, μάχιμοι, φιλάργυροι, ὑπερήφανοι, ἄνομοι, ἀσελγεῖς, παιδοφθόροι, κτηνοφθόροι.

ΙΗ'. « Καὶ μετὰ τὸ γενέσθαι τὴν ἐκδίκησιν αὐτῶν

A sed et adversus mandata Dei inflati, illudetis sancta, in contemptu deridentes.

XV. « Propter hæc templum quod utique eliget Dominus, desolabitur in immunditia, et vos captivi eritis in omnes gentes, et abominatio inter eas; et accipietis opprobrium et confusionem sempiternam a justo judicio Dei; et omnes qui viderint vos, fugient a vobis. Et nisi esset propter Abraham, Isaac et Jacob, patres nostros, unus ex semine meo non relinqueretur in terra.

XVI. « Et nunc cognovi in libro Enoch, quod septuaginta hebdomadas errabitis, et sacerdotium inquinabitis, et sacrificia polluetis, et legem extermi- B nabitis, et sermones prophetarum contemnetis, in perversitate persequemini viros justos, et pios odio habebitis, veracium sermones abominabimini, et virum renovantem legem in virtute Altissimi, impostorem appellabitis; et in fine, ut æstimabitis, occidetis eum, nescientes ipsius resurrectionem, innocentem sanguinem in malitia super capita vestra recepturi. Et propter ipsum erunt sancta vestra deserta, usque ad pavimentum profanata; et non erit locus vester mundus, sed in gentibus eritis in maledictionem et in dispersionem, donec ipse rursus visitabit, et miserens recipiet vos in fide et aqua.

XVII. « Et quoniam audistis de septuaginta hebdomadibus, audite etiam de sacerdotio. Secundum C unumquemque enim jubilæum erit sacerdotium. In primo jubilæo primus unctus in sacerdotium magnus erit, et loquetur Deo ut patri; et sacerdotium ipsius plenum erit cum timore Domini; et in die gaudii ipsius in salute mundi ipse resurget. In secundo jubilæo unctus, in tristitia dilectorum concipietur, et erit sacerdotium ejus honorabile, et apud omnes glorificabitur. Tertius vero sacerdos in tristitia assumetur. Et quartus in dolore erit; quoniam apponet super ipsum injustitia in multitudinem: et omnis Israel odio habebit unusquisque proximum suum. Quintus in tenebris comprehendetur: similiter et sextus et septimus. In septimo vero erit abominatio, quam non possum dicere, coram Domino et hominibus; quoniam ipsi cognoscent, qui D facient ea. Propter hoc in captivitate et in direptione erunt; et terra et substantia eorum exterminabitur. Et in quinta hebdomade revertentur in terram desolationis ipsorum, et renovabunt domum Domini. In septima vero hebdomade venient sacerdotes idololatrantes, bellatores, avari, superbi, iniqui, impudici, puerorum corruptores, pecorum corruptores.

XVIII. « Et postquam facta fuerit vindicta ipso-

(48) Καταπαίξετε τὰ ἅγια. Καταφρονήσετε τῶν ἁγίων. ID.

(49) Ὑμεῖς αἰχμάλωτοι ἔσεσθε. Judæorum placitis adversa omnino videtur prædictio captivitatis atque afflictionis tempore Messiæ, sub quo omnia sibi prospera pollicentur. Attamen priscos rabbinos male genti suæ, etiam post adventum Messiæ, ominatos esse, ex traditionibus eorum constat. ID.

rum a Domino,deficiet sacerdotium ; et tunc suscitabit Deus sacerdotem novum,cui omnes sermones Domini revelabuntur ; et ipse faciet judicium veritatis in terra in multitudine dierum. Et orietur astrum ipsius in cœlo, sicut rex,illuminans lumen cognitionis in sole diei ; et magnificabitur in orbe terrarum, usque ad assumptionem ipsius. Ipse resplendebit sicut sol in terra, et tollet omnes tenebras quæ sunt sub cœlo, et erit pax in omni terra. Cœli exsultabunt in diebus ipsius, et terra gaudebit, et nubes lætabuntur, et cognitio Domini fundetur in terra,ut aqua marium ; et angeli gloriæ et faciei Domini gaudebunt in eo. Cœli aperientur [11], et ex templo gloriæ veniet super illum sanctificatio cum voce paterna, sicut ab Abraham patre Isaac. Et gloria Altissimi super ipsum dicetur,et Spiritus intellectus et sanctificationis requiescet super ipsum in aqua [12]. Ipse dabit magnificentiam Domini filiis suis in veritate in sæculum ; et non erit successio ipsi in generationes et generationes usque in sæculum.Et in sacerdatio ipsius deficiet omne peccatum, et iniqui requiescent in malis : justi vero requiescent in ipso. Et ipse aperiet portas paradisi, statuetque (53) minantem gladium adversus Adam, et dabit sanctis comedere de ligno vitæ, et spiritus sanctificationis erit in eis. Et Beliar ligabitur ab ipso, et dabit potestatem filiis suis ad calcandum super perniciosos spiritus.Et lætabitur Dominus in filiis ejus, et acquiescet Dominus in dilectis ejus usque in sæcula. Tunc exultabit Abraham, et Isaac, et Jacob ; et ego gaudebo, et omnes sancti induentur lætitia.

XIX. « Et nunc, filii mei, omnia audistis : eligite igitur vobismetipsis vel tenebras vel lucem, vel legem Domini vel opera Beliar. » Et respondimus nos patri, dicentes : « Coram Domino ambulabimus, secundum legem ipsius. » Et dixit pater noster : « Testis est Dominus et testes angeli ejus, et testis ego et testes vos de sermone oris vestri. » Et diximus : « Testes (sumus). » Et sic requievit Levi, hæc mandans filiis suis, et extendit pedes suos, et appositus est ad patres suos, cum vixisset centum et triginta septem annos.Et posuerunt eum in theca ; et postea sepelierunt eum in Hebron, juxta Abraham, et Isaac, et Jacob.

παρὰ Κυρίου, ἐκλείψει ἡ ἱερωσύνη· καὶ τότε ἐγερεῖ Κύριος ἱερέα καινὸν, ᾧ πάντες οἱ λόγοι Κυρίου ἀποκαλυφθήσονται· καὶ αὐτὸς ποιήσει κρίσιν ἀληθείας ἐπὶ τῆς γῆς ἐν πλήθει ἡμερῶν. Καὶ ἀνατελεῖ ἄστρον αὐτοῦ ἐν οὐρανῷ (50), ὡς βασιλεὺς, φωτίζων φῶς γνώσεως ἐν ἡλίῳ ἡμέρας· καὶ μεγαλυνθήσεται ἐν τῇ οἰκουμένῃ, ἕως ἀναλήψεως αὐτοῦ. Οὗτος ἀναλάμψει ὡς ὁ ἥλιος ἐν τῇ γῇ, καὶ ἐξαρεῖ πᾶν σκότος ἐκ τῆς ὑπ' οὐρανὸν, καὶ ἔσται εἰρήνη ἐν πάσῃ τῇ γῇ. Οἱ οὐρανοὶ ἀγαλλιάσονται ἐν ταῖς ἡμέραις αὐτοῦ, καὶ ἡ γῆ χαρήσεται, καὶ αἱ νεφέλαι εὐφρανθήσονται, καὶ ἡ γνῶσις Κυρίου ἐκχυθήσεται ἐπὶ τῆς γῆς, ὡς ὕδωρ θαλασσῶν· καὶ οἱ ἄγγελοι τῆς δόξης καὶ τοῦ προσώπου Κυρίου χαρήσονται ἐν αὐτῷ. Οἱ οὐρανοὶ ἀνοιγήσονται, καὶ ἐκ τοῦ ναοῦ τῆς δόξης ἥξει ἐπ' αὐτὸν ἁγίασμα μετὰ φωνῆς πατρικῆς, ὡς ἀπὸ Ἀβραὰμ πατρὸς Ἰσαάκ. Καὶ δόξα Ὑψίστου ἐπ' αὐτὸν ῥηθήσεται, καὶ πνεῦμα συνέσεως καὶ ἁγιασμοῦ καταπαύσει ἐπ' αὐτὸν ἐν τῷ ὕδατι. Αὐτὸς δώσει τὴν μεγαλωσύνην Κυρίου τοῖς υἱοῖς αὐτοῦ ἐν ἀληθείᾳ εἰς τὸν αἰῶνα· καὶ οὐκ ἔσται διαδοχὴ αὐτῷ εἰς γενεὰς καὶ γενεὰς ἕως αἰῶνος. Καὶ ἐπὶ τῆς (51) ἱερωσύνης αὐτοῦ ἐκλείψει πᾶσα ἁμαρτία, καὶ οἱ ἄνομοι καταπαύσουσιν εἰς κακά· οἱ δὲ δίκαιοι καταπαύσουσιν ἐν αὐτῷ. Καίγε αὐτὸς ἀνοίξει τὰς θύρας τοῦ παραδείσου, καὶ στήσει (52) τὴν ἀπειλοῦσαν ῥομφαίαν κατὰ τοῦ Ἀδὰμ, καὶ δώσει τοῖς ἁγίοις φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, καὶ πνεῦμα ἁγιωσύνης ἔσται ἐπ' αὐτοῖς. Καὶ ὁ Βελιὰρ δεθήσεται ὑπ' αὐτοῦ, καὶ δώσει ἐξουσίαν τοῖς τέκνοις αὐτοῦ πατεῖν ἐπὶ τὰ πονηρὰ πνεύματα. Καὶ εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς τέκνοις αὐτοῦ, καὶ εὐδοκήσει Κύριος ἐπὶ τοῖς ἀγαπητοῖς αὐτοῦ ἕως τῶν αἰώνων. Τότε ἀγαλλιάσεται Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· κἀγὼ χαρήσομαι, καὶ πάντες οἱ ἅγιοι ἐνδύσονται εὐφροσύνην (54).

ΙΘ'. « Καὶ νῦν, τέκνα μου, πάντα ἠκούσατε· ἕλεσθε οὖν ἑαυτοῖς ἢ τὸ σκότος ἢ τὸ φῶς, ἢ νόμον τοῦ Κυρίου ἢ ἔργα τοῦ Βελιάρ. » Καὶ ἀπεκρίθημεν ἡμεῖς τῷ πατρὶ, λέγοντες· « Ἐνώπιον Κυρίου πορευσόμεθα, κατὰ τὸν νόμον αὐτοῦ. » Καὶ εἶπεν ὁ πατὴρ ἡμῶν· « Μάρτυς Κύριος, καὶ μάρτυρες οἱ ἄγγελοι αὐτοῦ, καὶ μάρτυς ἐγὼ, καὶ μάρτυρες ὑμεῖς περὶ τοῦ λόγου τοῦ στόματος ὑμῶν. » Καὶ εἴπαμεν· « Μάρτυρες. » Καὶ οὕτως ἐπαύσατο Λευῒ, ἐντειλάμενος τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐξέτεινε τοὺς πόδας αὐτοῦ, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, ζήσας ρλζ' ἔτη. Καὶ ἔθηκαν αὐτὸν ἐν σορῷ· καὶ ὕστερον ἔθαψαν αὐτὸν ἐν Χεβρὼν, ἀνὰ χεῖρα (55) Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ.

[11] Matth. XVII, 5. [12] Matth. III, 16, 17 ; Luc. III, 22.

(50) Ἄστρον αὐτοῦ ἐν οὐρανῷ. Hisce auctoris nostri verbis gemina scripsit S. Ignatius aliique Patres, quorum verba recitavit Pearsonus, part. II, *Vindic. Epist. Ignatii*, cap. 10. GRAB.

(51) Καὶ ἐπὶ τῆς, κ. τ. λ. Hic incerta sunt sequentia in Cantab. exemplari, ob eadem verba initialia per incuriam scribæ omissa : Καὶ ἐπὶ τῆς ἱερωσύνης αὐτοῦ τὰ ἔθνη πληθυνθήσονται ἐν γνώσει ἐπὶ τῆς γῆς, καὶ φωτισθήσονται διὰ χάριτος Κυρίου· ὁ δὲ Ἰσραὴλ ἐλαττωθήσεται ἐν ἀγνωσίᾳ, καὶ σκοτισθήσεται ἐν πένθει. ID.

(52) Στήσει. Ἀποστήσει. ID

(53) *Statuetque. Stare faciet*, habet uterque manuscriptus codex in Biblioth. Bodl.Ita quoque C.C.C. adeo ut vix dubium sit, Robertum in versione sua hunc sensum expressisse, eo quod in Græco legeret στήσει, uti habet codex Cantabrigiensis. Verum hæc lectio,indeque nata versio,antecedentibus pariter ac sequentibus verbis, ipsique rei naturæ repugnat. Optime vero cuncta sibi invicem consonant, si ex Oxoniensi codice Græco reponas ἀποστήσει, *abscedere faciet, amovebit*. ID.

(54) Εὐφροσύνην. Δικαιοσύνην. ID.

(55) Χεῖρα. Χεῖρας. ID.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Διαθήκη Ἰούδα περὶ ἀνδρείας, καὶ φιλαργυρίας, καὶ πορνείας.

Α'. Ἀντίγραφον λόγων Ἰούδα, ὅσα ἐλάλησε τοῖς υἱοῖς αὐτοῦ πρὸ τοῦ ἀποθανεῖν αὐτόν. Συναχθέντες ἦλθον πρὸς αὐτὸν, καὶ εἶπεν αὐτοῖς· « Τέταρτος υἱὸς ἐγενόμην ἐγὼ τῷ πατρί μου, καὶ ἡ μήτηρ μου (56) ὠνόμασέ με Ἰούδαν, λέγουσα· Ἀνθομολογοῦμαι τῷ Κυρίῳ, ὅτι δέδωκέ μοι καὶ τέταρτον υἱόν. Ὀξὺς ἤμην καὶ σπουδαῖος ἐν νεότητί μου, καὶ ὑπακούων τῷ πατρὶ κατὰ πάντα λόγον· καὶ εὐλόγουν (58) τὴν μητέρα μου, καὶ τὴν ἀδελφὴν τῆς μητρός μου. Καὶ ἐγένετο, ὡς ἠνδρώθην (58), καὶ ὁ πατήρ μου Ἰακὼβ ηὔξατό μοι (59), λέγων· Βασιλεὺς ἔσῃ, κατευοδούμενος ἐν πᾶσι.

B Β'. « Καὶ ἔδωκέ μοι Κύριος χάριν ἐν πᾶσι τοῖς ἔργοις μου, ἔν τε τῷ ἀγρῷ, καὶ ἐν τῷ οἴκῳ. Ὡς εἶδον (60) ὅτι συνέδραμον τῇ ἐλάφῳ, καὶ πιάσας αὐτὴν, ἐποίησα τῷ πατρί μου βρῶμα. Τὰς δορκάδας ἐκράτουν διὰ τοῦ δρόμου, καὶ πᾶν, ὃ ἦν ἐν τοῖς πεδίοις, κατελάμβανον. Φοράδα ἀγρίαν κατέλαβον, καὶ πιάσας ἡμέρωσα (61)· καὶ λέοντα ἀπέκτεινα, καὶ ἀφειλόμην ἔριφον ἐκ τοῦ στόματος αὐτοῦ. Ἄρκτον λαβὼν ἀπὸ τοῦ ποδὸς, ἀπεκύλισα εἰς κρημνόν· καὶ πᾶν θηρίον, εἰ ἐπέστρεφεν ἐπ' ἐμὲ, διέσπων αὐτὸ, ὡς κύων. Ἀγρίῳ χοίρῳ συνέδραμον, καὶ προλαβὼν ἐν τῷ τρέχειν με, κατεσπάραξα αὐτόν· Πάρδαλις ἐν Χεβρὼν προσεπήδησεν ἐπὶ τὸν κύνα· καὶ πιάσας αὐτὴν ἀπὸ τῆς οὐρᾶς, ἀπηκόντισα αὐτὴν, καὶ ἐῤῥάγη ἐν τοῖς ὅροις Γάζης. Βοῦν ἄγριον ἐν χώρᾳ νεμόμενον ἐκράτησα (62) τῶν κεράτων. καὶ ἐν κύκλῳ συσσείσας, καὶ σκοτίσας, ῥίψας ἀνεῖλον αὐτόν. C

Γ'. « Καὶ ὅτε ἦλθον οἱ δύο βασιλεῖς τῶν Χαναναίων τεθωρακισμένοι ἐπὶ τὰ ποίμνια, καὶ πολὺς λαὸς μετ' αὐτῶν, κἀγὼ μόνος δραμὼν ἐπὶ τὸν βασιλέα Σοὺρ, συνέσχον (63) αὐτὸν, καὶ ἐπὶ τὰς κνημῖδας κρούσας, κατέσπασα, καὶ οὕτως ἀνεῖλον αὐτόν. Καὶ τὸν ἕτερον βασιλέα Ταφουὲ, καθήμενον ἐπὶ τοῦ ἵππου, ἀνεῖλον αὐτὸν, καὶ οὕτως πάντα τὸν λαὸν (64) γιεσκόρπισα. Τὸν Ἀχὼρ βασιλέα, ἄνδρα γιγάντων, βάλλοντα τόξα ἔμπροσθεν καὶ ὄπισθεν, ἐφ' ἵππου ἀνελόμενος, λίθον ἑξήκοντα λιτρῶν ἀκοντίσας, δέδωκα νῷ ἵππῳ καὶ ἀπέκτεινα αὐτόν. Καὶ πολεμήσας τὸν Ἀχὼρ ἐπὶ ὥρας δύο, ἀπέκτεινα αὐτὸν, καὶ εἰς δύο μέρη ποιήσας τὴν ἀσπίδα αὐτοῦ. συνέκοψα τοὺς πόδας αὐτου. Ἐν δὲ τῷ ἐκδύειν με αὐτὸν τὸν θώρακα, D ἰδοὺ ἄνδρες ὀκτὼ, ἑταῖροι αὐτοῦ, ἤρξαντο πολεμεῖν πρός με. Ἐτειλήσας οὖν τὴν στολήν μου ἐν τῇ χειρί μου, λίθοις σφενδονήσας αὐτοὺς, τέσσαρας ἐξ αὐτῶν ἀνεῖλον· οἱ δὲ ἄλλοι ἔφυγον· Καὶ Ἰακὼβ ὁ πατὴρ ἡμῶν ἀνεῖλε τὸν Βεελισᾶ, βασιλέα πάντων τῶν βασιλέων, γίγαντα τῇ ἰσχύϊ, πηχέων δώδεκα. Καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τρόμος, καὶ ἐπαύσαντο

A

CAPUT IV.

Testamentum Judæ, de fortitudine, et avaritia, et fornicatione.

I. Transcriptum sermonum Judæ, quæcunque locutus est filiis suis, antequam moreretur. Congregati venerunt ad ipsum, et dixit eis : « Quartus filius effectus sum patri meo, et mater mea vocavit me Judam, dicens : « Confiteor Domino, quoniam dedit mihi et quartum filium. » Velox eram et studiosus in juventute mea, et obediens patri meo secundum omne verbum ; et benedicebam matri meæ, et sorori matris meæ. Et factum est, ut effectus sum vir, et pater meus Jacob oravit super me, dicens : « Rex eris, prosperatus in omnibus. »

II. « Et dedit mihi Dominus gratiam in omnibus operibus meis, et in agro et in domo. Ut videbam, quod concurrebam cervæ ; et apprehendens ipsam, feci cibum patri meo. Capras superabam per cursum, et omne quod erat in campis, capiebam. Equam agrestem capiebam, et apprehendens mansuefeci ; et leonem interfeci, et eripiebam hædum ex ore ejus. Ursum capiens per pedem, volvebam in præcipitium ; et omnem feram, si reversa est in me, dilacerebam eam, ut canis. Porco silvestri concurrebam, et præoccupans in currendo, dilaceravi eum. Pardalis in Hebron insiluit super canem ; et apprehendens eam per caudam, abjiciebam eam, et dirupta est in terminis Gazæ. Bovem silvestrem in regione pastum tenui cornibus, et in circulum volens et obtenebrans, jaciens occidi eum.

III. « Et quando veniebant duo reges Chananæorum loricati super greges, et multus populus cum ipsis, et ego solus currens in regem Sur, continui eum et in tibias percutiens, prostravi, et ita occidi eum. Et alium regem Taphue, sedentem in equo occidi, atque ita omnem populum dispersi. Achor regem, virum gigantum, sagitantem ante et retro, in equo apprehendens, lapidem sexaginta librarum contorquens, projeci in equum, et ipsum interfeci. Et expugnans Achor horis duabus, occidi eum, et dissecans clypeum ejus, conscidi pedes ejus. In exuendo autem ejus thoracem, ecce octo viri, amici ejus inceperunt pugnare adversus me. Involvens ergo stolam meam in manu mea, lapidibus e funda percutiens ipsos, quatuor eorum occidi ; cæteri autem fugerunt. Et Jacob pater noster occidit Beelisa, regem omnium regum, gigantem fortitudine, cubitorum duodecim. Et cecidit super ipsos tremor, et cessaverunt pugnare contra nos. Propter hoc securus erat pater meus in præliis, quoniam ego eram cum fratribus meis. Vidit enim in visione de me,

(56) Μήτηρ μου. Αἰα. Id.
(57) Εὐλόγουν, Ἐτίμων. Id.
(58) Ἠνδρώθην. Ἡδρύνθην. Id.
(59) Ηὔξατό μοι. Ἐπηύξατο. Id.
(60) Ὡς εἶδον. Οἶδα. Id.

(61) Φοράδα ἀγρίαν κατέλαβον, καὶ πιάσας ἡμέρωσα. Desunt. Id.
(62) Ἐκράτησα. Κρατείσας. Id.
(63) Σοὺρ, συνέσχον. Ἀσοὺρ, συνεῖχον. Id.
(64) Λαόν. Αὐτῶν. Id.

quod angelus virtutis sequebatur me in omnibus, A ut non vincerer.

IV. « Et ad austrum factum est nobis prælium majus, quam quod in Sichimis; et instructus in acie cum fratribus meis, persecutus sum mille viros, et occidi ex eis ducentos viros, et quatuor reges. Et ascendi super ipsos in murum, et alios duos reges occidi; et ita liberavimus Hebron, et abduximus omnem regum captivitatem.

V. « Et postero die abivimus in Aretam, civitatem potentem et muratam, et nobis inaccessibilem, mortem minantem. Ego igitur et Gad advenimus ab oriente civitatis; Ruben vero et Levi ab B occidente et austro. Et existimantes qui super muros erant, quod nos soli essemus, attracti sunt in nos; et ita latentes fratres mei ex utraque parte paxillis ascenderunt murum, et intraverunt civitatem, ignorantibus ipsis. Et cepimus eam in ore gladii, et refugientes in turrim, incendentes eam, cum ipsis cepimus. Et cum recederemus, viri Thaphue invadebant prædam nostram; et cum accepissent eam cum filiis nostris, congressi sumus cum eis usque ad Thaphue; eosque occidimus, et civitatem incendimus, postquam omnia quæ in ipsa erant, spoliassemus.

VI. « Et ut eram in aquis Chuzeba, ii qui a Jobel, veniebant adversus nos in prælium; et congressi sumus cum eis, ipsosque occidimus, eosque C qui a Selon auxiliarii ipsorum erant; et non dedimus eis egressum, ut venirent ad nos. Et qui sunt a Mechir supervenerunt nobis quinta die, ut captivos abducerent, et agressi eos forti pugna invasimus, quoniam erant multitudine potentes; et occidimus eos, antequam ascenderunt ascensionem. Ut autem venimus ad civitatem eorum; mulieres eorum volvebant super nos lapides a vertice montis, in quo erat civitas. Et latitantes ego et Simeon a tergo, apprehendimus excelsa, et totam civitatem perdidimus.

VII. « Et sequenti die dictum est nobis, quod civitates duorum regum cum populo gravi venirent ad nos. Ego igitur et Dan, fingentes nos Amorrhæos, ut auxiliarii venimus in civitatem eorum. D Nocte autem profunda venientibus fratribus aperuimus portas, et omnes eos perdidimus, et omnia quæ eorum erant, deprædantes, tres muros eorum prostravimus. Et Thamnæ appropinquavimus, ubi erat omne refugium bellantium regum. Tunc injuriam passus iratus sum, et impetum feci in ipsos

πολεμοῦντες ἐφ' ἡμᾶς. Διὰ τοῦτο ἀμέριμνος ἦν ὁ πατήρ μου ἐν τοῖς πολέμοις, ὅτι ἐγὼ ἤμην σὺν τοῖς ἀδελφοῖς μου. Εἶδε γὰρ ἐν ὁράματι περὶ ἐμοῦ, ὅτι ἄγγελος δυνάμεως ἕπεταί μοι ἐν πᾶσι, τοῦ μὴ ἡττᾶσθαι.

Δ'. « Καὶ κατὰ νότον γέγονεν ἡμῖν πόλεμος μείζων τοῦ ἐν Σικήμοις· καὶ παραταξάμενος μετὰ τῶν ἀδελφῶν μου, ἐδίωξα χιλίους ἄνδρας, καὶ ἀπέκτεινα ἐξ αὐτῶν διακοσίους ἄνδρας, καὶ τέσσαρας βασιλεῖς. Καὶ ἀνῆλθον ἐπ' αὐτοὺς ἐπὶ τοῦ τείχους, καὶ ἄλλους δύο βασιλεῖς ἀνεῖλον· καὶ οὕτως ἠλευθερώσαμεν τὴν Χεβρὼν, καὶ ἐλάβομεν πᾶσαν τὴν αἰχμαλωσίαν τῶν βασιλέων.

Ε'. « Καὶ τῇ ἑξῆς ἀπήλθομεν εἰς Ἀρέταν, πόλιν κραταιὰν καὶ τειχήρη, καὶ ἀπροσέγγιστον ἡμῖν, θάνατον ἀπειλοῦσαν. Ἐγὼ οὖν καὶ Γὰδ προσήξαμεν ἀπὸ ἀντολῶν τῆς πόλεως· Ῥουβὴμ δὲ καὶ Λευὶ ἀπὸ δυσμῶν καὶ νότου. Καὶ νομίζοντες οἱ ἀπὸ τοῦ τείχους, ὅτι ἡμεῖς μόνοι ἐσμὲν, ἐφειλκύσθησαν πρὸς ἡμᾶς· καὶ οὕτως λαθραῖοι οἱ ἀδελφοί μου ἐξ ἑκατέρων (65) πασσάλοις ἐπανέβησαν τῷ τείχει, καὶ εἰσῆλθον εἰς τὴν πόλιν, ἀγνοούντων αὐτῶν. Καὶ ἐλάβομεν αὐτὴν ἐν στόματι μαχαίρας, καὶ τοὺς ἐν τῷ πύργῳ καταφυγόντας, ἐμπρήσαντες τὸν πύργον, σὺν αὐτοῖς ἐλάβομεν. Καὶ ἐν τῷ ἀπιέναι ἡμᾶς, ἄνδρες Θαφουὲ ἐπέβαλον τῇ αἰχμαλωσίᾳ ἡμῶν, καὶ παραλαβόντες αὐτὴν σὺν (66) τοῖς υἱοῖς ἡμῶν, συνήψαμεν πρὸς αὐτοὺς ἕως Θαφουὲ (67). κἀκείνους ἀπεκτείναμεν, καὶ τὴν πόλιν ἐνεπρήσαμεν, πάντα τὰ ἐν αὐτῇ σκυλεύσαντες.

Ϛ'. « Καὶ ὡς ἤμην ἐν τοῖς ὕδασι Χουζηβᾶ, οἱ ἀπὸ Ἰωβὴλ ἦλθον πρὸς ἡμᾶς εἰς πόλεμον· καὶ συνήψαμεν αὐτοὺς (68), κἀκείνους ἀπεκτείναμεν· καὶ τοὺς ἀπὸ Σηλὼμ συμμάχους αὐτῶν ἀπεκτείναμεν· καὶ οὐκ ἐδώκαμεν αὐτοῖς διέξοδον, τοῦ εἰσελθεῖν πρὸς ἡμᾶς. Καὶ οἱ ἀπὸ Μεχὴρ ἐπῆλθον ἡμῖν τῇ πέμπτῃ ἡμέρᾳ, λαβεῖν τὴν αἰχμαλωσίαν· καὶ προσάξαντες αὐτοῖς ἐν κρατερᾷ μάχῃ περιεγενόμεθα, ὅτι ἦσαν πλῆθος δυνατοὶ ἐν αὐτοῖς· καὶ ἀπεκτείναμεν αὐτοὺς πρὸ τοῦ ἀναβῆναι τὴν ἀνάβασιν. Ὡς δὲ ἤλθομεν τῇ πόλει αὐτῶν, αἱ γυναῖκες αὐτῶν ἐκύλιον ἐφ' ἡμᾶς λίθους ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους, ἐν ᾗ ἦν ἡ πόλις. Καὶ ὑποκρυβέντες ἐγὼ καὶ Συμεὼν ἐξόπισθεν, ἐπελαβόμεθα τῶν ὑψηλῶν, καὶ ὅλην τὴν πόλιν ὠλοθρεύσαμεν.

Ζ'. « Καὶ τῇ ἑξῆς ἐῤῥέθη πρὸς ἡμᾶς, ὅτι αἱ πόλεις τῶν δύο βασιλέων (69) ἐν ὄχλῳ βαρεῖ ἔρχονται (70) πρὸς ἡμᾶς. Ἐγὼ οὖν καὶ Δὰν, προσποιησάμενοι Ἀμοῤῥαίους, ὡς σύμμαχοι ἤλθομεν εἰς τὴν πόλιν αὐτῶν· Νυκτὶ δὲ βαθείᾳ ἐλθοῦσι τοῖς ἀδελφοῖς (71) ἠνοίξαμεν τὰς πύλας (72), καὶ πάντας αὐτοὺς ὠλοθρεύσαμεν, καὶ πάντα τὰ αὐτῶν προνομεύσαντες, τὰ τρία τείχη αὐτῶν καθείλομεν. Καὶ ἐν τῇ Θάμνᾳ προσηγγίσαμεν, οὗ ἦν πᾶσα ἡ ἀποφυγὴ (73) τῶν πολεμίων βασιλέων· Τότε ὑβριζόμενος ἐθυμώθην,

(65) Ἑκατέρων, Τῶν μερῶν. GRAB.
(66) Καὶ παραλαβόντες αὐτήν. Καὶ πράσσοντες αὐτήν. ID.
(67) Ἕως Θαφουέ. Ἐν τῷ Θαφουέ. ID.
(68) Συνήψαμεν αὐτούς. Καὶ συνάψαντες ἐτρέψαμεν αὐτούς. ID.
(69) Αἱ πόλεις τῶν δύο βασιλέων. Γρᾶς, πόλις βασιλέων. ID.
(70) Ἔρχονται. Ἔρχεται. ID.
(71) Ἐλθοῦσι τοῖς ἀδελφοῖς. Ἐλθόντων τῶν ἀδελφῶν ἡμῶν. ID.
(72) Πύλας. Αὐτοῖς. ID.
(73) Ἀποφυγή. Ἀποσκευή. ID.

καὶ ὥρμησα ἐπ' αὐτοὺς ἐπὶ τὴν κορυφήν· κἀκεῖνοι ἐσφενδόνων ἐπ' ἐμὲ λίθοις καὶ τόξοις· καὶ εἰ μὴ Δὰν ὁ ἀδελφός μου συνεμάχησέ μοι, εἶχόν με ἀνελεῖν. Ἐπήλθομεν οὖν ἐπ' αὐτοὺς μετὰ θυμοῦ, καὶ πάντες ἔφυγον· καὶ διελθόντες δι' ἄλλης ὁδοῦ, ἐδεήθησαν τοῦ πατρός μου, καὶ ἐποίησεν εἰρήνην μετ' αὐτῶν (74), καὶ οὐκ ἐποιήσαμεν αὐτοῖς οὐδὲν κακὸν, ἀλλ' ἐποιήσαμεν αὐτοὺς ὑποσπόνδους, καὶ ἀπεδώκαμεν αὐτοῖς πᾶσαν τὴν αἰχμαλωσίαν. Καὶ ᾠκοδόμησα ἐγὼ τὴν Θάμναν, καὶ ὁ πατήρ μου τὴν Ῥαμβαήλ. Εἴκοσι ἐτῶν ἤμην, ὅτε ἐγένετο ὁ πόλεμος οὗτος· καὶ ἦσαν οἱ Χαναναῖοι φοβούμενοί με, καὶ τοὺς ἀδελφούς μου.

Η'. « Ἦν δέ μοι καὶ κτήνη πολλὰ, καὶ εἶχον ἀρχιποίμενα Ἰρᾶν τὸν Ὀδολαμίτην· πρὸς ὃν ἐλθὼν, εἶδον Βάρσαν (75) βασιλέα Ὀδολάμ. Καὶ ἐποίησεν ἡμῖν πότον· καὶ παρακαλέσας δίδωσί μοι τὴν θυγατέρα αὐτοῦ Βησσουὲ εἰς γυναῖκα. Αὕτη ἔτεκέ μοι τὸν Εἲρ (75*), καὶ τὸν Αὐνᾶν (76), καὶ Σιλώμ· ὧν τοὺς δύο ἀτέκνους ἀνεῖλε Κύριος· ὁ γὰρ Σιλὼμ ἔζησε, καὶ τὰ τέκνα αὐτοῦ ὑμεῖς ἐστε.

Θ'. « Δεκαοκτὼ ἔτη ἐποιήσαμεν εἰρήνην, ὁ πατὴρ ἡμῶν καὶ ἡμεῖς, μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἡσαῦ, καὶ οἱ υἱοὶ αὐτοῦ μεθ' ἡμῶν, μετὰ τοῦ ἐλθεῖν ἡμᾶς ἐκ Μεσοποταμίας ἀπὸ Λάβαν. Καὶ πληρωθέντων τῶν δεκαοκτὼ ἐτῶν, ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ζωῆς μου, ἐπῆλθεν ἡμῖν Ἡσαῦ, ὁ ἀδελφὸς τοῦ πατρός μου, ἐν λαῷ βαρεῖ καὶ ἰσχυρῷ· καὶ ἔπεσεν (77) ἐν τόξῳ Ἰακὼβ (78), καὶ ἤρθη νεκρὸς ἐν ὄρει Σιείρ· καὶ πορευόμενος ἐπάνω Εἰῤῥαμνᾶ (80) ἀπέθανεν. Ἡμεῖς δὲ ἐδιώξαμεν ἐπὶ τοὺς υἱοὺς Ἡσαῦ. Ἦν δὲ τούτοις πόλις, καὶ τεῖχος σιδηροῦν, καὶ πύλαι χαλκαῖ· καὶ οὐκ ἠδυνήθημεν εἰσελθεῖν ἐν αὐτῇ, καὶ περικαθίσαντες ἐπολιορκοῦμεν αὐτούς. Καὶ ὡς οὐκ ἤνοιγον, μετὰ εἴκοσιν ἡμέρας, ὁρώντων αὐτῶν, προσάγω κλίμακα, καὶ τὴν ἀσπίδα ἐπὶ τῆς κεφαλῆς μου· καὶ ἀνῆλθον ἀποδεχόμενος λίθους ἕως ταλάντων τριῶν· καὶ ἀνελθὼν (81) τέσσαρας τοὺς δυνατοὺς ἐξ αὐτῶν. Καὶ τῇ ἑξῆς ἐμβάντες Ῥουβὴμ καὶ Γὰδ ἀνεῖλον ἑτέρους ἕξ (82). Τότε αἰτοῦσιν ἡμᾶς τὰ πρὸς εἰρήνην· καὶ γενόμενοι τῆς βουλῆς τοῦ πατρὸς ἡμῶν, ἐδεξάμεθα αὐτοὺς ὑποφόρους. Καὶ ἦσαν διδόντες ἡμῖν πυροῦ κόρους σ', ἐλαίου Βέθ (83) φ', οἴνου μέτρα ͵α φ', ἕως ὅτε κατήλθομεν εἰς Αἴγυπτον.

Ι'. « Μετὰ δὲ ταῦτα Εἲρ ὁ υἱός μου ἄγεται τὴν Θάμαρ ἐκ Μεσοποταμίας, θυγατέρα Ἀράμ. Ἦν δὲ Εἲρ πονηρὸς, καὶ ἠπόρει περὶ τῆς Θάμαρ, ὅτι οὐκ ἦν ἐκ γῆς Χαναάν. Καὶ ἄγγελος Κυρίου ἀνεῖλεν αὐτὸν τῇ τρίτῃ ἡμέρᾳ τῇ νυκτὶ, καὶ αὐτὸς οὐκ ἔγνω αὐτὴν, κατὰ πανουργίαν τῆς μητρὸς αὐτοῦ· οὐ γὰρ ἤθελεν ἔχειν τέκνα ἀπ' αὐτῆς· καίγε οὗτος ἀπέθανεν ἐν πονηρίᾳ. Ἐν ταῖς ἡμέραις τοῦ θαλάμου ἐπεγάμβρευσα

A super verticem : et illi fundis jaciebant super me lapides, et jaculabantur arcubus ; et nisi Dan frater meus suppetias mihi tulisset, interfecissent me. Supervenimus igitur ipsis cum furore, et omnes fugerunt ; et transeuntes per aliam viam deprecabantur patrem meum, et fecit pacem cum eis, et non fecimus eis quidquam mali, sed data fide, recepimus eos in societatem, et reddidimus eis omnes captivos. Et ædificavi ego Thamnam, et pater meus Rambahel. Viginti annorum eram, quando factum est istud bellum ; et Chananæi timuerunt me, et fratres meos.

VIII. « Erant autem mihi et pecora multa, et habebam principem pastorum Iran Odolamitem ; ad quem cum veni, vidi Barsan regem Odolam. Et B fecit nobis convivium, et deprecans dedit mihi filiam suam Bessue in uxorem. Hæc peperit mihi Her, et Aunan, et Silom ; quorum duos sine filiis occidit Dominus ; Silom enim vixit, et filii ejus vos estis.

IX. « Octodecim annis fecimus pacem, pater noster et nos, cum fratre ejus Esau, et filii ejus nobiscum, postquam venimus ex Mesopotamia a Laban. Et impletis octodecim annis, in quadragesimo anno vitæ meæ, supervenit nobis Esau frater patris mei, in populo gravi et forti ; et cecidit in arcu Jacob, et latus est mortuus in montem Seir(79). Nos autem persecuti sumus filios Esau. Erat autem eis civitas, et murus ferreus, et portæ æreæ, et non potuimus intrare in eam, obsidentes vero conclusimus eos ; et cum non aperirent, post dies viC ginti, videntibus eis, adduxi scalam, et clypeum super caput meum ; et ascendi, accipiens lapides usque ad pondus talentorum trium ; et cum ascendissem, occidi quatuor potentes ex ipsis: Et die sequenti intrantes Ruben et Gad occiderunt alios sex. Tunc petiverunt a nobis conditiones pacis ; et ducti consilio patris nostri recepimus eos tributarios. Et dederunt nobis frumenti coros ducentos, et olei Bes quingentos, vini mensuras mille et quingentas, donec descendimus in Ægyptum.

X. « Post hoc Her filius meus duxit uxorem Thamar ex Mesopotamia, filiam Aram. Erat autem Her perniciosus, et dubitavit de Thamar, quoniam D non erat ex terra Chanaan. Et angelus Domini occidit eum tertia die in nocte, et ipse non cognovit eam, per astutiam matris suæ ; non enim voluit habere filios ex ipsa ; et hic in nequitia mortuus est. In diebus thalami dedi ei virum Aunan ; et iste

(74) Αὐτῶν. Αὐτοῦ. Id.
(75) Βάρσαν. Βαρσαβά. Id.
(75*) Septuag. Ἢρ. Drach.
(76) Αὐνᾶν. Origenes, tom. VIII. *Comment in Joannem*, p. 132 Τῷ Ἰούδᾳ παρ' ἡμῖν, μὲν ὁ δεύτερος Αὐνᾶν εἶναι λέγεται, παρὰ δὲ Ἑβραίοις Ὠνᾶν ἐστι *Judæ secundus* (filius) *apud nos quidem Aunan esse dicitur, apud Hebræs vero Onan*. Grab.
(77) Ἔπεσεν. Ἔπαισεν. Id.
(78) Ἰακώβ. Τὸν Ἡσαῦ add. Id.
(79) *Montem Seir*. Additur in Græco textu, vitiose : *et vadens super Iramna, mortuus est*. Id.
(80) Ἐπάνω Εἰῤῥαμνᾶ. Ἐν Ανονιράμ. Id.
(81) Ἀνελθών. Add. ἀνεῖλον, propter similitudinem vocis præcedentis incuria scribæ omissum. Id.
(82) Ἕξ. Ἑξήκοντα ms. Coll., Trin., Cantab. Id.
(83) Βέθ. Suspicor legendum βάτους. Βάτος enim est mensura liquidorum, ut docet Joseph. lib. *Antiquit. Jud.* VIII, cap. 2. Id.

in malitia non cognovit eam, vivens cum ea annum. Et quando minatus sum ei, coivit quidem cum illa, semen vero corruit (85) in terram, secundum mandatum matris suæ; et hic in malitia mortuus est. Volebam autem et Silom dare ei, sed uxor mea Bessue non permisit; malitiosa enim erat in Thamar, quoniam non erat ex filiabus Chanaan, sicut ipsa.

XI. « Et ego sciebam, quod perniciosum erat genus Chanaan, sed consilium juventutis excæcavit cor meum. Et videns eam vinum fundentem, in ebrietate vini deceptus sum, et concidi ad eam. Ipsa, me absente, abiit, et accepit Silom uxorem ex terra Chanaan. At cum cognovissem quid fecerat, maledixi ei in dolore animæ meæ: et ipsa mortua est in malitia filiorum suorum.

XII. « Post hos autem sermones (87), vidua existente Thamar, post duos annos audiens, quod ascendo tondere oves, ornata sponsalibus ornamentis, sedit ante civitatem ad portam. Lex enim Amorrhæorum est, nuptam præsidere in fornicatione per septem dies juxta portam. Inebriatus igitur ego in aquis Chozeb, non agnovi eam præ vino; et decepit me pulchritudo ipsius per formam ornatus. Et declinatus ad ipsam, dicebam: Ingredior ad te. Et dixit mihi: Quid mihi dabis? Et dedi ei virgam meam, et zonam, et diadema regni: et cum coirem cum illa, concepit. Ignorans autem quid fecit, volui occidere eam; ipsa autem mittens in abscondito pignora, pudore suffudit me. Vocans vero eam, audivi et mysticos sermones, quos locutus sum, dormiens cum ea, in ebrietate mea; et non potui occidere eam, quoniam a Domino erat. Dicebam autem: Ne forte dolo mecum agat, ab alia accipiens pignus. Sed neque appropinquavi ei amplius usque ad mortem meam, quoniam abominationem feci hanc in omni Israel. Et qui erant in civitate, dicebant non esse in civitate desponsatam; quoniam ex alio loco veniens ad breve tempus sedit in porta; et existimavit, quod nullus cognovit me intravisse ad eam. Et post hæc venimus in Ægyptum ad Joseph propter famem. Quadraginta sex annorum eram, et septuaginta tres annos vixi illic.

XIII. « Et nunc quæcunque ego vobis mando, audite filii mei, Judam patrem vestrum, et custodite omnes sermones meos, ad faciendum omnes justificationes Domini, et ad obediendum mandatis Dei. Et non ambuletis post desideria vestra, neque in cogitationibus consiliorum vestrorum, in superbia cordis vestri, et ne gloriemini in operibus fortitudi-

A αὐτῇ τὸν Αὐνᾶν· καίγε οὗτος ἐν πονηρίᾳ οὐκ ἔγνω αὐτὴν, ποιήσας σὺν αὐτῇ ἐνιαυτόν. Καὶ ὅτε ἠπείλησα αὐτῷ, συνῆλθε μὲν αὐτῇ, διέφθειρε δὲ τὸ σπέρμα ἐπὶ τὴν γῆν, μετὰ τὴν ἐντολὴν τῆς μητρὸς αὐτοῦ (84)· καίγε οὗτος ἀπέθανεν ἐν πονηρίᾳ. Ἤθελον δὲ καὶ τὸν Σιλὼμ δοῦναι αὐτῇ, ἀλλ' ἡ γυνή μου βησσουὲ οὐκ ἀφῆκεν· ἐπονηρεύετο γὰρ πρὸς τὴν Θάμαρ, ὅτι οὐκ ἦν ἐκ θυγατέρων Χαναὰν, ὡς αὐτή.

ΙΑ'. « Κἀγὼ ᾔδειν, ὅτι πονηρὸν τὸ γένος Χαναὰν, ἀλλὰ τὸ διαβούλιον τῆς νεότητος (86) ἐτύφλωσε τὴν καρδίαν μου. Καὶ ἰδὼν αὐτὴν οἰνοχοοῦσαν, ἐν μέθῃ οἴνου ἠπατήθην, καὶ συνέπεσα πρὸς αὐτήν. Αὕτη, ἀπόντος μου, ἐπορεύθη, καὶ ἔλαβε τῷ Σιλὼμ γυναῖκα ἐκ γῆς Χαναάν. Γνοὺς δὲ ὃ ἐποίησε, κατηρασάμην αὐτῇ ἐν ὀδύνῃ ψυχῆς μου· καίγε αὐτὴ ἀπέθανεν ἐν πονηρίᾳ υἱῶν αὐτῆς.

B

ΙΒ'. « Μετὰ δὲ τοὺς λόγους τούτους, χηρευούσης τῆς Θάμαρ, μετὰ δύο ἔτη ἀκούσασα, ὅτι ἀνέρχομαι κεῖραι τὰ πρόβατα, κοσμηθεῖσα κόσμῳ νυμφικῷ, ἐκάθισεν ἀπέναντι τῇ πόλει πρὸς τὴν πύλην. Νόμος γὰρ Ἀμοῤῥαίων, τὴν γαμοῦσαν προκαθίσαι ἐν πορνείᾳ ἑπτὰ ἡμέρας παρὰ τὴν πύλην. Μεθυσθεὶς οὖν ἐγὼ ἐν ὕδασι Χωζήβ, οὐκ ἐπέγνων αὐτὴν ἀπὸ τοῦ οἴνου· καὶ ἠπάτησέ με τὸ κάλλος αὐτῆς διὰ τοῦ σχήματος τῆς κοσμήσεως. Καὶ ἐκκλίνας πρὸς αὐτὴν, εἶπον· « Εἰσέλθω πρὸς σέ. » Καὶ εἶπέ μοι· « Τί μοι δώσεις; » Καὶ ἔδωκα αὐτῇ τὴν ῥάβδον μου, καὶ τὴν ζώνην, καὶ τὸ διάδημα τῆς βασιλείας· καὶ ὡς συνῆλθον αὐτῇ, συνείληφεν. Ἀγνοῶν δὲ ὃ ἐποίησεν, ἤθελον αὐτὴν ἀνελεῖν· πέμψασα δὲ ἐν κρυπτῷ τοὺς ἀῤῥαβῶνας, κατήσχυνέ με. Καλέσας δὲ αὐτὴν, ἤκουσα καὶ τοὺς

C

ἐν μυστηρίῳ λόγους, οὓς, καθεύδων σὺν αὐτῇ, ἐν τῇ μέθῃ μου ἐλάλησα· καὶ οὐκ ἠδυνήθην ἀνελεῖν αὐτὴν, ὅτι παρὰ Κυρίου ἦν. Ἔλεγον γάρ· « Μήποτε ἐν δολιότητι ἐποίησε, παρὰ ἄλλης λαβοῦσα τὸν ἀῤῥαβῶνα. » Ἀλλ' οὐδὲ ἤγγισα αὐτῇ ἔτι ἕως θανάτου μου, ὅτι βδέλυγμα ἐποίησα τοῦτο ἐν παντὶ Ἰσραήλ. Καίγε οἱ ἐν τῇ πόλει ἔλεγον, μὴ εἶναι ἐν τῇ πόλει τελισκομένην (88)· ὅτι ἐξ ἄλλου χωρίου ἐλθοῦσα πρὸς βραχὺ ἐκάθισεν ἐν τῇ πύλῃ· καὶ ἐνόμιζεν (89), ὅτι οὐδεὶς ἔγνω, ὅτι εἰσῆλθον εἰς αὐτήν. Καὶ μετὰ ταῦτα ἤλθομεν εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ διὰ τὸν λιμόν· μς' ἐτῶν ἤμην, καὶ ογ' ἔζησα ἐκεῖ ἔτη.

ΙΓ'. « Καὶ νῦν ὅσα ἐγὼ ὑμῖν ἐντέλλομαι, ἀκούσατε, τέκνα μου, Ἰούδα τοῦ πατρὸς ὑμῶν, καὶ φυλάξατε πάντας τοὺς λόγους μου, τοῦ ποιεῖν πάντα τὰ δικαιώ-

D

ματα Κυρίου, καὶ ὑπακούειν ἐντολὰς Θεοῦ. Καὶ μὴ πορεύεσθε ὀπίσω τῶν ἐπιθυμιῶν ὑμῶν, μηδὲ ἐνθυμήσεσι διαβουλίων ὑμῶν, ἐν ὑπερηφανίᾳ καρδίας ὑμῶν, καὶ μὴ καυχᾶσθε ἐν ἔργοις ἰσχύος νεότητος ὑμῶν,

(48) Οὐ γὰρ ἤθελεν ἔχειν τέκνα ἀπ' αὐτῆς· καίγε οὗτος ἀπέθανεν ἐν πονηρίᾳ. Ἐν ταῖς ἡμέραις τοῦ θαλάμου ἐπεγάμβρευσα αὐτῇ τὸν Αὐναν· καίγε οὗτος ἐν πονηρίᾳ οὐκ ἔγνω αὐτὴν, ποιήσας σὺν αὐτῇ ἐνιαυτόν. Καὶ ὅτε ἠπείλησα αὐτῷ συνῆλθε μὲν αὐτῇ, διέφθειρε δὲ τὸ σπέρμα ἐπὶ τὴν γῆν, κατὰ τὴν ἐντολὴν τῆς μητρὸς αὐτοῦ. Hæc in Oxoniensi codice male sunt omissa: exstant vero in eo sequentia: Καίγε οὗτος ἀπέθανεν ἐν πονηρίᾳ, quæ in Cantabrigiensi desunt. GRAB.

(85) *Corruit*. In Græco, *corrupit*. ID.

(86) Νεότητος. Ψυχῆς καὶ τῆς νεότητος. ID.

(87) *Post hos autem sermones*. *Posthæc*. ID.

(88) Πόλει τελισκομένην. Πύλῃ τελωνουμένην ID. — Τελισκομένη, non est *desponsata*, ut reddit interpres Latine, sed *scortum*. Semel legitur in S. Script. de scorto masculo. Deuter. XXIII, 18, Alex.: οὐκ ἔσται τελισκόμενος πρὸς πᾶσαν εὐχήν. DRACH.

(89) Καὶ ἐνομιζεν. Νομίζων. GRAB.

ὅτι καίγε τοῦτο πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου. Ἐπειδὴ γὰρ κἀγὼ καυχησάμενος, ὅτι ἐν πολέμοις οὐκ ἠπάτησέ με πρόσωπον γυναικὸς εὐμόρφου, ὠνείδιζον Ῥουβὴμ τὸν ἀδελφόν μου περὶ Βαλλας γυναικὸς πατρός μου· καὶ τὸ πνεῦμα τοῦ ζήλου καὶ τῆς πορνείας παρετάξατο ἐν ἐμοὶ, ἕως συνέπεσα εἰς Βησσουὲ τὴν Χαναναίαν, καὶ εἰς Θάμαρ τὴν νυμφευθεῖσαν τοῖς υἱοῖς μου. Καὶ ἔλεγον τῷ πενθερῷ μου· « Συμβουλεύσω τῷ πατρί μου, καὶ οὕτως λήψομαι τὴν θυγατέρα σου. » Καὶ ἔδειξέ μοι ἐπ' ὀνόματι τῆς θυγατρὸς αὐτοῦ χρυσοῦ πλῆθος ἄπειρον· ἦν γὰρ βασιλεύς. Καὶ αὐτὴν κοσμήσας ἐν χρυσίῳ καὶ μαργαρίταις, ἐποίησεν ἡμῖν οἰνοχοεῖν ἐν τῷ δείπνῳ, ἐν κάλλει γυναικῶν. Καὶ ὁ οἶνος διέστρεψέ μοι τοὺς ὀφθαλμοὺς, καὶ ἠμαύρωσε τὴν καρδίαν μοο ἡ ἡδονή. Καὶ ἐρασθεὶς αὐτῆς συνέπεσα, καὶ παρέβην ἐντολὴν Κυρίου, καὶ ἐντολὴν πατέρων μου, καὶ ἔλαβον αὐτὴν εἰς γυναῖκα. Καὶ ἀνταπέδωκέ μοι Κόριος κατὰ τὸ διαβούλιον τῆς καρδίας μου, ὅτι οὐκ εὐφράνθην ἐν τοῖς τέκνοις αὐτῆς.

ΙΔ'. « Καὶ νῦν, τέκνα μου, μὴ μεθύσκεσθε οἴνῳ· ὅτι οἶνος διαστρέφει τὸν νοῦν ἀπὸ τῆς ἀληθείας, καὶ ἐμβάλλει ὀργὴν (90) ἐπιθυμίας, καὶ ὁδηγεῖ εἰς πλάνην τοὺς ὀφθαλμούς. Τὸ γὰρ πνεῦμα τῆς πορνείας τὸν οἶνον, ὡς διάκονον πρὸς τὰς ἡδονὰς ἔχει τοῦ νοός· ὅτι καίγε τὰ δύο ταῦτα ἀφιστῶσι τὴν δύναμιν τοῦ ἀνθρώπου. Ἐὰν γάρ τις πίῃ οἶνον εἰς μέθην, ἐν διαλογισμοῖς ῥυπαροῖς συνταράσσει τὸν νοῦν εἰς πορνείαν, καὶ ἐκθερμαίνει τὸ σῶμα εἰς μίξιν· καὶ εἰ πάρεστι τὸ τῆς ἐπιθυμίας αἴτιον, πράσσει τὴν ἁμαρτίαν (91), καὶ οὐκ αἰσχύνεται. Τοιοῦτός ἐστιν ὁ οἶνος, τέκνα μου, ὅτι ὁ μεθύων οὐδὲν αἰδεῖται. Ἰδοὺ γὰρ κἀμὲ ἐπλάνησε, μὴ αἰσχυνθῆναι πλῆθος ἐν τῇ πόλει· ὅτι ἐν ὀφθαλμοῖς πάντων ἐξέκλινα πρὸς τὴν Θάμαρ, καὶ ἐποίησα ἁμαρτίαν μεγάλην, καὶ ἀνεκάλυψα κάλυμμα ἀκαθαρσίας υἱῶν μου. Πιὼν οἶνον, οὐκ ᾐσχύνθην τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ ἔλαβον γυναῖκα Χαναναίαν. Συνέσεως γὰρ χρῄζει ὁ πιὼν οἶνον, τέκνα μου· καὶ αὕτη ἐστὶν ἡ σύνεσις τῆς οἰνοποσίας, ἵνα ἕως ὅτου ἔχει αἰδῶ, πίῃ· ἐὰν δὲ παρέλθῃ τὸν ὅρον τοῦτον, ἐμβάλλει εἰς τὸν νοῦν τὸ πνεῦμα τῆς πλάνης, καὶ ποιεῖ τὸν μέθυσον αἰσχρορρημονεῖν, καὶ παρανομεῖν, καὶ μὴ αἰσχύνεσθαι, ἀλλ' ἐγκαυχᾶσθαι τῇ ἀτιμίᾳ, νομίζοντα εἶναι καλόν.

ΙΕ'. « Ὁ πορνεύων, καὶ γυμνούμενος τῆς βασιλείας (92), ἐξέρχεται (93), δουλωθεὶς τῇ πορνείᾳ, ὡς κἀγὼ γυμνωθείς. Ἔδωκα γὰρ τὴν ῥάβδον μου, τουτέστι, τὸ στήριγμα τῆς ἐμῆς φυλῆς· καὶ τὴν ζώνην μου, τουτέστι, δύναμιν· καὶ τὸ διάδημα, τουτέστι, τὴν δόξαν τῆς βασιλείας μου. Καίγε μετανοήσας ἐπὶ τούτοις, οἶνον καὶ κρέας οὐκ ἔλαβον ἕως γήρας, καὶ πᾶσαν εὐφροσύνην οὐκ εἶδον. Καὶ ἔδειξέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ, ὅτι ἕως τοῦ αἰῶνος, κἂν βασιλεῖ, κἂν πτωχῷ, αἱ γυναῖκες κατακυριεύσουσι, καὶ τοῦ μὲν βασιλέως ἀροῦσι τὴν δόξαν, τοῦ δὲ ἀνδρείου τὴν δύναμιν, καὶ τοῦ πτωχοῦ τὸ τῆς πτωχείας ἐλάχιστον στήριγμα.

A nis juventutis vestræ, quoniam et hoc est perniciosum in oculis Domini. Quia enim et ego gloriatus sum, quod in bellis non decepit me facies mulieris formosæ, probro affeci Ruben fratrem meum de Balla uxore patris mei : et spiritus zeli et fornicationis constitit in me, donec incidi in Bessue Chananæam, et in Thamar nuptam filiis meis. Et dicebam socero meo : Persuadebo patri meo, et ita accipiam filiam tuam. Et ostendit mihi nomine filiæ suæ auri multitudinem infinitam ; erat enim rex. Et cum ornasset eam auro et margaritis, fecit nobis vinum effundi in cœna, in pulchritudine mulierum. Et vinum pervertit oculos meos, et obscuravit cor meum voluptas. Et desiderans eam concidi, et transgressus sum mandatum Domini et mandatum
B patrum meorum, et accepi eam in uxorem. Et secundum consilium cordis mei retribuit mihi Dominus quoniam non lætatus sum in filiis ejus.

XIV. « Et nunc, filii mei, ne inebriemini vino ; quoniam vinum avertit intellectum a veritate, et imittit iram desiderii, et ducit in errorem oculos. Spiritus enim fornicationis vinum ut ministrum ad voluptates habet mentis ; quoniam et duo hæc auferunt potentiam hominis. Si enim aliquis biberit vinum in ebrietatem, cogitationibus sordidis conturbat intellectum in fornicationem, et accendit corpus ad mistionem ; et si adest desiderii causa, operatur peccatum, et non suffunditur pudore. Tale est vinum, filii mei, quoniam ebrius nihil erubescit. Ecce enim et me errare fecit, ut non erubescerem
C ob multitudinem in civitate ; quoniam in oculis omnium declinavi ad Thamar, et feci peccatum magnum, et revelavi velamen immunditiæ filiorum meorum. Cum biberem vinum, non verecundatus sum mandatum Dei, et accepi uxorem Chananæam. Propter quod intellectu opus habet, qui bibit vinum, filii mei ; et is est intellectus vini potationis, ut quandiu habet erubescentiam, bibat ; si vero transeat terminum hunc, immittit in intellectum spiritum erroris, qui facit ebrium turpia loqui, et iniqua agere, et non verecundari, sed et gloriari in ignominia, existimante messe bonum.

XV. « Qui fornicatur, et nudatus regno, egreditur, servus effectus fornicationi, sicut et ege nudatus sum. Dedi enim (aliis) virgam meam, hoc est,
D firmamentum meæ tribus ; et zonam meam, hoc est, potentiam ; et diadema, hoc est gloriam regni mei. Et pœnitens de his, vinum et carnes non assumpsi usque ad senectutem, et omnem lætitiam nescivi. Et ostendit mihi angelus Dei, quod usque in sæculum, et regi, et pauperi, mulieres dominabuntur ; et regis quidem tollent gloriam et virilis potentiam, et pauperis paupertatis minimum firmamentum.

(90) Ὀργήν. Suspicor legendum ὁρμήν, *impetum*, GRAB.

(91) Ἁμαρτίαν. Ἐπιθυμίαν ID.

(92) Καὶ γυμνούμενος τῆς βασιλείας. Ζημιούμενος οὐκ αἰσθάνεται, καὶ ἄδοξον οὐκ αἰσχύνεται. Κἂν γάρ τις βασιλεύσῃ, πορνεύων γυμνούμενος. ID.

(93) Ἐξέρχεται. Οὐχ. ID.

XVI. « Custodite ergo, filii mei, terminum vini. Sunt enim in eo quatuor spiritus perniciosi ; concupiscentiæ, inflammationis, luxuriæ, et turpis lucri. Si bibatis vinum in lætitia, cum timore Dei erubescentes, vivetis. Si enim bibatis non erubescentes, et recedat Dei timor, jam efficitur ebrietas et subintrat invrecundia. Si vero neque omnino bibetis (95), ut non peccetis in verbis contumeliæ, et pugnæ, et calumniæ, et transgressionis mandatorum Dei et pereatis ante tempus vestrum. Nam mysteria Dei et hominum alienis revelat vinum (u et ego mandata Dei et mysteria Jacob patris mei revelavi Chananitidi Bessue) quibus vetuit Deus revelare. Sed et belli et conturbationis causa efficitur vinum.

XVII. « Mando igitur vobis, filii mei, ut non diligatis argentum, neque inspiciatis in pulchritudinem mulierum ; quia et propter argentum et formositatem erravi in Bessue Chananæam. Novi enim, quod propter duo hæc erit genus meum in nequitia ; quoniam et sapientes viros filiorum meorum alienabunt, et regnum Judæ minuent, quod dedit mihi Dominus in obedientia patris. Nunquam enim contristavi verbum patris mei Jacob, quoniam omnia quæ dixit, faciebam. Et Abraham pater patris mei benedixit mihi, ut regnarem in Israel ; et Isaac benedixit mihi simili modo. Et ego novi, quod ex me stabit regnum.

XVIII. « Et legi in libris Enoch justi, quanta mala facietis in extremis diebus. Cavete igitur filii mei, a fornicatione et avaritia : audite Judam patrem vestrum, quoniam ista separant a lege Dei, et excæcant consilium animæ, et superbiam docent, et non patiunturhominem misericordiam exhibere proximo suo, privant animam ipsius omni bonitate, et continent ipsum in laboribus et doloribus, et amovent somnum ab eo,consumunt carnes ipsius,et sacrificia Dei impediunt, et benedictiones non memorant, et prophetæ loquenti non obediunt, et verbo pietatis offenduntur. Duabus enim passionibus contrariis mandatis Dei serviens, Deo obedire non potest, quoniam excæcaverunt animam ejus, et in die, sicut in nocte ambulat.

XIX. Filii mei, avaritia ad idola ducit, quoniam in errore per argentum, eos qui non sunt, deos nominant ; et facit habentem eam in exstasin incidere. Propter argentum (98) ego perdidi filios meos ; et nisi pœnitentia carnis meæ, et humilitas animæ meæ et orationes Jacob patris mei (obstitissent), sine liberis morerer. Sed Deus patrum meorum, misericors et clemens, cognovit quod in ignorantia feci. Excæcavit enim me princeps erroris, et ignoravi, sicut homo, et sicut caro, in peccatis corruptus. Et co-

IϚ'. « Φυλάσσεσθε οὖν, τέκνα μου, τὸν ὅρον τοῦ οἴνου. Ἔστι γὰρ ἐν αὐτῷ τέσσαρα πνεύματα πονηρὰ· ἐπιθυμίας, πυρώσεως, ἀσωτίας, αἰσχροκερδείας. Ἐὰν πίνητε οἶνον ἐν εὐφροσύνῃ, μετὰ φόβου Θεοῦ αἰδούμενοι, ζήσεσθε. Ἐὰν γὰρ πίνητε μὴ αἰδούμενοι, καὶ ἀποστῇ ὁ τοῦ Θεοῦ φόβος, λοιπὸν γίνεται μέθη, καὶ παρεισέρχεται ἡ ἀναισχυντία. Εἰ δὲ μηδε ὅλως πίητε (94), ἵνα μὴ ἁμάρτητε ἐν λόγοις ὕβρεως, καὶ μάχης, καὶ συκοφαντίας, καὶ παραβάσεως ἐντολῶν Θεοῦ, καὶ ἀπολεῖσθε οὐκ ἐν καιρῷ ὑμῶν. Καίγε μυστήρια Θεοῦ καὶ ἀνθρώπων ἀλλοτρίοις ἀποκαλύπτει ὁ οἶνος (ὡς κἀγὼ ἐντολὰς Θεοῦ καὶ μυστήρια Ἰακὼβ τοῦ πατρός μου ἀπεκάλυψα τῇ Χαναντίτιδι Βησσουὲ) οἷς εἶπεν ὁ Θεὸς μὴ ἀποκαλύψαι. Καὶ δὲ πολέμου καὶ ταραχῆς αἴτιος γίνεται ὁ οἶνος.

IZ'. « Ἐντέλλομαι οὖν ὑμῖν, τέκνα μου, μὴ ἀγαπᾷν ἀργύριον, μηδὲ ἐμβλέπειν εἰς κάλλος γυναικῶν· ὅτι καίγε δι' ἀργύριον, καὶ δι' εὐμορφίαν ἐπλανήθην εἰς Βησσουὲ τὴν Χαναναίαν. Ὅτι οἶδα ἐγὼ, ὅτι διὰ τὰ δύο ταῦτα ἔσται τὸ γένος μου ἐν πονηρίᾳ· ὅτι καίγε σοφοὺς ἄνδρας τῶν υἱῶν μου ἀλλοιώσουσι, καὶ βασιλείαν Ἰούδα σμικρυνθῆναι ποιήσουσιν, ἣν ἔδωκέ μοι Κύριος ἐν ὑπακοῇ πατρός. Οὐδέποτε γὰρ ἐλύπησα λόγον Ἰακὼβ τοῦ πατρός (96) μου, ὅτι πάντα, ὅσα εἶπεν, ἐποίουν. Καὶ Ἀβραὰμ ὁ πατὴρ τοῦ πατρός μου εὐλόγησέ με, βασιλεύειν ἐν Ἰσραήλ· καὶ Ἰσαὰκ εὐλόγησέ με ὁμοίως. Καὶ ἐγὼ οἶδα, ὅτι ἐξ ἐμοῦ στήσεται τὸ βασίλειον.

IH'. « Καίγε ἔγνων ἐν βιβλίοις Ἐνὼχ τοῦ δικαίου, ὅσα κακὰ ποιήσετε ἐν ἐσχάταις ἡμέραις. Φυλάξασθε οὖν, τέκνα μου, ἀπὸ τῆς πορνείας καὶ τῆς φιλαργυρίας· ἀκούσατε Ἰούδα τοῦ πατρὸς ὑμῶν, ὅτι ταῦτα ἀφιστᾷ νόμου Θεοῦ, καὶ τυφλοῖ τὸ διαβούλιον τῆς ψυχῆς, καὶ ὑπερηφανίαν ἐκδιδάσκει, καὶ οὐκ ἀφίησιν ἄνδρα ἐλεῆσαι τοῦ πλησίον αὐτοῦ, στερίσκει τὴν ψυχὴν αὐτοῦ ἀπὸ πάσης ἀγαθωσύνης, καὶ συνέχει αὐτὸν ἐν μόχθοις καὶ πόνοις, καὶ ἀφιστᾷ ὕπνον αὐτοῦ, καταδαπανᾷ σάρκας αὐτοῦ, καὶ θυσίας Θεοῦ ἐμποδίζει, καὶ εὐλογίας οὐ μέμνηται (97), καὶ προφήτῃ λαλοῦντι οὐχ ὑπακούει, καὶ λόγῳ εὐσεβείας προσοχθίζει. Δυσὶ γὰρ πάθεσιν ἐναντίοις τῶν ἐντολῶν τοῦ Θεοῦ δουλεύων, Θεῷ ὑπακούειν οὐ δύναται, ὅτι ἐτύφλωσαν τὴν ψυχὴν αὐτοῦ, καὶ ἐν ἡμέρᾳ, ὡς ἐν νυκτὶ, πορεύεται.

IΘ'. « Τέκνα μου, ἡ φιλαργυρία πρὸς εἴδωλα ὁδηγεῖ, ὅτι ἐν πλάνῃ δι' ἀργυρίου τοὺς μὴ ὄντας θεοὺς ὀνομάζουσι· καὶ ποιεῖ τὸν ἔχοντα αὐτὴν εἰς ἔκστασιν ἐμπεσεῖν. Δι' ἀργυρίου ἐγὼ ἀπώλεσα τὰ τέκνα μου, καὶ εἰ μὴ ἡ μετάνοια τῆς σαρκός μου, καὶ ἡ ταπείνωσις τῆς ψυχῆς μου, καὶ αἱ εὐχαὶ Ἰακὼβ τοῦ πατρός μου, ἄτεκνος εἶχον ἀποθανεῖν. Ἀλλ' ὁ Θεὸς τῶν πατέρων μου, ὁ οἰκτίρμων καὶ ἐλεήμων, συνέγνω ὅτι ἐν ἀγνοίᾳ ἐποίησα. Ἐτύφλωσε γάρ με ὁ ἄρχων τῆς πλάνης, καὶ ἠγνόησα, ὡς ἄνθρωπος, καὶ ὡς σὰρξ (99), ἐν ἁμαρ-

(94) Εἰ δὲ μηδὲ ὅλως πίητε Corrige ex Oxon. cod. τί δὲ λέγω, μηδ' ὅλως πίνετε GRAB.

(95) *Si vero neque omnino bibetis. Quid vero dicam ? ne omnino bibatis.* ID.

(96) Λόγον Ἰακὼβ τοῦ πατρός. Ἰακὼβ τὸν πατέρα ID.

(97) Οὐ μεμνηται Θεοῦ οὐ μνημονεύει· ID.

(98) *Propter argentum.* Duo verba ista ad præcedentem periodum sunt referenda : si Græcum textum sequi velimus, in cujus utroque exemplari, tam Oxon. quam Cantab. post δι' ἀργυρίου est punctum ; melius vero, juxta hanc versionem. ID.

(99) Σάρξ, Omissum. ID.

τίαις φθαρείς. Καὶ ἐπέγνων τὴν ἐμαυτοῦ ἀσθένειαν, νομίζων ἀκαταμάχητος εἶναι.

Κ'. Ἐπίγνωτε οὖν (100) τέκνα μου, ὅτι δύο πνεύματα σχολάζουσι τῷ ἀνθρώπῳ, τὸ τῆς ἀληθείας, καὶ τὸ τῆς πλάνης· καὶ μέσον ἐστὶ τὸ τῆς συνέσεως τοῦ νοὸς, οὗ ἐὰν θέλῃ κλῖναι. Καίγε τὰ τῆς ἀληθείας, καὶ τὰ τῆς πλάνης, γέγραπται ἐπὶ τὸ στῆθος τοῦ ἀνθρώπου· καὶ ἓν ἕκαστον αὐτῶν γνωρίζει Κύριος. Καὶ οὐκ ἔστι καιρὸς, ἐν ᾧ δυνήσεται λαθεῖν ἀνθρώπων ἔργα, ὅτι ἐν στήθει ὀστέων αὐτὰ ἐγγέγραπται ἐνώπιον Κυρίου. Καὶ τὸ πνεῦμα τῆς ἀληθείας μαρτυρεῖ πάντα, καὶ κατηγορεῖ πάντων, καὶ ἐμπεπύρισται ὁ ἁμαρτήσας ἐκ τῆς ἰδίας καρδίας, καὶ ἆραι πρόσωπον οὐ δύναται πρὸς τὸν κριτήν.

ΚΑ'. « Καὶ νῦν, τέκνα μου, ἀγαπήσατε τὸν Λευΐ, ἵνα διαμείνητε· καὶ μὴ ἐπαίρεσθε ἐπ' αὐτὸν, ἵνα μὴ ἐξολοθρευθῆτε. Ἐμοὶ γὰρ ἔδωκε Κύριος τὴν βασιλείαν, κἀκείνῳ τὴν ἱερατείαν, καὶ ὑπέταξε τὴν βασιλείαν τῇ ἱερωσύνῃ. Ἐμοὶ ἔδωκε τὰ ἐπὶ τῆς γῆς, κἀκείνῳ τὰ ἐν οὐρανοῖς. Ὡς ὑπερέχει οὐρανὸς τῆς γῆς, οὕτως ὑπερέχει Θεοῦ ἱερατεία τῆς ἐπὶ γῆς βασιλείας (1). Καὶ γὰρ αὐτὸν ὑπὲρ σὲ ἐξελέξατο Κύριος ἐγγίζειν αὐτῷ, καὶ ἐσθίειν τράπεζαν αὐτοῦ, καὶ ἀπαρχὰς ἐντρυφημάτων υἱῶν Ἰσραήλ· καὶ ἔσῃ αὐτοῖς (2) ὡς ἡ θάλασσα. Ὥσπερ γὰρ ἐν αὐτῇ δίκαιοι καὶ ἄδικοι χειμάζονται, οἱ μὲν αἰχμαλωτιζόμενοι, οἱ δὲ πλουτοῦντες· οὕτως καὶ ἐν σοὶ πᾶν γένος ἀνθρώπων, οἱ μὲν κινδυνεύσιν αἰχμαλωτιζόμενοι, οἱ δὲ πλουτοῦσιν ἁρπάζοντες. Ὅτι οἱ βασιλεύοντες ἔσονται, ὡς κήτη, καταπίνοντες ἀνθρώπους, ὡς ἰχθύας· θυγατέρας καὶ υἱοὺς ἐλευθέρους καταδουλώσουσιν· οἴκους, ἀγροὺς, ποίμνια, χρήματα ἁρπάσουσι· καὶ πολλῶν σάρκας ἀδίκως κόρακες καὶ ἴβεις χορτάσουσι, καὶ προκόψουσιν ἐπὶ τὸ κακὸν ἐν πλεονεξίᾳ ὑψούμενοι. Καὶ ἔσονται ὡς καταιγίδες ψευδοπροφῆται, καὶ πάντας δικαίους διώξονται.

ΚΒ'. « Ἐπάξει δὲ αὐτοῖς Κύριος διαιρέσεις κατ' ἀλλήλων, καὶ πόλεμοι συνεχεῖς ἔσονται ἐν Ἰσραήλ, καὶ ἐν ἀλλοφύλοις συντελεσθήσεται ἡ βασιλεία μου, ἕως τοῦ ἐλθεῖν τὸ σωτήριον τῷ Ἰσραὴλ, ἕως παρουσίας τοῦ Θεοῦ τῆς δικαιοσύνης, τοῦ ἡσυχάσαι τὸν Ἰακὼβ ἐν εἰρήνῃ, καὶ πάντα τὰ ἔθνη. Καὶ αὐτὸς φυλάξει κράτος βασιλείας μου ἕως τοῦ αἰῶνος. Ὅρκῳ γὰρ ὤμοσέ μοι Κύριος, μὴ ἐκλείψειν τὸ βασίλειόν μου ἐκ τοῦ σπέρματός μου, πάσας τὰς ἡμέρας, ἕως τοῦ αἰῶνος.

ΚΓ'. « Πολλὴ δὲ λύπη μοί ἐστι, τέκνα μου, διὰ τὰς ἀσελγείας καὶ γοητείας, καὶ εἰδωλολατρείας, ἃς ποιήσετε εἰς τὸ βασίλειον, ἐγγαστριμύθοις ἀκολουθοῦντες, κληδόσι (3), καὶ δαίμοσι πλάνης. Τὰς θυγατέρας ὑμῶν μουσικὰς καὶ δημοσίας ποιήσετε, καὶ ἐπιμιγήσεσθε ἐν βδελύγμασιν ἐθνῶν· ἀνθ' ὧν ἄξει Κύριος ἐφ' ὑμᾶς λιμὸν, θάνατον καὶ ῥομφαίαν, ἐκδικοῦσαν πολιορκίαν, καὶ κύνας εἰς διασπασμὸν, ἐχθρῶν καὶ φίλων ὀνειδισμοὺς, ἀπώλειαν καὶ (4) σφακελισμὸν

gnoscebam tandem mei ipsius infirmitatem, qui existimassem me inexpugnabilem esse.

XX. « Cognoscite igitur, filii mei, quod duo spiritus vacant homini, spiritus veritatis, et spiritus erroris; et medius est spiritus intellectus mentis, cujus est, quo vult inclinare. Et quæ sunt veritatis, et quæ sunt erroris, scripta sunt super pectus hominis [18], et unumquoque eorum cognoscit Dominus. Et non est tempus, in quo poterunt latere hominum opera; quoniam ea in pectore ossium inscripta sunt coram Domino. Et spiritus veritatis testimonium perhibet de omnibus, et accusat omnia; et adustus est qui peccat ex proprio corde, et levare faciem non potest ad judicem.

XXI. « Et nunc, filii mei, diligite Levi, ut permaneatis; et non efferamini super ipsum, ut non dispereatis. Mihi enim dedit Dominus regnum, et illi sacerdotium, et subjecit regnum sacerdotio. Mihi dedit quæ in terra; illi vero, quæ sunt in cœlis. Ut supereminet cœlum terræ, ita supereminet Dei sacerdotium regno quod est in terra. Etenim ipsum supra te elegit Dominus appropinquare ipsi, et comedere mensam ipsius, et primitias deliciarum filiorum Israel: et eris eis ut mare. Quemadmodum enim in mari justi et injusti hiemant, hi quidem captivi facti, hi vero ditati: ita et in te omne genus hominum, hi quidem periclitantur in captivitatem acti, hi vero ditantur rapientes. Quoniam qui regnant erunt sicut cete, deglutientes homines velut pisces: filias et filios liberos in servitutem redigent; domos, agros, greges, pecunias rapient; et multorum carnibus injuste corvos et ibices saturabunt, et proficient in malum in avaritia exaltati. Et erunt ut procellæ pseudoprophetæ, et omnes justos persequentur.

XXII. « Inducet autem eis dominus divisiones inter se, et bella continua erunt in Israel, et in alienigenis consummabitur regnum meum, donec veniet salutare Israel, usque ad adventum Dei justitiæ, ut quiescat Jacob in pace, et omnes gentes Et ipse custodiet potestatem regni mei usque in sæculum. Juramento enim juravit mihi Dominus, non defecturum regnum meum e semine meo, omnibus diebus, usque in sæculum.

XXIII. « Multa autem tristitia mihi est filii mei, propter impudicitias, et sortilegia, et idololatrias, quas facietis in regnum, ventriloquos sequentes, divinationes et dæmonas erroris. Filias vestras cantatrices et publicas facietis, et immiscebimini abominationibus gentium; pro quibus ducet Dominus super vos famem et pestilentiam, mortem et gladium, ulciscentem obsidionem, et canes in dilaniationem, inimicorum et amicorum opprobria,

[18] Rom. II, 14, 15.

(100) Ἐπίγνωτε οὖν. Omissa integra hæc periodus. Id.

(1) Βασιλείας. Βασιλείας, ἐὰν μὴ δι' ἁμαρτίας ἐκπέσῃ Κυρίου, καὶ κυριευθῇ ὑπὸ ἐπιγείας, addit codex Oxon.

(2) Καὶ ἔσῃ αὐτοῖς. Add. σὺ δὲ ἔσῃ βασιλεὺς Ἰακώβ. Grab.

(3) Ἀκολουθοῦντες, κληδόσι. Ἐξακολουθοῦντες, omissa sequenti voce κληδόσι. Id.

(4) Καὶ κύνας εἰς διασπασμὸν, ἐχθρῶν καὶ φί-

perditionem et talem occulodum, puerorum occisionem, et uxorum ablationem, possessionum rapinam, terræ desolationem, templi Dei incendium, vestri ipsorum servitutem in gentibus ; et exscindent e vobis enuchos uxoribus suis, donec revertamini ad Dominum in integro corde, pœnitentes, et ambulantes in omnibus mandatis Dei, et visitet vos Dominus in misericordia, et reducat a captivitate inimicorum vestrorum.

XXIV. « Et post hæc orietur vobis astrum ex Jacob in pace, et exsurget homo ex semine meo, ut sol justitiæ, ambulans cum filiis hominum in mansuetudine et justitia, et quidquam peccati non invenientur in eo. Et aperientur super ipsum cœli, ad effundendum Spiritum, benedictionem Patris sancti : et ipse effundet spiritum gratiæ super vos, et eritis ei filii in veritate, et ambulabitis in præceptis illius primis et ultimis. Hic est germen Dei Altissimi, et hic est fons in vitam omnis carnis. Tunc refulgebit sceptrum regni mei, et a radice vestra nascetur propago ; et in eo ascendet virga justitiæ gentibus, ut judicet et salvet omnes invocantes Dominum.

XXV. « Et post hoc resurget Abraham, et Isaac, et Jacob in vitam ; et ego, et fratres mei principes, sceptrum vertrum in Israel erimus Levi primus, secundus ego, tertius Joseph, quartus Benjamin, quintus Simeon, sextus Isachar, et ita deinceps omnes. Et Dominus benedixit Levi ; angelus faciei me ; virtutes gloriæ Simeon ; cœlum Ruben ; Isachac terra ; mare Zabulon ; montes Joseph ; tabernaculum Benjamin ; luminaria Dan ; deliciæ Nepthalim ; sol Gad ; olivo Aser : et erit unus populus Domini, et lingua una ; et non erit amplius spiritus erroris Beliar, quoniam mittetur in ignem in sæculum. Et qui in tristitia mortui sunt, resurgent in gaudio ; et qui in pauperpate propter Dominum, ditabuntur ; et qui in inopia, saturabuntur ; et qui in infirmitate, fortificabuntur ; et qui propter Dominum mortui sunt, evigilabunt in vita. Et cervi Jacob current in exultatione, et aquilæ Israel volabunt in gaudio ; impii vero tristabuntur, et peccatores lugebunt, et omnes populi glorificabunt Dominum in sæcula.

XXVI. « Custodite igitur, filii mei, omnem legem Domini, quoniam spes est omnibus dirigentibus viam ejus. » Et dixit eis : « Centum decem et novem onnorum ego morior hodie in oculis vestris. Nemo me sepeliat in pretiosa veste, vel ventrem meum

A ὀφθαλμῶν, τήπίων ἀναίρεσιν, καὶ συμβίων ἀφαίρεσιν, ὑπαρχόντων ἀρπαγὴν (5), γῆς ἐρήμωσιν, ναοῦ Θεοῦ ἐμπυρισμὸν, ὑμῶν αὐτῶν δουλείαν ἐν ἔθνεσι· καὶ ἐκυεμοῦσιν ἐξ ὑμῶν εἰς εὐνούχους ταῖς γυναιξὶν αὐτῶν, ἕως ἂν ἐπιστρέψητε πρὸς Κύριον ἐν τελείᾳ καρδίᾳ, μεταμελούμενοι, καὶ πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ ἐπισκέψηται ὑμᾶς Κύριος ἐν ἐλέει, καὶ ἀναγάπῃ (6) ἀπὸ τῆς αἰχμαλωσίας τῶν ἐχθρῶν ὑμῶν.

ΚΔ'. « Καὶ μετὰ ταῦτα ἀνατελεῖ ὑμῖν ἄστρον ἐξ Ἰακὼβ ἐν εἰρήνῃ, καὶ ἀναστήσεται ἄνθρωπος ἐκ τοῦ σπέρματός μου, ὡς ὁ ἥλιος δικαιοσύνης συμπορευόμενος τοῖς υἱοῖς τῶν ἀνθρώπων ἐν πραότητι καὶ δικαιοσύνῃ, καὶ πᾶσα ἁμαρτία οὐχ εὑρεθήσεται ἐν αὐτῷ. Καὶ ἀνοιγήσονται ἐπ' αὐτὸν οἱ οὐρανοὶ, ἐκχέαι B Πνεῦμα, εὐλογίαν Πατρὸς ἁγίου· καὶ αὐτὸς ἐκχεεῖ πνεῦμα χάριτος ἐφ' ὑμᾶς, καὶ ἔσεσθε αὐτῷ εἰς υἱοὺς ἐν ἀληθείᾳ, καὶ πορεύσεσθε ἐν προστάγματι αὐτοῦ πρώτοις καὶ ἐσχάτοις (7). Οὗτος ὁ βλαστὸς Θεοῦ ὑψίστου, καὶ αὕτη ἡ πηγὴ εἰς ζωὴν πάσης σαρκός. Τότε ἀναλάμψει (8) σκῆπτρον βασιλείας μου, καὶ ἀπὸ τῆς ῥίζης ὑμῶν γενήσεται πυθμήν· καὶ ἐν αὐτῷ ἀναβήσεται ῥάβδος δικαιοσύνης τοῖς ἔθνεσι, κρῖναι καὶ σῶσαι πάντας τοὺς ἐπικαλουμένττς Κύριον.

ΚΕ'. « Καὶ μετὰ ταῦτα ἀναστήσεται Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, εἰς ζωήν· καὶ ἐγὼ, καὶ οἱ ἀδελφοί μου ἔξαρχοι, σκῆπτρον ἡμῶν (9) ἐν Ἰσραὴλ ἐσόμεθα. Λευὶ πρῶτος, δεύτερος ἐγὼ, τρίτος Ἰωσὴφ, τέταρτος Βενιαμὶν, πέμπτος Συμεὼν, ἕκτος Ἰσαχὰρ, καὶ οὕτως καθεξῆς πάντες. Καὶ Κύριος εὐλόγησε τὸν Λευί· ὁ ἄγγελος τοῦ προσώυου ἐμέ· αἱ δυνάμεις τῆς C δόξης τὸν Συμεών· ὁ οὐρανὸς τὸν Ῥουβήμ· τὸν Ἰσαχὰρ ἡ γῆ· ἡ θάλασσα τὸν Ζαβουλών· τὰ ὄρη τὸν Ἰωσήφ· ἡ σκηνὴ τὸν Βενιαμίν· οἱ φωστῆρες τὸν Δάν· ἡ τρυφὴ τὸν Νεφθαλείμ· ὁ ἥλιος τὸν Γάδ· ἐλαία τὸν Ἀσήρ· καὶ ἔσται εἰς λαὸς Κυρίου, καὶ γλῶσσα μία· καὶ οὐκ ἔσται ἔτι πνεῦμα πλάνης τοῦ Βελιὰρ, ὅτι ἐμβληθήσεται ἐν τῷ πυρὶ εἰς τὸν αἰῶνα. Καὶ οἱ ἐν λύπῃ τελευτήσαντες ἀναστήσονται ἐν χαρᾷ, καὶ οἱ ἐν πτωχείᾳ διὰ Κύριον, πλουτισθήσονται, καὶ οἱ ἐν πενίᾳ, χορτασθήσονται, καὶ οἱ ἐν ἀσθενείᾳ, ἰσχύσουσι, καὶ οἱ διὰ Κύριον ἀποθανόντες ἐξυπνισθήσονται ἐν ζωῇ. Καὶ οἱ ἔλαφοι Ἰακὼβ δραμοῦνται ἐν ἀγαλλιάσει, καὶ οἱ ἀετοὶ Ἰσραὴλ πετασθήσονται ἐν χαρᾷ· οἱ δὲ ἀσεβεῖς πενθήσουσι, καὶ ἁμαρτωλοὶ κλαύσονται, καὶ πάντες οἱ λαοὶ δοξάσουσι Κύριον εἰς D αἰῶνας.

ΚϚ'. « Φυλάξατε οὖν, τέκνα μου, πάντα τὸτ νόμον Κυρίου, ὅτι ἐλπίς ἐστιν πᾶσι τοῖς κατευθύνουσι τὴς ὁδὸν αὐτοῦ. Καὶ εἶπεν πρός αὐτούς· « ριθ' ἐτῶν ἀποθνήσκω ἐγὼ σήμερον ἐν ὀφθαλμοῖς ὑμῶν. Μηδείς με ἐνταφιάσῃ πολυτελεῖ ἐσθῆτι, ἢ ἀναῤῥήξοι τὴν κοι-

λων ὀνειισμοὺς ἀπώλειαν καί. Desunt omnia et loco sequentis vocis σφακελισμόν posita vox λήμην. Grab.

(5) Ὑπαρχόντων ἀρπαγήν. Desunt. Id.

(6) Ἀναγάπῃ, Αναγάγῃ, quæ lectio multo melior est, altera prorsus vitiosa. Neque enim ἀναγάπη uspiam alibi legitur ; nec sequens ἀπὸ ad aliquam vocem præcedentem referri potest. Id.

(7) Καὶ πορεύσεσθε ἐν προστάγματι αὐτοῦ πρώτοις καὶ ἐσχάτοις· Desunt in Oxionensi. Puto vero pro προστάγματι, legendum pluraliter προστάγμασι, ut sequentia verba indicant. Id.

(8) Τότε ἀναλάμψει. Omissa omnia usque ad δοξάσουσι Κύριον εἰς αἰῶνας, sive usque ad finem sequentis parsgraphi. Id.

(9(Ἡμῶν. Lego potius ὑμῶν. Id.

λίαν μου, ὅτι ταῦτα μέλλουσι ποιεῖν οἱ βασιλεύοντες. Καὶ ἀναγάγετέ με εἰς Χεβρὼν μεθ' ὑμῶν. » Καὶ ταῦτα εἰπὼν, ἐκοιμήθη Ἰούδας· καὶ ἐποίησαν οἱ υἱοὶ αὐτοῦ κατὰ πάντα, ὅσα ἐντείλατο αὐτοῖς, καὶ ἔθαψαν αὐτὸν ἐν Χεβρὼν μετὰ τῶν πατέρων αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Διαθήκη Ἰσαχὰρ, περὶ ἁπλότητος.

Α'. Ἀντίγραφον λόγων Ἰσαχάρ. Καλέσας τοὺς υἱοὺς αὐτοῦ, εἶπεν αὐτοῖς· « Ἀκούσατε, τέκνα, Ἰσαχὰρ τοῦ πατρὸς ὑμῶν, ἐνωτίσασθε ῥήματα ἠγαπημένοι (10) ὑπὸ Κυρίου. Ἐγὼ ἐτέχθην πέμπτος υἱὸς τῷ Ἰακὼβ, ἐν μισθῷ τῶν μανδραγόρων. Ἰακὼβ (11) γὰρ ἤνεγκε μανδραγόρους (12) ἐκ τοῦ ἀγροῦ, καὶ προαπαντήσασα Ῥαχὴλ ἔλαβεν αὐτούς (13). Ἔκλαιε δὲ Ῥουβὴμ, καὶ ἐπὶ τῇ φωνῇ αὐτοῦ ἐξῆλθε Λία ἡ μήτηρ μου. Ταῦτα δὲ ἦσαν μῆλα εὐώδημα (14), ἃ ἐποίει ἡ γῆ Ἀρὰμ ἐν ὕψει ὑποκάτω φάραγγος ὑδάτων. Εἶπε δὲ Ῥαχήλ· « Οὐ δώσω σοι αὐτὰ, ὅτι ἔσονταί μοι ἀντὶ τέκνων. » Ἦσαν δὲ μῆλα δύο. Καὶ εἶπε Λία· « Ἱκανούσθω σοι, ὅτι ἔλαβες τὸν ἄνδρα παρθενείας μου· μὴ καὶ ταῦτα λήψῃ; » Ἡ δὲ εἶπεν· « Ἰδοὺ, ἔστω σοι Ἰακὼβ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγόρων τοῦ υἱοῦ σου. » Εἶπε δὲ Λία πρὸς αὐτήν· « Μὴ καυχῶ, καὶ μὴ δοξάζου· ἐμὸς γάρ ἐστιν ὁ Ἰακὼβ, κἀγὼ γυνὴ νεότητος αὐτοῦ. » Ἡ δὲ Ῥαχὴλ εἶπε· « Τί οὖν; ὅτι ἐμοὶ πρῶτον (15) ἥρμοσται, καὶ δι' ἐμὲ ἐδούλευσε τῷ πατρὶ ἡμῶν ἔτη ιδ'. Τί σοι ποιήσω, ὅτι ἐπλήθυνεν ὁ δόλος καὶ ἡ πανουργία τῶν ἀνθρώπων, καὶ ὁ δόλος προχωρεῖ ἐπὶ τῆς γῆς; Εἰ δὲ μὴ, οὐκ ἂν ἧς σὺ ὁρῶσα πρόσωπον Ἰακώβ· οὐ γὰρ γυνὴ αὐτοῦ εἶ σὺ, ἀλλ' ἐν δόλῳ ἀντ' ἐμοῦ εἰσήχθης. Καὶ ἐπλάνησέ με ὁ πατήρ μου, καὶ μεταστήσας με τῇ νυκτὶ ἐκείνῃ, οὐκ εἴασέ με ἰδεῖν· ὅτι εἰ ἤμην ἐκεῖ, οὐκ ἐγίνετο τοῦτο. » Καὶ εἶπε Ῥαχήλ· « Λάβε ἕνα (16) μανδραγόραν, καὶ ἀντὶ τοῦ ἑνὸς ἐκμισθῶ (17) σοι αὐτὸν ἐν μιᾷ νυκτί. » Καὶ ἔγνω Ἰακὼβ τὴν Λίαν, καὶ συλλαβοῦσά με ἔτεκε· καὶ διὰ τὸν μισθὸν ἐκλήθην Ἰσαχάρ.

Β'. « Τότε ὤφθη τῷ Ἰακὼβ ἄγγελος Κυρίου, λέγων, ὅτι δύο τέκνα Ῥαχὴλ τέξεται, ὅτι διέπτυσε συνουσίαν ἀνδρὸς, καὶ ἐξελέξατο ἐγκράτειαν. Καὶ εἰ μὴ Λία ἡ μήτηρ μου ἀπέδω ἀντὶ συνουσίας τὰ δύο μῆλα, ὀκτὼ υἱοὺς εἶχε τεκεῖν· διὰ τοῦτο ἓξ ἔτεκε, τοὺς δὲ δύο Ῥαχὴλ, ὅτι ἐν μανδραγόραις ἐπεσκέψατο αὐτὴν ὁ Κύριος. Εἶδε γὰρ, ὅτι διὰ τέκνα ἤθελε συνεῖναι τῷ Ἰακὼβ, καὶ οὐ διὰ φιληδονίαν. Προσθεῖσα γὰρ καὶ τῇ ἐπαύριον ἀπέδοτο τὸν Ἰακὼβ, ἵνα λάβῃ καὶ τὸν ἄλλον μανδραγόραν (18). Διὰ τοῦτο ἐν τοῖς μανδραγόραις (19) ἐπήκουσε Κύριος τῆς Ῥαχήλ· ὅτι, καίγε ποθήσασα αὐτοὺς (20), οὐκ ἔφαγεν, ἀλλ' ἀνέθηκεν

rescindat, quoniam hæc facturi sunt regnantes. Et reducite me in Hebron vobiscum. » Et cum hæc dixisset, obdormivit Judas; et fecerunt filii ejus secundum omnia quæ mandavit eis, et sepelierunt eum in Hebron cum patribus suis.

CAPUT V.

Testamentum Isachar, de simplicitate.

I. Transcriptum verborum Isachar. Cum vocasset inios suos, dixit eis: « Audite filii Isachar patrem vestrum, auribus percipite verba dilecti a Domino. Ego sum natus quintus filius Jacob, in mercede mandragorarum. Ruben enim attulit mandragoras ex agro, et præobvians Rachel accepit eas. Flevit autem Ruben, et in voce ipsius exivit Lia mater mea. Mandragoræ autem erant mala odorifera, quæ producit terra Aram in excelso sub velle aquarum. Dixit autem Rachel: « Non dabo hæc tibi, quoniam erunt mihi pro filiis. » Erant autem mala duo. Et dixit Lia: « Sufficiat tibi, quoniam accepisti virum virginitatis meæ; num et hæc accipies? » Illa vero dixit: « Ecce, sit Jacob tibi nocte hac pro mandragoris filii tui. » Dixit autem ei Lia: « Ne jactes, et ne glorieris; meus enim est Jacob, et ego uxor juventutis ejus. » Rachel vero dixit: « Quid igitur? quoniam mihi primo copulatus est, et propter me servivit patri nostro annis quatuordecim. Quid tibi faciam, quoniam multiplicatus est dolus et astutia hominum, et dolus procedit in terra? Si autem secus esset, non utique tu videres faciem Jacob; non enim uxor ipsius tu es, sed in dolo pro me inducta es. Et seduxit me pater meus, et transferens me nocte illa, non permisit me videre; quoniam si fuissem illic, non factum fuisset hoc. » Et dixit Rachel: Accipe unam mandragoram, et pro una in mercedem do tibi eum in una nocte. » Et cognovit Jacob Liam, et concipiens me peperit; et propter mercedem vocatus sum Isachar.

II. « Tunc apparuit Jacob angelus Domini, dicens, quod duos filios Rachel pariet, quoniam respuit coitum viri, et elegit continentiam. Et nisi Lia mater mea pro coitu reddidisset duo mala, octo filios paritura fuisset; propter hoc sex peperit, duos vero Rachel, quoniam in mandragoris visitavit eam Dominus. Scivit enim, quod propter filios voluit coire cum Jacob, et non propter desiderium voluptatis. Apponens enim et in crastino reddidit Jacob, ut acciperet et aliam mandragoram. Propter hoc in mandragoris exaudivit Dominus Rachel; quoniam et desiderans eas, non comedit, sed

(10) Ἠγαπημένοι. Ἠγαπημένου. GRAB.

(11) Ἰακώβ. Ῥουβήμ: et quidem recte, unde et Latinam versionem correxi. ID.

(12) Μανδραγόρους. Μανδραγόραν. ID. — Μανδραγόρων et μανδραγόρους, nominum instar simplicium in *os* desinentium; sed paulo inferius leges μανδραγόραν et μανδραγόραις. In Vet Test. et apud profanos scriptores solummodo ὁ μανδραγόρας καὶ μανδραγόρης vel ἡ μανδραγόρα invenitur. Unde hoc in loco corrigendum puto: μανδραγορῶν et μανδραγόρας. DRACH.

(13) Αὐτούς. Αὐτήν. GRAB.

(14) Ταῦτα δὲ ἦσαν μῆλα εὐώδημα. Αὕτη δὲ ἦν μῆλα εὔοσμα. ID.

(15) Πρῶτον. Πρότερόν σου ID.

(16) Ἕνα. Μίαν. ID.

(17) Τοῦ ἑνὸς ἐκμισθῶ. Ταύτης ἐκμισθώσω· ID.

(18) Τὸν ἄλλον μανδραγόραν. Τὴν ἄλλην μανδραγόραν ID.

(19) Τοῖς μανδραγόραις. Ταῖς μανδραγόραις. ID.

(20) Αὐτούς. Αὐτάς. Sic et paulo post. ID.

reposuit eas in domo Domini, offerens sacerdoti A Altissimi, qui erat in tempore illo.

III. « Quando igitur factus sum vir, filii mei, ambulavi in rectudine cordis, et factus sum agricola patrum meorum, et fratrum meorum, et attuli fructus ex agris secundum tempus eorum, et benedixit mihi pater meus, videns quod in simplicitate ambulabam. Et non eram perscrutator in actibus meis, neque perniciosus et invidens proximo meo; non oblocutus sum alicui, neque vituperavi vitam hominis ambulans in simplicitate oculorum. Propter hoc triginta annorum accepi mihimet uxorem, quoniam labor devoraverat fortitudinem meam. Et non animadvertebam voluptatem mulieris, sed per laborem somnus meus circumdedit me, et semper gavisus est in simplicitate mea pater meus. Si B quid enim laborabam, omnem fructum et omne primum germen primum per sacerdotem Domino offerebam, deinde patri meo, et tunc ego (24). Et Dominus duplicavit bona in manibus meis. Scivit autem et Jacob, quod Deus cooperatur simplicitati meæ: omni enim pauperi et omni afflicto tribuebam terræ bona in simplicitate cordis.

IV. « Et nunc audite me, filii, et ambulate in simplicitate cordis, quoniam novi in ipsa omne beneplacitum Domini. Simplex aurum non concupiscit, proximum non circumvenit, cibos varios non appetit, vestem diversam non vult, tempora longa sibi non præscribit vivere, sed solum recipit voluntatem Dei; et spiritus erroris nil valebunt adversus eum. Non enim novit recipere pulchritu- C dinem mulieris, ut non in perversione coinquinet mentem suam; non zelus in consiliis ejus superveniet, non invidia liquefacit animam ejus, neque lucrum in insatiabilitate excogitat; sed ambulat in rectitudine vitæ, et omnia videt in simplicitate, non recipiens oculis malignitates ab errore mundi, ut non videat perverse aliquod mandatorum Dei.

V. « Custodite igitur, filii mei, legem Dei, et simplicitatem possidete, et in innocentia ambulate, non nimis curiose scrutantes mandata Domini, et proximi actiones; sed diligite Dominum et proximum, pauperis et infirmi miseremini. Supponite dorsum vestrum ad agrum colendum, et laborandum in operibus terræ, secundum unamquamque agriculturam dona cum gratiarum actione Domino offerentes; quoniam in primis germinibus fructuum D terræ benedixit tibi Dominus, sicut benedixit omnibus sanctis, ab Abel usque ad hoc tempus. Non enim datur tibi alia pars, quam pinguedinis terræ, cujus in doloribus sunt fructus; quoniam et pater noster Jacob in benedictionibus terræ et primitiarum fructuum benedixit mihi. Et Levi et Judas

A αὐτοὺς ἐν οἴκῳ Κυρίου, προσενέγκασα τῷ ἱερεῖ Ὑψίστου, τῷ ὄντι ἐν τῷ καιρῷ ἐκείνῳ.

Γ'. « Ὅτε οὖν ἡδρύνθην, τέκνα μου, ἐπορευόμην ἐν εὐθύτητι καρδίας, καὶ ἐγενόμην γεωργὸς τῶν πατέρων μου, καὶ τῶν ἀδελφῶν μου, καὶ ἔφερον καρποὺς ἐξ ἀγρῶν κατὰ καιρὸν αὐτῶν, καὶ εὐλόγησέ με ὁ πατήρ μου, βλέπων ὅτι ἐν ἁπλότητι πορεύομαι. Καὶ οὐκ ἤμην περίεργος ἐν ταῖς πράξεσί μου, οὐδὲ πονηρὸς (21) καὶ βάσκανος τῷ πλησίον μου· οὐ κατελάλησά τινος, οὐδὲ ἔψεξα βίον ἀνθρώπου, πορευόμενος ἐν ἁπλότητι ὀφθαλμῶν. Διὰ τοῦτο τριάκοντα (22) ἐτῶν ἔλαβον ἐμαυτῷ γυναῖκα, ὅτι ὁ κάματος κατήσθιε τὴν ἰσχύν μου· καὶ οὐκ ἐνενόουν ἡδονὴν γυναικὸς, ἀλλὰ διὰ τοῦ κόπου ὕπνος μοι περιεγένετο, καὶ πάντοτε ἔχαιρεν ἐπὶ τῇ ἁπλότητί μου ὁ πατήρ μου. B Εἴτι γὰρ ἔκαμνον, πᾶσαν ὀπώραν (23), καὶ πᾶν πρωτογέννημα πρῶτον διὰ τοῦ ἱερέως Κυρίῳ προσέφερον, ἔπειτα τῷ πατρί μου, καὶ τότε ἐγώ. Καὶ Κύριος ἐδιπλασίασε τὰ ἀγαθὰ ἐν χερσί μου. Ἤδει δὲ καὶ Ἰακὼβ, ὅτι ὁ Θεὸς συνεργεῖ τῇ ἁπλότητί μου· παντὶ γὰρ πένητι καὶ παντὶ θλιβομένῳ παρεῖχον τῆς γῆς τὰ ἀγαθὰ ἐν ἁπλότητι καρδίας.

Δ'. « Καὶ νῦν ἀκούσατέ μου, τέκνα, καὶ πορεύεσθε ἐν ἁπλότητι καρδίας, ὅτι εἶδον ἐν αὐτῇ πᾶσαν εὐαρέστησιν Κυρίου. Ὁ ἁπλοῦς χρυσίον οὐκ ἐπιθυμεῖ, τὸν πλησίον οὐ πλεονεκτεῖ, βρωμάτων ποικίλων οὐκ ἐφίεται, ἐσθῆτα διάφορον οὐ θέλει, χρόνους μακροὺς οὐχ ὑπογράφει ζῆν, ἀλλὰ μόνον ἐκδέχεται τὸ θέλημα τοῦ Θεοῦ· καίγε τὰ πνεύματα τῆς πλάνης οὐκ (25) ἰσχύσουσι πρὸς αὐτόν. Οὐ γὰρ εἶδεν ἐπιδέξασθαι κάλλος C θηλείας, ἵνα μὴ ἐν διαστροφῇ μιάνῃ τὸν νοῦν αὐτοῦ· οὐ ζῆλος ἐν διαβουλίοις αὐτοῦ ἐπελεύσεται· οὐ βασκανία ἐκτήκει ψυχὴν αὐτοῦ, οὐδὲ πορισμὸν (26) ἐν ἀπληστίᾳ ἐννοεῖ· πορεύεται δὲ ἐν εὐθύτητι ζωῆς (27), καὶ πάντα ὁρᾷ ἐν ἁπλότητι, μὴ ἐπιδεχόμενος ὀφθαλμοῖς πονηρίας ἀπὸ τῆς πλάνης τοῦ κόσμου, ἵνα μὴ ἴδῃ διεστραμμένως τι τῶν ἐντολῶν (28) τοῦ Κυρίου.¶

Ε'. « Φυλάξατε οὖν, τέκνα μου, νόμον Θεοῦ, καὶ τὴν ἁπλότητα κτήσασθε, καὶ ἐν ἀκακίᾳ πορεύεσθε, μὴ περιεργαζόμενοι ἐντολὰς Κυρίου, καὶ τοῦ πλησίον τὰς πράξεις· ἀλλ' ἀγαπᾶτε Κύριον καὶ τὸν πλησίον, πένητα καὶ ἀσθενῆ ἐλεήσατε. Ὑποτίθετε τὸν νῶτον ὑμῶν εἰς τὸ γεωργεῖν, καὶ ἐργάζεσθαι ἐν ἔργοις γῆς, καθ' ἑκάστην γεωργίαν δῶρα μετ' εὐχαριστίας Κυρίῳ προσφέροντες· ὅτι ἐν πρωτογεννήμασι καρπῶν γῆς εὐλό- D γησέ σε Κύριος, καθὼς εὐλόγησε πάντας τοὺς ἁγίους, ἀπὸ Ἄβελ ἕως τοῦ νῦν. Οὐ γὰρ δέδοταί σοι ἄλλη μερὶς, ἢ τῆς πιότητος τῆς γῆς, ἧς ἐν πόνοις οἱ καρποί· ὅτι καὶ ὁ πατὴρ ἡμῶν Ἰακὼβ ἐν εὐλογίαις γῆς καὶ ἀπαρχῶν καρπῶν εὐλόγησέ με. Καὶ ὁ Λευῒ καὶ ὁ Ἰούδα ἐδοξάσθησαν παρὰ Κυρίῳ ἐν υἱοῖς Ἰακώβ. Καὶ γὰρ ὁ Κύριος ἐκλήρωσεν ἐν αὐτοῖς, καὶ τῷ μὲν ἔδωκε

(21) Πονηρός. Φθονερός. Grab.
(22) Τριάκοντα. Πέντε, add. Grab.
(23) Ὀπώραν. Ὥραν. Id.
(24) *Et tunc ego*. Hic aliquid deesse videtur. Id.

(25) Οὐκ. Οὐδέν. Id.
(26) Πορισμόν. Περισπασμόν. Id.
(27) Ζωῆς. Ψυχῆς. Id.
(28) Διεστραμμένως τι τῶν ἐντολῶν. Διεστραμμένας τὰς ἐντολάς. Id.

τὴν ἱερατείαν, τῷ δὲ βασιλείαν. Αὐτοῖς ὑπακούσατε, καὶ τῇ ἁπλότητι τοῦ πατρὸς ὑμῶν περιπατήσατε· ὅτι καὶ τῷ Γὰδ ἐδόθη ἀπολέσαι τὰ πειρατήρια τὰ ἐπερχόμενα Ἰσραήλ.

ζ'· « Οἶδα δὲ, τέκνα μου, ὅτι ἐν ἐσχάτοις καιροῖς καταλείψουσιν οἱ υἱοὶ ἡμῶν (29) τὴν ἁπλότητα, καὶ κολληθήσονται τῇ ἀπληστίᾳ· καὶ ἀφέντες τὴν ἀκακίαν, προσπελάσουσι τῇ κακουργίᾳ, καὶ καταλιπόντες (30) τὰς ἐντολὰς Κυρίου, κολληθήσονται τῷ Βελιάρ· καὶ ἀφέντες τὰ γεώργιον, ἐξακολουθήσουσι τοῖς πονηροῖς διαβουλίοις αὐτῶν, καὶ διασπαρήσονται ἐν τοῖς ἔθνεσι, καὶ δουλεύσουσι τοῖς ἐχθροῖς αὐτῶν. Καὶ ὑμεῖς οὖν εἴπατε ταῦτα τοῖς τέκνοις ὑμῶν, ὅπως, ἐὰν ἁμαρτήσωσι (31), τάχιον ἐπιστρέψωσι πρὸς Κύριον· ὅτι ἐλεήμων ἐστὶ, καὶ ἐξελεῖται αὐτοὺς, τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν αὐτῶν (32).

Ζ'. » Ρκβ' ἐτῶν εἰμι ἐγώ· καὶ οὐκ ἔγνων ἐπ' ἐμὲ ἁμαρτίαν εἰς θάνατον· Πλὴν τῆς γυναικός μου, οὐκ ἔγνων ἄλλην· οὐκ ἐπόρνευσα ἐν μετεωρισμῷ ὀφθαλμῶν· οἶνον εἰς ἀποπλάνησιν οὐκ ἔπιον· πᾶν ἐπιθύμημα τοῦ πλησίον οὐκ ἐπόθησα· δόλος οὐκ ἐγένετο ἐν καρδίᾳ μου· ψεῦδος οὐκ ἀνῆλθε διὰ τῶν χειλέων μου Παντὶ ἀνθρώπῳ ὀδυνωμένῳ συνεστέναξα, καὶ πτωχῷ κετέδωκα τὸν ἄρτον μου. Θὐκ ἔφαγον μόνος· ὅριον οὐκ ἔλυσα, εὐσέβειαν ἐποίησα ἐν πάσαις ταῖς ἡμέραις ἐμοῦ, καὶ ἀλήθειαν (33). Τὸν Κύριον ἠγάπησα ἐν πάσῃ τῇ ἰσχύϊ μου ὁμοίως καὶ πάντα ἄνθρωπον ἠγάπησα, ὡς (34) τὰ τέκνα μου. Ταῦτα ποιήσατε καὶ ὑμεῖς, τέκνα μου καὶ πᾶν πνεῦμα τοῦ Βελιὰρ φεύξεται ἀφ' ὑμων, καὶ πᾶσα πρᾶξις πονηρῶν ἀνθρώπων οὐ κυριεύσει ὑμῶν. καὶ πάντο ἄγριον θῆρα καταδουλώσεσθε, ἔχοντας μεθ' ἑαυτῶν Θεὸν τοῦ οὐρανοῦ· συμπορευόμενοι τοῖς ἀνθρώποις ἐν ἁπλότητι καρδίας. » Καὶ ἐνετείλατο αὐτοῖς, ὅπως ἀνάγωσιν αὐτὸν ἐν Χεβρὼν, κακεῖ αὐτὸν θάψωσιν ἐν τῷ σπηλαίῳ μετὰ τῶν πατέρων αὐτοῦ· Καὶ ἐξέτεινε τοὺς πόδας, αὐτοῦ, καὶ ἀπέθανεν πέμπτος (35) ἐν γήρει καλῷ, πᾶν μέλος ἔχων ὑγιὲς, καὶ ἰσχύων ὕπνωσεν ὕπνον αἰώνιον.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Διαθήκη Ζαβουλὼν, περὶ εὐσπλαγχνίας καὶ ἐλέους.

Α'. Ἀντίγραφον Ζαβουλὼν, ὃ διέθετο τοῖς τέκνοις αὐτοῦ ἑκατοστῷ τεσσαρακοστῷ (36) καὶ δεκάτῳ ἔτει τῆς ζωῆς αὐτοῦ, μετὰ δύο ἔτη τοῦ θανάτου Ἰωσήφ. Καὶ εἶπεν αὐτοῖς· « Ἀκούσατέ μου, υἱοὶ Ζαβου-

A glorificati sunt a Domino in filiis Jacob. Etenim Deus hæreditatem assumpsit ex illis; et huic quidem dedit sacerdotium, huic vero regnum. Eis ergo obedite, et in simplicitate patris vestri ambulate; quoniam et Gad datum est perdere tentationes supervenientes Israel.

VI. « Novi vero, filii mei, quod in extremis temporibus derelinquent filii vestri simplicitatem et adhærebunt avaritiæ; et dimittentes innocentiam, appropinquabunt malignitati; et derelinquentes mandata Dei, adhærebunt Beliar; et dimittentes agriculturam, sequentur perniciosa consilia sua, et dispergentur in gentibus, et servient inimicis suis. Et vos igitur hæc dicite filiis vestris, ut si peccent, velociter revertantur ad Dominum; quoniam mi-
B sericors est, et eripiet eos, ut revertantur in terram suam.

VII. « Centum viginti duo annorum sum ego; et non cognovi super me peccatum in mortem. Præter uxorem meam, non cognovi aliam; non fornicatus sum in elatione oculorum; vinum in aberrationem non bibi; omne desiderabile proximi non desideravi; dolus non factus est in corde meo; mendacium non ascendit per labia mea. Omni homini dolore cruciato congemui, et pauperi dedi panem meum. Non comedi solus; terminum non solvi; pietatem feci in omnibus diebus meis, et veritatem. Dominum dilexi in tota fortitudine mea; similiter et omnem hominem dilexi, ut filios meos. Hæc et vos faciatis, filii mei, et omnis spiritus
C Beliar fugiet a vobis; et omnis actio perniciosorum hominum non dominabitur vobis; et omnem agrestem feram servituti subjicietis, habentes vobiscum Deum cœli; ambulantes cum hominibus in simplicitate cordis. » Et mandavit eis, ut reducant eum in Hebron, et illic eum sepeliant in spelunca cum patribus suis. Et extendit pedes suos, et mortuus est quintus (filius Liæ), in senectute bona, omne membrum habens sanum, et potens dormivit somnum perpetuum.

CAPUT VI.

Testamentum Zabulon, de commiseratione et misericordia.

I. Transcriptum Zabulon, quod disposuit filiis suis centesimo decimo quarto anno vitæ suæ, post
D duos annos mortis Joseph. Et dixit eis: « Audite me, filii Zabulon, attendite verbis patris vestri. Ego

(29) Ἡμῶν. Ὑμῶν puto legendum, uti Robertus legisse videtur; licet Oxoniensis pariter ac Cantabrigiensis codex habeat ἡμῶν. Id.

(30) Καταλιπόντες. Καταλιμπάνοντες. Id.

(31) Ἁμαρτήσωσι. Ἁμάρτωσι. Id.

(32) Τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν αὐτῶν. Desunt. Id.

(33) Εὐσέβειαν ἐποίησα ἐν πάσαις ταῖς ἡμέραις ἐμοῦ, καὶ ἀλήθειαν. Εὐσέβειαν ἐποίησα, ἐν πάσαις ταῖς ἡμέραις μου ἀλήθειαν ἐποίησα. Id.

(34) Ὡς. Ὑπέρ. Id.

(35) Πέμπτος· Deest. Id.

(36) Τεσσαρακοστῷ. Τετάρτῳ legendum, licet tam in Oxoniensi, quam Cantabrigiensi codice habeatur τεσσαρακοστῷ, quamvis in illo ultima pars hujus vocis deleta sit, quod error chronologicus deprehenderetur. Ruben enim frater natu maximus, eodem quo Zabulon anno, secundo scilicet post mortem Josephi, defunctus dicitur supra *Testam.* I, § 1. Atqui is ibidem mortuus dicitur 125 anno vitæ ipsius. Non igitur Zabulon, frater junior, annum 150 attingere potuit, sed utique 114 anno mortuus est, ut Latini codices, manuscripti pariter ac impressi, habent. Sed in his male 32, pro duobus annis positi sunt. Id.

sum Zabulon, datio bona genitoribus meis. Cum enim genitus essem, valde auctus est pater noster et gregibus et armentis, quando in variis virgis habuit sortem. Non novi, filii mei, quod peccavi in diebus meis, præterquam mente; neque recordor, quod iniquitatem feci, præter ignorantiam quam feci in Joseph, quoniam celavi cum fratribus meis, ut non dicerem patri meo quod factum erat. Et flevi multum in abscondito: timui enim fratres meos, quoniam conspirabant omnes simul, ut si quis revelaret mysterium, occiderent eum gladio. Verumtamen, quando volebant occidere eum, multa testificatus sum eis cum lacrymis, ut non facerent iniquitatem hanc.

II. « Venerunt enim Simeon et Gad in Joseph, ut occiderent eum; et cadens super faciem Joseph, dixit eis: « Misereminí mei, fratres mei, misereminí viscerum Jacob patris nostri. Ne injiciatis in me manus vestras, ad effundendum sanguinem innocentem, quoniam non peccavi in vos. Si vero peccavi, in disciplina erudite me; manum autem vestram ne inferatis propter Jacob patrem nostrum. » Ut autem dixit verba hæc, miseratione commotus sum, et incepi flere, et hepata mea resoluta sunt in me, et omnis subsistentia viscerum meorum laxata est super animam meam. Flevit autem et Joseph, et ego cum ipso, et intremuit cor meum, et juncturæ corporis mei expaverunt, et non potui stare. Et videns me flentem cum eo, et illos supervenientes ad occidendum eum, refugit post me, deprecans ipsos. Exsurgens autem Ruben dixit: « Fratres, ne occidamus eum, sed projiciamus eum in unum lacuum horum siccorum, quos foderunt patres nostri, et non invenerunt aquam. » Propter hoc enim prohibuit Dominus ascendere aquam in eis, ut fieret protectio Joseph. Et fecit Dominus ita, donec vendiderunt eum Ismaelitis.

III. « Etenim in pretio Joseph ego non communicavi (42), filii; sed Simeon, et Gad, et alii sex fratres nostri accipientes pretium Joseph, emerunt calceamenta sibi ipsis, et uxoribus suis, et filiis suis, dicentes: « Quoniam pretium sanguinis est fratris nostri hoc, ne comedamus ipsum, sed conculcatione conculcemus ipsum, pro eo quod dixit, se regnaturum super nos; et videamus quid portendant somnia ejus. » Propter hoc in scripturis legis Enoch scriptum est, non volenti suscitare

A λὼν (37) προσέχετε ῥήμασι πατρὸς ὑμῶν. Ἐγώ εἰμι Ζαβουλὼν, δόσις ἀγαθὴ (38) τοῖς γονεῦσί μου. Ἐν γὰρ τῷ γεννηθῆναί με ηὐξήθη ὁ πατὴρ ἡμῶν ἕως σφόδρα, καὶ τὰ ποίμνια, καὶ τα βουκόλια, ὅτε ἐν ταῖς ποικίλαις ῥάβδοις εἶχε τὸν κλῆρον. Οὐκ ἔγνων, τέκνα μου, ὅτι ἥμαρτον ἐν ταῖς ἡμέραις, παρεκτὸς ἐννοίας· οὐδὲ μιμινήσκομαι, ὅτι παρανομίαν ἐποίησα, πλὴν τὴν ἄγνοιαν, ἣν ἐποίησα ἐπὶ Ἰωσὴφ, ὅτι ἐσκέπασα (39) ἐπὶ τοῖς ἀδελφοῖς μου, μὴ εἰπεῖν τῷ πατρί μου τὸ γενόμενον. Καὶ ἔκλαιον πολλὰ ἐν κρυφῇ· ἐφοβούμην γὰρ τοὺς (40) ἀδελφούς μου, ὅτι συνέθεντο πάντες ὁμοῦ, εἴτις ἐξείπῃ τὸ μυστήριον, ἀναιρεθῆναι αὐτὸν μαχαίρᾳ. Πλὴν δὲ, ὅτε ἐβούλοντο ἀνελεῖν, αὐτὸν, πολλὰ διεμαρτυράμην αὐτοῖς μετὰ δακρύων, τοῦ μὴ ποιῆσαι τὴν ἀνομίαν ταύτην.

B Β' « Ἦλθον γὰρ Συμεὼν καὶ Γὰδ ἐπὶ τὸν Ἰωσὴφ, τοῦ ἀνελεῖν αὐτόν· καὶ πεσὼν ἐπὶ πρόσωπον Ἰωσὴφ, ἔλεγεν αὐτοῖς· « Ἐλεήσατέ με, ἀδελφοί μου, οἰκτειρήσατε σπλάγχνα Ἰακὼβ τοῦ πατρὸς ἡμῶν. Μὴ ἐπαγάγητε ἐπ' ἐμὲ τὰς χεῖρας ὑμῶν, τοῦ ἐκχέαι αἷμα ἀθῶον, ὅτι οὐχ ἥμαρτον εἰς ὑμᾶς. Εἰ δὲ ἥμαρτον, ἐν παιδείᾳ παιδεύσατέ με· τὴν δὲ χεῖρα ὑμῶν μὴ ἐπενέγκατε διὰ Ἰακὼβ τὸν πατέρα ἡμῶν. » Ὡς δὲ ἔλεγε τὰ ῥήματα ταῦτα, εἰς οἶκτον ἦλθον ἐγὼ, καὶ ἠρξάμην κλαίειν, καὶ τὰ ἥπατά μου ἐξελύθησαν ἐπ' ἐμὲ, καὶ πᾶσα ἡ ὑπόστασις τῶν σπλάγχνων ἐχαυνοῦτο ἐπὶ τὴν ψυχήν μου. Ἔκλαιε δὲ και Ἰωσὴφ, κἀγὼ σὺν αὐτῷ, καὶ ἐδόμβει ἡ καρδία μου, καὶ οἱ ἁρμοὶ τοῦ σώματός μου ἐξέστησαν, καὶ οὐκ ἠδυνάμην στῆναι. Καὶ ἰδών με συγκλαίοντα αὐτῷ, κακείνους ἐπερχομένους ἀνελεῖν αὐτὸν, κατέφυγεν ὀπίσω μου, δεόμενος αὐτῶν.
C Ἀναστὰς δὲ Ῥουβὴμ εἶπεν· « Ἀδελφοί, μὴ ἀποκτείνωμεν αὐτον, ἀλλὰ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων τῶν ξηρῶν τούτων, ὧν ὤρυξαν οἱ πατέρες ἡμῶν, καὶ οὐχ εὗρον ὕδωρ. « Διὰ γὰρ τοῦτο ἐκώλυσε Κύριος ὕδωρ ἀναβῆναι ἐν αὐτοῖς, ἵνα γένηται περιποίησις τῷ Ἰωσήφ. Καὶ ἐποίησε Κύριος οὕτως, ἕως οὗ αὐτὸν τοῖς Ἰσμαηλίταις ἐπώλησαν.

Γ'. « Καὶ γὰρ τῆς τιμῆς (41) τοῦ Ἰωσὴφ ἐγὼ οὐκ ἐκοινώνησα, τέκνα, ἀλλὰ Συμεὼν, καὶ Γὰδ, καὶ οἱ ἀδελφοὶ ἓξ (43) ἄλλοι ἡμῶν λαβόντες τὴν τιμὴν τοῦ Ἰωσὴφ, ἐπριάσαντο ὑποδήματα ἑαυτοῖς, καὶ ταῖς γυναιξὶν, αὐτῶν, καὶ τοῖς τέκνοις αὐτων, εἰπόντες· « Ὅτι τιμὴ αἵματός ἐστιν ἀδελφοῦ ἡμῶν αὕτη, οὐ φαγώμεθα αὐτὴν, ἀλλὰ καταπατήσει καταπατήσωμεν αὐτὴν, ἀνθ' ὧν εἶπε βασιλεύειν (44) ἐφ' ἡμᾶς· καὶ
D ἴδωμεν, τί ἐστι τὰ ἐνύπνια αὐτοῦ. » Διὰ τοῦτο ἐν γραφῇ νόμου Ἐνὼχ γέγραπται (45), τὸν μὴ θέλοντα σπέρμα

(37) Υἱοὶ Ζαβουλών. Λόγων add. GRAB.

(38) Δόσις ἀγαθή. Alludit ad verba matris Liæ, quæ protulisse dicitur, quando eum enixa erat, Genes. XXX, 20: *Bonam portionem largitus est mihi Deus: etiam hac vice habitabit maritus meus mecum, eo quod genuerim ei sex filios: et idcirco appellavit nomen ejus Zabulon.* Consule interpretes in hunc locum. ID.

(39) Ἐσκέπασα. Ἐβεβαίωσα. ID.

(40) Καὶ ἔκλαιον πολλὰ ἐν κρυφῇ· ἐφοβούμην γὰρ τούς, Ἀλλ' ἔκλαιον κρυφῇ ἡμέρας πολλὰς περὶ Ἰωσήφ· καὶ ἐφοβούμην τούς. ID.

(41) Τῆς τιμῆς. Τὸ τίμημα. ID.

(42) *Communicavi.* Id est nullam partem ejus accepi. ID.

(43) Ἀδελφοὶ ἕξ. Ἕξ ἀδελφοί. ID.

(44) Βασιλεύειν. Ὅτι βασιλεύσει. ID.

(45) Ἐν γραφῇ νόμου Ἐνὼχ γέγραπται. Idem legitur Deuteronomii XXV, 7 seq. ac proinde notanda convenientia inter legem Moysis, et eam quæ Enocho auctori ascripta est. Cæterum quod Christus de circumcisione dixit Joan. VII, 22, eam non ex Moyse, sed ex patribus esse, id de præcepto quoque suscitandi fratri seminis verum esse colligitur ex Genes. XXXVIII, 9; adeoque nec vero est absimile ritum calcei detrahendi et exspuendi in

ἀναστῆσαι τῷ ἀδελφῷ αὐτοῦ, ὑπολυθήσεσθαι (46) τὸ A ὑπόδημα, καὶ ἐμπτύεσθαι εἰς τὸ πρόσωπον. Καὶ οἱ ἀδελφοὶ Ἰωσὴφ οὐκ ἠθέλησαν εἰς (47) ζωὴν ἀδελφοῦ αὐτῶν· καὶ Κύριος ὑπέλυσεν αὐτοῖς τὸ ὑπόδημα Ἰωσὴφ (48). Καὶ γὰρ ἐλθόντες ἐν Αἰγύπτῳ, ὑπελύθησαν ὑπὸ τῶν παίδων Ἰωσὴφ, κατὰ τὸν τύπον τοῦ Φαραώ (50). Οὐ μόνον δὲ προσεκύνησαν αὐτῷ, ἀλλὰ καὶ ἐνεπτύσθησαν, παραχρῆμα πεσόντες ἔμπροσθεν αὐτοῦ· καὶ οὕτως ᾐσχύνθησαν ἔμπροσθεν τῶν Αἰγυπτίων. Μετὰ ταῦτα γὰρ ἤκουσαν οἱ Αἰγύπτιοι πάντα τὰ κακὰ ἃ ἐποιήσαμεν τῷ Ἰωσήφ.

Δ΄. « **Μετὰ ταῦτα ἔβαλον ἐσθίειν ἐκεῖνοι.** Ἐγὼ γὰρ δύο ἡμέρας καὶ δύο νύκτας οὐκ ἐγευσάμην, σπλαγχνιζόμενος ἐπὶ Ἰωσήφ. Καὶ Ἰούδας οὐ συνέτρωγεν αὐτοῖς· προσεῖχε δὲ τῷ λάκκῳ, ὅτι ἐφοβεῖτο, μὴ ἀποπηδήσαντες Συμεὼν καὶ Γὰδ ἀνέλωσιν αὐτόν. B Καὶ ὁρῶντες κἀμὲ μὴ ἐσθίοντα, ἔθεντό με τηρεῖν αὐτὸν, ἕως οὗ ἐπράθη. Ἐποίησε δὲ ἐν τῷ λάκκῳ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, καὶ οὕτως ἐπράθη ἄσιτος. Καὶ ἀκούσας Ῥουβὴν, ὅτι ἐπράθη ἀπόντος αὐτοῦ, περισχισάμενος ἐθρήνει, λέγων· Πῶς ὄψομαι τὸ πρόσωπον Ἰακὼβ τοῦ πατρός μου; Καὶ λαβὼν τὸ ἀργύριον, κατέδραμε (51) τοῖς ἐμπόροις, καὶ οὐδὲν (52) εὗρεν· ἀφέντες γὰρ τὴν ὁδὸν τὴν μεγάλην, ἐπορεύθησαν διὰ τρωγλοκολπητῶν (53) ἐν τῇ συντόμῳ· καὶ οὐκ ἔφαγε Ῥουβὴμ (54) ἄρτον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Προσελθὼν οὖν ὁ Δὰν εἶπεν αὐτῷ· « Μὴ κλαῖε, μηδὲ πένθει· εὗρον γὰρ τί εἴπωμεν τῷ πατρὶ ἡμῶν Ἰακώβ. Θύσομεν (55) χίμαρρον αἰγῶν, καὶ ἐμβάψομεν τὸν χιτῶνα Ἰωσὴφ, καὶ ἐροῦμεν· Ἐπίγνωθι, εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν οὗτος (56)· » τὸν γὰρ χιτῶνα τοῦ πατρὸς ἡμῶν ἐξέδυσαν τὸν Ἰω- C σὴφ ἐν τῷ μέλλειν πιπράσκειν αὐτὸν, καὶ ἐνέδυσαν αὐτὸν ἱμάτιον παλαιὸν δούλου. Τὸν δὲ χιτῶνα εἶχε Συμεὼν, καὶ οὐκ ἤθελε δοῦναι αὐτὸν, θέλων τῇ ῥομφαίᾳ αὐτοῦ κατακόψαι αὐτὸν, ὀργιζόμενος, ὅτι ἔζησε, καὶ οὐκ ἀνεῖλεν αὐτόν. Ἀναστάντες δὲ κατ' αὐτοῦ πάντες ὁμοῦ, εἴπομεν· « Ὅτι ἐὰν μὴ δῷς, ἐροῦμεν, ὅτι σὺ μόνος ἐποίησας τὸ πονηρὸν ἐν Ἰσραὴλ (57). » Καὶ οὕτως δίδωσιν αὐτὸν, καὶ ἐποίησαν, καθὼς εἶπεν ὁ Δάν.

Ε΄. « Καὶ νῦν, τέκνα μου, ἀναγγέλλω ὑμῖν τοῦ φυλάσσειν τὰς ἐντολὰς Κυρίου, καὶ ποιεῖν ἔλεος ἐπὶ τὸν πλησίον, καὶ εὐσπλαγχνίαν ἔχειν πρὸς πάντας, οὐ μόνον εἰς ἀνθρώπους, ἀλλὰ καὶ εἰς ἄλογα. Διὰ γὰρ ταῦτα εὐλόγησέ με Κύριος, καὶ, πάντων τῶν ἀδελφῶν μου ἀσθενούντων, ἐγὼ ἄνοσος παρῆλθον· D οἶδε γὰρ Κύριος ἑκάστου τὴν προαίρεσιν. Ἔχετε οὖν ἔλεος ἐν τοῖς σπλάγχνοις ὑμῶν, τέκνα μου, ὅτι ὡς ἄν τις ποιήσῃ τῷ πλησίον αὐτοῦ, οὕτως καὶ ὁ

semen fratri suo, solvendum calceamentum, et conspuendum in faciem. Et fratres Joseph non voluerunt vitam fratris eorum : Et Dominus solvit eis calceamentum Joseph ante portam (49), et ita adoraverunt Joseph. Etenim venientes in Ægyptum, soluti sunt a pueris Joseph, secundum typum Pharaonis. Non solum autem adoraverunt eum, sed etiam consputi sunt, confestim procidentes coram eo : et sic confusi sunt coram Ægyptiis. Post hæc enim audierunt Ægyptii omnia mala quæ fecimus Joseph.

IV. « Post hæc apposuerunt illi (fratres) cibum, **ut comederent.** Ego enim per duos dies et duas noctes non gustavi (cibum), **miseratus** Joseph. Et Judas non comedit cum eis ; **intendebat autem** in lacum, quoniam timebat, ne resilientes Simeon et Gad interficerent eum. Et videntes me non comedentem, posuerunt me custodire ipsum, quousque venditus est. Fuit autem in lacu tres dies et tres noctes, et ita venditus est impastus. Et audiens Ruben, quod venditus esset absente eo, circumscissus plorabat, dicens : Quomodo videbo faciem Jacob patris mei ? Et accipiens argentum cucurrit ad mercatores, et neminem invenit : dimittentes enim viam magnam, ambulaverunt per asperos sinus in via compendiaria : et non comedit Ruben panem in die illa. Accedens igitur Dan dixit ei : « Ne fleas, neque tristeris ; inveni enim quid dicamus patri nostro Jacob. Occidemus hircum caprorum, et tingemus tunicam Joseph, et dicemus : Cognosce, si tunica filii tui sit ista ; » tunica enim patris nostri exuerunt Joseph, cum vendituri essent eum, et induerunt eum vestimentum vetus servi. Tunicam vero habuit Simeon, et noluit dare eam, volens gladio suo discindere eam, iratus quod viveret, et non occidisset eum. Exsurgentes autem adversus eum omnes simul diximus : « Quod si non des, dicimus, quod tu solus fecisti hoc malum in Israel. » Et ita dedit eam ; et fecerunt, sicut dixit Dan.

V. « Et nunc, filii mei, annuntio vobis custodire mandata Domini, et facere misericordiam in proximum, et viscera commiserationis ad omnes habere, non solum ad homines, sed et ad irrationalia. Propter hæc enim benedixit mihi Dominus, et, omnibus fratribus meis ægrotantibus, ego sine ægritudine evasi ; novit enim Dominus uniuscujusque propositum. Habete ergo misericordiam in visceribus vestris, filii mei, quoniam ut aliquis

faciem ejus, qui fratris nomen propagare recusaverit, jam olim usitatum fuisse ; sicut alia excalceatio, qua propinquus alteri suo cedebat, mos antiquus in Israel fuisse dicitur, Ruth. IV, 7. Id.

(46) Ὑπολυθήσεσθαι. Ὑποδήσεσθαι male. Id.

(47) Εἰς. Omissum. Id.

(48) Ἰωσήφ. Ὃ ἐφόρεσαν κατὰ Ἰωσὴφ τοῦ ἀδελφοῦ αὐτῶν. Id.

(49) *Portam. Atrium*, Josephi scilicet ; hoc enim vox πυλών denotat Id. — Vide notam sequentem.

(50) **Κατὰ τὸν τύπον τοῦ Φαραώ. Adde ex Oxon.** ἔμπροσθεν τοῦ πυλῶνος, καὶ οὕτως προσεκύνησαν τῷ Ἰωσήφ. Id.

(51) Κατέδραμε. Καὶ καταδραμών. Id.

(52) Οὐδέν. Forte οὐδένα, quamvis et Oxoniensis codex habeat οὐδέν. Ms. Trin. οὐδένα. Id.

(53) Τρωγλοκολπητῶν. Τρωγλοδυτῶν. Id.

(54) Ἔφαγε Ῥουβήμ. Ἔφαγον, omisso Ῥουβήμ. Id.

(55) Θύσομεν. Μαχαίρᾳ add. Id.

(56) Οὗτος. Add. Καὶ ἐποίησαν οὕτως. Id.

(57) Ἐν Ἰσραήλ. Ἐνώπιον Κυρίου. Id.

faciet proximo suo, ita et Dominus faciet ei. Etenim filii fratrum meorum ægrotabant, moriebantur propter Joseph, quoniam non fecerunt misericordiam in visceribus suis; filii autem mei sine ægritudine custoditi sunt, sicut novistis. Et quando eram in Chanaan, in littore venatus sum venatione piscium Jacob patri meo; et multis suffocatis in mari, ego illæsus permansi.

VI. « Primus ego feci scapham in mari navigare, quoniam Dominus dedit mihi intellectum et sapientiam in ipsa: et dimisi lignum post ipsam, et velum extendi in ligno recto, in medio; et in ipsa perambulans littora, piscabar pisces domui patris mei, usquequo venimus in Ægyptum: et ex venatione mea omni homini peregrino miseratus dabam. Si vero erat peregrinus, vel ægrotans, vel senex, coquens pisces, et bene ea (eos) apparans, secundum uniuscujusque necessitatem afferebam omnibus, colligens et compatiens. Propter hoc et Dominus multos pisces fecit me venari. Qui enim tribuit proximo, accipit multiplicata a Domino. Quinque annis piscatus sum, omni homini quem videram tribuens, et omni domui patris mei sufficiens. In æstate piscabar; in hieme autem pascebam gregem cum fratribus meis.

VII. « Nunc annuntiabo vobis quæ feci. Videbam afflictum in nuditate hiemis; et ipsius misertus, furatus vestimentum ex domo mea abscondite, dedi afflicto. Et vos igitur, filii mei, ex his quæ tribuit vobis Deus, indifferenter omnium miserentes, misericordiam facite, et tribuite omni homini in bono corde. Si vero non habetis in occasione dare indigenti, compatiamini in visceribus misericordiæ. Novi quod manus mea non invenit in præsens tribuere indigenti, et amplius septem stadiis ambulans cum ipso, flebam; et viscera mea versa sunt super ipsum in compassionem.

VIII. « Et vos igitur, filii mei, habete viscera compassionis in omnem hominem in misericordia, ut et Deus vobis propitius misereatur vestri quoniam et in extremis diebus Deus mittet misericordiam suam in terram: et ubi invenerit viscera misericordiæ, in ipso habitabit. Quantum enim homo miseretur proximi, tantum Deus ipsius. Quando enim descendimus in Ægyptum, Joseph non recordatus est mali in nos; me vero videns, misertus est. In quem inspicientes et vos, immemores malorum efficiamini, filii mei, et diligite vosmet invicem, et ne animadvertatis unusquisque mali-

A Κύριος ποιήσει αὐτῷ. Καὶ γὰρ οἱ υἱοὶ τῶν ἀδελφῶν μου ἠσθένουν, ἀπέθνησκον διὰ Ἰωσὴφ, ὅτι οὐκ ἐποίησαν ἔλεος ἐν σπλάγχνοις αὐτῶν· οἱ δὲ υἱοί μου ἄνοσοι διεφυλάχθησαν, ὡς οἴδατε. Καὶ ὅτε ἤμην ἐν τῇ (58) Χαναὰν, εἰς παράλιον ἐθήρευον θήραν ἰχθύων (59) Ἰακὼβ τῷ πατρί μου· καὶ πολλῶν ἀγχομένων ἐν τῇ θαλάσσῃ, ἐγὼ ἀβλαβὴς διέμεινα.

ϛ'. « Πρῶτος ἐγὼ ἐποίησα σκάφος (60) ἐπιπλέειν ἐν τῇ θαλάσσῃ, ὅτι Κύριος ἔδωκέ μοι σύνεσιν καὶ σοφίαν ἐν αὐτῷ· καὶ καθῆκα ξύλον ὄπισθεν αὐτοῦ, καὶ ὀθόνην ἐξέτεινα ἐν ξύλῳ ὀρθῷ ἐν μέσῳ· καὶ ἐν αὐτῷ διαπορευόμενος τοὺς αἰγιαλοὺς, ἡλίευον ἰχθύας οἴκῳ πατρός μου, ἕως ἤλθομεν εἰς Αἴγυπτον· καὶ ἐκ τῆς θήρας μου παντὶ ἀνθρώπῳ ξένῳ σπλαγχνιζόμενος ἐδίδουν. Εἰ δὲ ἦν ξένος, ἢ νοσῶν, ἢ γηράσας, B ἑψήσας τοὺς ἰχθύας, καὶ ποιήσας αὐτὰ ἀγαθῶς, κατὰ τὴν ἑκάστου χρείαν προσέφερον πᾶσι, συνάγων καὶ συμπάσχων. Διὰ τοῦτο καὶ ὁ Κύριος πολὺν ἰχθὺν ἐποίησέ με θηρᾷν. Ὁ γὰρ μεταδιδοὺς τῷ πλησίον λαμβάνει πολλαπλασίονα παρὰ Κυρίου. Πέντε ἔτη ἡλίευσα, παντὶ ἀνθρώπῳ, ὃν ἑωράκειν, μεταδιδοὺς, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός μου ἐξαρκῶν. Τὸ θέρος ἡλίευον, καὶ ἐν χειμῶνι ἐποίμαινον μετὰ τῶν ἀδελφῶν μου.

Ζ'. « Νῦν ἀναγγελῶ ὑμῖν (61). ἃ ἐποίησα. Εἶδον θλιβόμενον ἐν γυμνότητι χειμῶνος, καὶ σπλαγχνισθεὶς ἐπ' αὐτὸν, κλέψας ἱμάτιον ἐκ τοῦ οἴκου μου κρυφαίως, ἔδωκα τῷ θλιβομένῳ. Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἐξ ὧν παρέχει ὑμῖν ὁ Θεὸς, ἀδιακρίτως πᾶσι σπλαγχνιζόμενοι ἐλεεῖτε (62), καὶ παρέχετε παντὶ C ἀνθρώπῳ ἐν ἀγαθῇ καρδίᾳ. Εἰ δὲ μὴ ἔχετε πρὸς καιρὸν δοῦναι τῷ χρήζοντι, συμπάσχετε ἐν σπλάγχνοις ἐλέους. Οἶδα ὅτι ἡ χείρ μου οὐχ εὗρε πρὸς τὸ παρὸν ἐπιδοῦναι τῷ χρήζοντι, καὶ ἔτι ἐπτὰ σταδίους συμπορευόμενος αὐτῷ, ἔκλαιον· καὶ τὰ σπλάγχνα μου ἐτρέφετο (63) ἐπ' αὐτῷ εἰς συμπάθειαν.

Η'. « Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἔχετε εὐσπλαγχνίαν κατὰ παντὸς ἀνθρώπου ἐν ἐλέει, ἵνα καὶ ὁ Κύριος εἰς ὑμᾶς σπλαγχνισθεὶς ἐλεήσῃ ὑμᾶς· ὅτι καίγε ἐπ' ἐσχάτων ἡμερῶν ὁ Θεὸς ἀποστέλλει τὸ σπλάγχνον αὐτοῦ ἐπὶ τῆς γῆς, καὶ ὅπου εὕρῃ σπλάγχνα ἐλέους, ἐν αὐτῷ κατοικεῖ. Ὅσον γὰρ ἄνθρωπος σπλαγχνίζεται εἰς τὸν πλησίον, τοσοῦτον Κύριος εἰς αὐτόν. Ὅτε γὰρ κατήλθομεν εἰς Αἴγυπτον, Ἰωσὴφ D οὐκ ἐμνησικάκησεν εἰς ἡμᾶς· ἐμὲ δὲ ἰδὼν, ἐσπλαγχνίσθη. Εἰς ὃν ἐμβλέποντες καὶ ὑμεῖς, ἀμνησίκακοι γίνεσθε, τέκνα μου, καὶ ἀγαπᾶτε ἀλλήλους, καὶ μὴ λογίζεσθε ἕκαστος τὴν κακίαν τοῦ ἀδελφοῦ αὐτοῦ (64)·

(58) Τῇ. Γῇ. Grab.
(59). Θήρᾳ ἰχθύων. Θήραν. Id.
(60) Πρῶτος ἐγὼ ἐποίησα σκάφος· Zabulon itaque connumerandus variis heroibus, qui se inventores artis nauticæ fuisse jactarunt, vel ab aliis tales crediti sunt; et addendus iis, quos Polydorus Vergilius lib. III *De inventoribus rerum*, cap. 15, Salmuthus in Pancirolum tit. XI *De Pyxidecula nautica*, et Cornelius a Lapide aliique commentatores in *Sapientiæ Salomonis cap.* XIV, *v.* 1 seqq. nominarunt. Ex quibus patebit, Zabulone antiquiorem esse artem nauticam, ejusque originem ad Noe saltem referendam esse. Id.
(61) Νῦν ἀναγγελῶ ὑμῖν. Hæc omnia omissa sunt in codice Oxoniensi usque ad ista sequentis paragraphi verba: τοσοῦτον Κύριος εἰς αὐτόν. Id.
(62) Ἐλεεῖτε. Ms. ἐλεᾶτε. Id.
(63) Ἐτρέφετο. Legendum ἐστρέφετο. Id.
(64) Μὴ λογίζεσθε ἕκαστος κακίαν τοῦ ἀδελφοῦ αὐτοῦ, etc. Idem monitum Hermæ dabatur

ὅτι τοῦτο χωρίζει ἑνότητα, καὶ πᾶσαν συγγένειαν διασκορπίζει, καὶ τὴν ψυχὴν ταράσσει (65). Ὁ γὰρ μνησίκακος σπλάγχνα ἐλέους οὐκ ἔχει.

Θ'. « Προσέχετε τὰ ὕδατα (66), ὅτι ὅταν ἐπὶ τὸ αὐτὸ πορεύεται, λίθους, ξύλα, τὴν ἄμμον κατασύρει (67)· ἐὰν δὲ εἰς πολλὰ διαιρεθῇ, ἡ γῆ ἀφανίζει αὐτὰ, καὶ γίνεται εὐκαταφρόνητα. Καὶ ὑμεῖς, ἐὰν διαιρεθῆτε, ἔσεσθε οὕτως. Μὴ σχισθῆτε εἰς δύο κεφαλὰς, ὅτι πᾶν ὅ ἐποίησε Κύριος, κεφαλὴν μίαν ἔχει. Ἔδωκε δύο ὤμους, πόδας, χεῖρας· ἀλλὰ πάντα τὰ μέλη τῇ μιᾷ κεφαλῇ ὑπακούει. Ἔγνων ἐν γραφῇ πατέρων μου, ὅτι ἐν ἐσχάταις ἡμέραις ἀποστήσεσθε ἀπὸ Κυρίου, καὶ διαιρεθήσεσθε, ἐν Ἰσραὴλ (68), καὶ δυσὶ βασιλεῦσιν ἐξακολουθήσετε, καὶ πᾶν βδέλυγμα ποιήσετε καί γε πᾶν εἴδωλον προσκυνήσετε, καὶ αἰχμαλωτεύσουσιν ὑμᾶς οἱ ἐχθροὶ ὑμῶν, καὶ καθίσεσθε (69) ἐν ἔθνεσι ἐν πάσαις ἀσθενείαις, καὶ θλίψεσι, καὶ ὀδύναις ψυχῆς. Καὶ μετὰ ταῦτα μνησθήσεσθε Κυρίου, καὶ μετανοήσετε, καὶ ἐπιστρέψει ὑμᾶς. ὅτι ἐλεήμων ἐστὶ καὶ εὔσπλαγχνος, μὴ λογιζόμενος κακίαν τοῖς υἱοῖς τῶν ἀνθρώπων, διότι σάρξ εἰσι, καὶ τὰ πνεύματα τῆς πλάνης ἀπατᾷ αὐτοὺς ἐπὶ πάσαις ταῖς πράξεσιν αὐτῶν. Καὶ μετὰ ταῦτα ἀνατελεῖ ὑμῖν αὐτὸς ὁ Κύριος (70), φῶς δικαιοσύνης, καὶ ἴασις καὶ εὐσπλαγχνία ἐπὶ ταῖς πτέρυξιν αὐτοῦ. Αὐτὸς λυτρώσεται πᾶσαν αἰχμαλωσίαν υἱῶν ἀνθρώπου ἐκ τοῦ Βελιὰρ, καὶ πᾶν πνεῦμα πλάνης πατηθήσεται· καὶ ἐπιστρέψει πάντα τὰ ἔθνη εἰς παραζήλωσιν αὐτοῦ· καὶ ὄψεσθε Θεὸν ἐν σχήματι ἀνθρώπου, ὃν ἂν ἐκλέξηται Κύριος, Ἱερουσαλὴμ ὄνομα αὐτῷ (71). Καὶ πάλιν ἐν πονηρίᾳ λόγων ὑμῶν παροργίσετε αὐτὸν, καὶ ἀποῤῥιφθήσεσθε ἕως καιροῦ συντελείας.

Ι'· « Καὶ νῦν, τέκνα μου, μὴ λυπεῖσθε, ὅτι ἀποθνήσκω ἐγὼ, μηδὲ συμπίπτετε, ὅτι ἀπολείπω ὑμῶν. Ἀναστήσομαι γὰρ πάλιν ἐν μέσῳ ὑμῶν, ὡς ἡγούμενος ἐν μέσῳ υἱῶν αὐτοῦ, καὶ εὐφρανθήσομαι ἐν μέσῳ τῆς φυλῆς μου, ὅσοι ἐφύλαξαν νόμον Κυρίου, καὶ ἐντολὰς Ζαβουλὼν πατρὸς αὐτῶν. Ἐπὶ δὲ τοὺς ἀσεβεῖς ἐπάξει. Κύριος πῦρ αἰώνιον, καὶ ἀπολέσει αὐτοὺς ἕως γενεῶν. Ἐγὼ εἰς τὴν ἀνάπαυσίν μου ἀποτρέχω, ὡς οἱ πατέρες μου· ὑμεῖς δὲ φοβεῖσθε Κύριον τὸν Θεὸν ὑμῶν, ἐν πάσῃ ἰσχύϊ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. » Καὶ ταῦτα εἰπὼν, ἐκοιμήθη ὕπνῳ καλῷ, καὶ ἔθηκαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν θήκῃ· ὕστερον δὲ ἀναγαγόντες αὐτὸν εἰς Χεβρὼν, ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Διαθήκη Δὰν, περὶ θυμοῦ καὶ ψεύδους.

Α'. Ἀντίγραφον λόγων Δὰν, ὧν εἶπε τοῖς υἱοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν αὐτοῦ. Ἑκατοστῷ εἰκοστῷ πέμπτῳ ἔτει τῆς ζωῆς αὐτοῦ, καλέσας τὴν

A tiam fratris sui; quoniam hoc dividit unitatem, et omnem consanguinitatem dispergit, et animum perturbat. Memor enim mali viscera misericordiæ non habet.

IX. « Attendite aquis, quoniam cum simul moventur, lapides, ligna, arenam detrahunt; si vero in multas dividantur, terra exterminat eas, et fiunt neglectæ. Et vos, si dividamini, eritis ita. Ne scindamini in duo capita, quia omne quod fecit Deus, caput unum habet. Dedit duos humeros, pedes, manus; sed omnia membra uni capiti obediunt. Novi in scriptura patrum meorum, quod in ultimis diebus recedetis a Domino, et divisi eritis in Israel, et duos reges sequemini, et omnem abominationem facietis, et omne idolum adorabitis, et captivos abducent vos inimici vestri, et sedebitis in nationibus
B in omnibus infirmitatibus, et tribulationibus, et doloribus animæ. Et post hæc recordabimini Domini, et resipicetis, et convertet vos, quoniam clemens est et misericors, non imputans malitiam filiis hominum; quoniam caro sunt, et spiritus erroris seducunt eos in omnibus actionibus suis. Et post hæc orietur vobis ipse Dominus, lumen justitiæ, et sanitas et misericordia in pennis ejus. Ipse redimet omnem captivitatem filiorum hominis a Beliar, et omnis spiritus erroris conculcabitur; et convertet omnes gentes in æmulationem ejus; et videbitis Deum in forma hominis, quem elegerit Dominus; Jerusalem nomen ei. Et rursus in malitia sermonum vestrorum ad iracundiam provocabitis eum, et abjecti eritis usque ad tempus consummationis.
C

X. « Et nunc, filii mei, ne contristemini, quoniam morior ego; neque concidatis, quoniam relinquo vos. Resurgam enim in medio vestri, velut dux in medio filiorum suorum, et lætabor in medio tribus meæ, quotquot custodierunt legem Domini, et mandata Zabulon patris eorum. Super impios vero inducet Dominus ignem æternum, et perdet eos usque in generationes. Ego in requiem meam confugio, sicut patres mei: vos autem timete Dominum Deum vestrum, in omni fortitudine, omnibus diebus vitæ vestræ. » Et cum hæc dixisset, dormivit somno bono, et posuerunt eum filii ejus theca; postea vero reducentes eum in Hebron, sepelierunt cum patribus ejus.
D

CAPUT VII.

Testamentum Dan, de ira et mendacio.

I. Transcriptum verborum Dan, quæ dixit filiis suis in ultimis diebus suis. Centesimo vicesimo quinto anno vitæ suæ vocans tribum suam, dixit:

Visione II, § 3, his verbis: « Tu autem, Herma, noli meminisse injuriarum filiorum tuorum. Memoria enim injuriarum mortem operatur, oblivio vero earum vitam æternam. » GRAB.

(65) Ταράσσει. Καὶ τὴν ὕπαρξιν ἀφανίζει, addit codex Oxon. ID.

(66) Τὰ ὕδατα. Ἐπί add. ID.

(67) Κατασύφερει. Καταφέρει. ID.

(68) Ἰσραήλ. Ἱερουσαλήμ. ID.

(69) Καθίσεσθε. Κακωθήσεσθε. ID.

(70) Ἀνατελεῖ ὑμῖν αὐτὸς ὁ Κύριος, etc. Alludit ad Malachiæ IV, 2. ID.

(71) Καὶ ἴασις..... Ἱερουσαλὴμ ὄνομα αὐτῷ. Καὶ ἐπιστρέψετε ἐκ τῆς γῆς ὑμῶν, καὶ ὄψεσθε Κύριον ἐν Ἱερουσαλὴμ διὰ τὸ ὄνομα αὐτοῦ, habet codex Oxon. multo concisius. ID.

« Audite, filii Dan, sermones meos, attendite verbis oris patris vestri. Probavi in corde meo et in omni vita mea, quod res bona est et Deo grata, veritas cum justa actione ; et quod perniciosum est mendacium, et ira, quoniam omnem malitiam hominem edocent. Confiteor vobis hodie, filii mei, quod in corde meo lætatus sum de morte Joseph, viri veracis et boni, et gaudebam in venditione Joseph, quoniam supra nos pater eum diligebat. Spiritus enim zeli et elationis dixit mihi : « Et tu es filius ejus. » Et unus spirituum Beliar cooperabatur mihi, dicens : « Accipe gladium hunc, et cum eo occide Joseph ; et diliget te pater tuus, mortuo eo. » Hic est spiritus iræ, suadens mihi, ut sicut pardalis devorat hædum, ita devorarem Joseph. Sed Deus Jacob patris mei non immisit eum in manus meas, ut invenirem eum solum ; neque permisit iniquitatem hanc facere, ut (73) solvantur duo sceptra in Israel.

II. « Et nunc, filii mei, ego morior, et in veritate dico vobis, quod si non custodiatis vosmetipsos a spiritu mendacii et iræ, et diligatis veritatem et longanimitatem, disperibitis. Cæcitas est in ira, filii mei, et nemo iracundus videt faciem in veritate ; quoniam seu pater, sive mater sit, ut hostibus attendit eis ; si sit frater, non novit; si propheta Domini, non obedit ; si justus, non aspicit ; amicum non cognoscit. Circumponit enim ei spiritus iræ retia erroris, et excæcat naturales oculos ejus, et per mendacium obtenebrat mentem ejus, et propriam visionem tribuit ei. In quo autem circumponit oculos ejus ? In odio cordis, et dat ei cor proprium adversus fratrem in invidiam.

III. « Perniciosa est ira, filii mei ; etenim ipsi animæ ipsa fit anima ; et corpus quidem iracundi proprium sibi facit, animæ autem dominatur, et tribuit corpori potentiam propriam, ut faciat omnem iniquitatem ; et cum jam operata fuerit anima, justificat quod operatum est, quia non videt. Propter hoc qui iratus est, si quidem sit potens; triplicem habet potentiam in ira : unam quidem per potentiam et auxilium ministrantium ; secundam autem per divitias, persuadens et vincens in injustitia ; tertiam naturalem habens corporis, et per seipsum operans malum. Si autem debilis sit qui irascitur, duplicem habet potestatem, præter eam quæ est naturæ ; adjuvat enim eis ira semper in ini-

A πατριὰν, αὐτοῦ, εἶπεν· « Ἀκούσατε, υἱοὶ Δὰν, λόγων μου, προσέχετε ῥήμασι στόματος πατρὸς ὑμῶν. Ἐπείρασα ἐν καρδίᾳ μου, καὶ ἐν πάσῃ τῇ ζωῇ μου, ὅτι καλὸν καὶ Θεῷ εὐάρεστον, ἡ ἀλήθεια μετὰ δικαιοπραγίας· καὶ ὅτι πονηρὸν τὸ ψεῦδος, καὶ ὁ θυμὸς, ὅτι πᾶσαν κακίαν ὀνθρώπων ἐκδιδάσκει (72). Ὁμολογῶ σήμερον ὑμῖν, τέκνα μου, ὅτι ἐν καρδίᾳ μου ἡδόμην περὶ τοῦ θανάτου Ἰωσὴφ, τοῦ ἀνδρὸς τοῦ ἀγαθοῦ καὶ ἀληθινοῦ, καὶ ἔχαιρον ἐπὶ τῇ πράσει Ἰωσὴφ, ὅτι ὑπὲρ ἡμᾶς ὁ πατὴρ αὐτὸν ἠγάπα. Τὸ γὰρ πνεῦμα τοῦ ζήλου καὶ τῆς ἀλαζονείας ἔλεγέ μοι· « Καί γε σὺ υἱὸς αὐτοῦ. » Καὶ ἓν τῶν πνευμάτων τοῦ Βελιὰρ συνήργει μοι, λέγον· « Λαβὲ τὸ ξίφος τοῦτο, καὶ ἐν αὐνῷ ἄνελε τὸν Ἰωσὴφ, καὶ ἀγαπήσει σε ὁ πατήρ σου, ἀποθανόντος αὐτοῦ. » Τοῦτό ἐστι τὸ πνεῦμα τοῦ θυμοῦ, τὸ πεῖθόν με, ἵνα ὡς πάρδαλις ἐκμύζει ἔριB φον, οὕτως ἐκμυζήσω τὸν Ἰωσήφ· Ἀλλ' ὁ Θεὸς Ἰακὼβ τοῦ πατρός μου οὐκ ἐνέβαλεν αὐτὸν εἰς τὰς χεῖράς μου, ἵνα εὕρω αὐτὸν μόνον· οὐδὲ εἴασε τοῦτο τὸ ἀνόμημα ποιῆσαι, ἵνα λυθῶσι δύο σκῆπτρα ἐν Ἰσραήλ (74).

B. « Καὶ νῦν, τέκνα μου, ἐγὼ ἀποθνήσκω, καὶ ἐν ἀληθείᾳ λέγω ὑμῖν, ὅτι ἐὰν μὴ φυλάξητε ἑαυτοὺς ἀπὸ τοῦ πνεύματος τοῦ ψεύδους καὶ τοῦ θυμοῦ, καὶ ἀγαπήσητε τὴν ἀλήθειαν καὶ τὴν μακροθυμίαν, ἀπολεῖσθε. Τύφλωσίς ἐστιν ἐν τῷ θυμῷ, τέκνα μου, καὶ οὐκ ἔστι τις θυμώδης ὁρῶν πρόσωπον (74*) ἐν ἀληθείᾳ· ὅτι κἂν πατὴρ, κἂν μήτηρ ἐστὶν, ὡς πολεμίοις προσέχει αὐτοῖς· ἐὰν ᾖ ἀδελφὸς, οὐκ οἶδεν· ἐὰν προφήτης Κυρίου, παρακούει· ἐὰν δίκαιος, οὐ βλέπει· φίλον οὐ γνωρίζει. Περιβάλλει γὰρ αὐτὸν τὸ πνεῦμα τοῦ θυμοῦ τὰ δίκτυα τῆς πλάνης, καὶ τυφλοῖ τοὺς φυσιC κοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ διὰ τοῦ ψεύδους σκοτοῖ τὴν διάνοιαν αὐτοῦ, καὶ τὴν ἰδίαν ὅρασιν παράχει αὐτῷ. Ἐν τίνι δὲ περιβάλλει τοὺς ὀφθαλμοὺς αὐτοῦ; Ἐν μίσει καρδίας, καὶ δίδωσιν αὐτῷ καρδίαν ἰδίαν κατὰ τοῦ ἀδελφοῦ εἰς φθόνον.

Γ' Πονηρὸς, ὁ θυμὸς, τέκνα μου, καὶ γὰρ αὐτῇ τῇ ψυχῇ αὐτὸς γίνεται ψυχή (75)· καὶ τὸ μὲν σῶμα ἰδιοποιεῖται (76) τοῦ θυμώδους, τῆς δὲ ψυχῆς κατακυριεύει, καὶ παρέχει τῷ σώματι δύναμιν ἰδίαν, ἵνα ποιήσῃ πᾶσαν ἀνομίαν· καὶ ὅταν πράξῃ ψυχὴ, δικαιοῖ τὸ πραχθὲν, ἐπειδὴ οὐ βλέπει. Διὰ τοῦτο ὁ θυμούμενος, ἐὰν μὲν ᾖ δυνατὸς, τριπλῆν ἔχει δύναμιν ἐν τῷ θυμῷ· μίαν μὲν διὰ τῆς δυνάμεως καὶ τῆς βοηθείας (77) τῶν ὑπουργούντων· δευτέραν δὲ διὰ τοῦ πλούτου, παραπείθων καὶ νικῶν ἐν ἀδικίᾳ· D τρίτην τὴν φυσικὴν ἔχων τοῦ σώματος, καὶ δι' ἑαυτοῦ δρῶν τὸ κακόν. Ἐὰν δὲ ἀσθενήσῃ ὁ θυμούμενος, διπλῆν ἔχει τὴν δυνάμιν παρὰ τῆς φύσεως· βοηθεῖ γὰρ αὐτοῖς ὁ θυμὸς πάντοτε ἐν παρανομίᾳ. Τοῦτο τὸ

(72) Θυμὸς, ὅτι πᾶσαν κακίαν ἀνθρώπων ἐκδιδάσκει, Θυμὸς πᾶσαν κακίαν ἐκδιδάσκει, omisso ὅτι, et ἀνθρώπων, sive potius ἄνθρωπον. GRAB.

(73) *Ut. Ne*, potius legendum juxta Græc. Oxon. ID. — Huic loco lux affunditur in not. 3 ad Clementis Rom. Epist. 1, cap. 31. *Patrol. Gr.* t. I col. 271.

(74) Λυθῶσι δύο σκῆπτρα ἐν' Ισραήλ. Μή add. GRAB.

(74*) Quid est hoc ὁρῶν πρόσωπον, *videns faciem?* Hebraice dicitur *videre faciem* pro familiariter et amice, aut submisse, aliquem adire, vel cum eo colloqui. Cf. text. Hebr. Gen. XXXII, 21, et Gesenii *Thesaurum* ad vocem פנים nº 1, *h*. DRACH.

(75) Καὶ γὰρ αὐτῇ τῇ ψυχῇ αὐτὸς γίενται ψυχή omissa sunt. GRAB.

(76) Ἰδιοποιεῖται. Ἴδιον ποιεῖται. ID.

(77) Διὰ τῆς δυνάμεως καὶ τῆς βοηθείας. Ἀπὸ βοηθείας. ID.

πνεῦμα ἀεὶ μετὰ τοῦ ψεύδους ἐκ δεξιῶν τοῦ Σατανᾶ πορεύεται, ἵνα ἐν ὠμότητι καὶ ψεύδει γίνωνται αἱ πράξεις αὐτοῦ.

Δ'. « Οὐκοῦν συνίετε τὴν δύναμιν τοῦ θυμοῦ, ὅτι ματαία ἐστίν. Ἐν γὰρ λόγῳ παροξύνει (78) πρῶτον· εἶτα ἐν ἔργοις δυνατοῖ τὸν ἐρεθιζόμενον (79), καὶ ἐν ζημίαις πικραῖς (80) ταράσσει τὸ διαβούλιον αὐτοῦ· καὶ οὕτως διεγείρει ἐν θυμῷ μεγάλῳ τὴν ψυχὴν αὐτοῦ. Ὅτε οὖν λαλεῖ τις καθ' ὑμῶν, ὑμεῖς μὴ κινεῖσθε εἰς θυμόν· καὶ ἐάν τις ἐπαινῇ ὑμᾶς ὡς ἀγαθοὺς (81), μὴ ἐπαίρεσθε, μήτε μεταβάλλεσθε, μήτε εἰς τέρψιν, μήτε εἰς ἀειδίαν (82). Πρῶτον γὰρ τέρπει τὴν ἀκοήν, καὶ οὕτως ὀξύνει τὸν νοῦν, νοῆσαι τὸ ἐρεθισθέν· καὶ τότε θυμωθεὶς νομίζει δικαίως ὀργίζεσθαι. Ἐὰν δὲ ζημίᾳ ἢ ἀπολείᾳ τινὶ περιπέσητε (83), τέκνα, μὴ θρυεῖσθε· ὅτι αὐτὸ τὸ πνεῦμα ἐπιθυμῆσαι ποιεῖ τοῦ ἀπολομένου, ἵνα θυμωθῇ διὰ τοῦ πόθου. Ἐὰν δὲ ζημιωθῆτε (84) ἑκουσίως, μὴ λυπεῖσθε· ἀπὸ γὰρ λύπης ἐγείρεται θυμὸς μετὰ ψεύδους. Ἔστι δὲ διπρόσωπον κακόν, θυμὸς μετὰ ψεύδους, καὶ συνερῶνται ἀλλήλοις, ἵνα ταράξωσι τὸ διαβούλιον· ταρασσομένης δὲ τῆς ψυχῆς συνεχῶς, ἀφίσταται Κύριος ἀπ' αὐτῆς, καὶ κυριεύει αὐτῆς ὁ Βελιάρ.

(61) Δολοφονῆσαι Legendum puto δολοφονήσει, idque Latine reddendum *dolo occidet te*. Id. quippe significat verbum δολοφονεῖν, non autem *dolose loqui*, ut Robertus transtulit, legens forte δολοφωνεῖν; quam tamen vocem in nullo auctore legisse memini. Accedit, quod *cædes per dolum facta* antecedentibus magis congruat, quam *colloquium dolosum* : quippe grandis peccati mentio facta erat, quala est utique homicidium. ID.

(62) Ἡσυχασθῇ Hic inserendum videtur καί. ID.

tare judicia Domini, et ita dimittet (64), et quiescet consilium tuum. Si vero et ex malis quis ditatus fuerit sicut Esau frater patris mei, nolite æmulari; terminum enim Domini suscipietis. Vel enim aufert hæc in malis, vel pœnitentibus dimittit, vel impœnitenti servat in æternum (66) punitionem. Nam pauper, et invidia carens (67), in omnibus Domino gratias agens, ipse apud omnes ditatur, quoniam non habet perniciosam deprædationem (68) hominum. Auferte igitur odium ab animabus vestris, et diligite vosmet invicem in recttitudine cordis.

VIII. « Dicite autem et vos hæc filiis vestris, ut honorent Judam et Levi : quoniam ex eis orietur vobis Dominus, Salvator Israeli. Cognovi enim quod in fine recedent filii vestri ab eis, et in omni pernicie, et malignitate, et corruptione erunt coram Domino. » Et paululum quiescens, rursus dixit eis : « Filii mei, obedite patri vestro, et sepelite me prope patres meos. » Et elevans pedes suos, dormivit in pace. Et post quinque annos reduxerunt eum, et posuerunt eum in Hebron cum patribus ipsius.

A Ἐξέτασον κρίματα Κυρίῳ (63), καὶ οὕτως καταλείψει καὶ ἡσυχάζει (65) τὸ διαβούλιόν σου. Ἐὰν δὰ καὶ ἐκ κακῶν τις πλουτίσῃ, ὡς Ἡσαῦ ὁ πατράδελφός μου, μὴ ζηλώσητε· ὅρον γὰρ Κυρίου ἐκδέξασθε. Ἢ γὰρ ἀφαιρεῖται αὐτὰ ἐν κακοῖς, ἢ μετανοοῦσιν ἀφίησιν, ἢ ἀμετανοήτῳ τηρεῖ εἰς αἰῶνα τὴν κολασιν. Ὁ γὰρ πένης, καὶ ἄφθονος, ἐπὶ πᾶσι Κυρίῳ εὐχαριστῶν, αὐτὸς παρὰ πᾶσι πλουτεῖ, ὅτι οὐκ ἔχει τὸτ πονηρὸν περισπασμὸν τῶν ἀνθρώπων. Ἐξάρατε οὖν τὸ μῖσος ἀπὸ τῶν ψυχῶν ὑμῶν, καὶ ἀγαπήσατε ἀλλήλους ἐν εὐθύτητι καρδίας.

Η'. « Εἴπατε δὲ καὶ ὑμεῖς ταῦτα τοῖς τέκνοις ὑμῶν, ὅπως τιμήσωσιν Ἰούδαν καὶ Λευΐ· ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν Κύριος, σωτὴρ τῷ Ἰσραήλ. Ἔγνων γὰρ ὅτι ἐπὶ τέλει (69) ἀποστήσονται τὰ τέκνα ὑμῶν ἀπ' αὐτῶν (70), καὶ ἐν πάσῃ πονηρίᾳ, καὶ κακώσει, καὶ
B διαφθορᾷ ἔσονται ἐνώπιον Κύριου. » Καὶ ὀλίγον ἡσυχάσας, πάλιν εἶπεν αὐτοῖς· « Τέκνα μου, ἐπακούσατε τοῦ πατρὸς ὑμῶν, καὶ θάψατέ με σύνεγγυς τῶν πατέρων μου. » Καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ, ἐκοιμήθη ἐν εἰρήνῃ. Καὶ μετὰ πέντε ἔτη ἀνήγαγον αὐτὸν, καὶ ἔθηκαν αὐτὸν εἰς Χεβρὼν μετὰ τῶν πατέρων αὐτοῦ (71).

CAPUT X.

Testamentum Aser, de duabus faciebus malitiæ et virtutis.

I. Transcriptum testamenti Aser, quæ locutus est filiis suis centesimo vicesimo anno (72) vitæ suæ. Adhuc sanus existens, dixit eis : « Audite, filii Aser, patrem vestrum et omne rectum coram Deo ostendam, vobis. Duas vias dedit Dominus filiis hominum, duo consilia, et duos actus, et duo loca, et duos fines. Ideoque omnia duo sunt unum contra unum. Viæ duæ, boni et mali; in quibus sunt duo consilia in pectoribus nostris, dijudicantia eos. Si igitur anima velit in bono, [ad bonum ducitur homo] (72*). omnis actus ipsius est in justitia ; et si peccet, illico resipiscit. Justa enim cogitans, et abjiciens malitiam, statim evertit malum, et eradicat peccatum. Si vero ad malum declinat consilium, omnis actus ejus est in malitia, et repellens bonum assumit malum ; et constitutus sub dominio Beliar, etsi bonum aliquod operetur, in malitiam hoc convertit. Cum enim inceperit quasi bonum faciens, finem actionis ejus in malum opus perduxit. Quia thesaurus diaboli veneno perniciosi spiritus impletus est.

II. « Dicit, igitur anima ipsius, bonum supra malum esse, et finem rei in malitiam ducit. Est homo,

ΚΕΦΑΛΑΙΟΝ I

Διαθήκη Ἀσὴρ, περὶ δύο προσώπων κακίας καὶ ἀρετῆς.

Α'. Ἀντίγραφον διαθήκης Ἀσὴρ, ἃ ἐλάλησε τοῖς υἱοῖς αὐτοῦ ἐν ρκς' ἔτει τῆς ζωῆς αὐτοῦ. Ἔτι ὑγιαίνων, εἶπε πρὸς αὐτούς· « Ἀκούσατε, τέκνα Ἀσὴρ, τοῦ πατρὸς ὑμῶν, καὶ πᾶν τὸ εὐθὲς ἐνώπιον τοῦ Θεοῦ ὑποδείξω ὑμῖν. Δύο ὁδοὺς ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς
C τῶν ἀνθρώπων, δύο διαβούλια, καὶ δύο πράξεις, καὶ δύο τόπους, καὶ δύο τέλη. Διὰ τοῦτο πάντα δύο εἰσὶν, ἓν κατέναντι τοῦ ἑνός (73). Ὁδοὶ δύο, καλοῦ καὶ κακοῦ· ἐν οἷς εἰσι τὰ δύο διαβούλια ἐν στέρνοις ἡμῶν, διακρίνοντα αὐτάς. Ἐὰν οὖν ἡ ψυχὴ θέλῃ ἐν καλῷ, πᾶσα πρᾶξις αὐτῆς ἐστιν ἐν δικαιοσύνῃ, κἂν ἁμάρτῃ, εὐθὺς μετανοεῖ. Δίκαια γὰρ λογιζόμενος, καὶ ἀποῤῥίπτων τὴν πονηρίαν, ἀνατρέπει εὐθὺς τὸ κακὸν, καὶ ἐκριζοῖ τὴν ἁμαρτίαν. Ἐὰν δὲ ἐν πονηρῷ κλίνει τὸ διαβούλιον, πᾶσα πρᾶξις αὐτῆς ἐστιν ἐν πονηρίᾳ, καὶ ἀπωθούμενος τὸ ἀγαθὸν προσλαμβάνει τὸ κακὸν, καὶ κυριευθεὶς ὑπὸ τοῦ Βελιὰρ, κἂν ἀγαθόν τι πράξῃ, ἐν πονηρίᾳ αὐτὸ μεταστρέφει. Ὅτε γὰρ ἐνάρξηται ὡς ἀγαθὸν ποιῶν, τὸ τέλος τῆς πράξεως αὐτοῦ εἰς κακὸν ποιεῖν ἀνελαύνει (74). Ἐπειδὴ ὁ θησαυρὸς τοῦ διαβόλου (75) ἰοῦ πονηροῦ πεπλήρωται πνεύματος.

D Β'. « Ἔστιν οὖν ψυχὴ λέγουσα, φησί, τὸ καλὸν ὑπὲρ τοῦ κακοῦ, καὶ τὸ τέλος τοῦ πράγματος εἰς κακίαν

(63) Κυρίῳ. Forte Κυρίου. GRAB.
(64) *Dimittet*. Add. *te*. ID.
(65) Ἡσυχάζει. Forte ἡσυχάσει. ID
(66) *Æternum sæculum* habent codices mss. ID.
(67) *Et invidia carens*. Et qui est abundans 62. Atqui vox ἄφθονος habet quidem hanc significationem ; verumtamen propria ejus notio hic magis locum habet, eaque reddenda potius videtur *Invidia carens*, qualis character pauperi optime convenit. ID.
(68) *Deprædationem*. *Distractionem*, qualis ex mendicorum importunitate oritur. ID.
(69) Τέλει. Τούτου habet Oxon. ID.
(70) Αὐτῶν. Αὐτοῦ. ID.
(71) Μετὰ τῶν πατέρων αὐτοῦ. Καὶ ἔθαψαν αὐτὸν ἐκεῖ, omissis ultimis. ID.
(72) *Anno*. Addenda vox *sexto*, si Græcum codicem tam Oxon. quam Cantab. sequi velimus ; quæ tamen deest in ms. Græc., Coll., Trin., Cantab. ID.
(73) Ἓν κατέναντι τοῦ ἑνός. Desunt. ID.
(73*) Uncinis inclusa desunt in Græco. ED. PATR.
(74) Κακὸν ποιεῖν ἀνελαύνει. Εἰς κακοποίησιν ἐλαύνει. ID.
(75) Τοῦ διαβόλου. Διαβουλίου. ID.

ἄγει. Ἔστιν ἄνθρωπος (76), ὅστις οὐκ οἰκτείρει λειτουργοῦντα αὐτῷ ἐν κακῷ· καί γε τοῦτο διπρόσωπον, ἀλλὰ τὸ ὅλον πονηρόν ἐστι. Καὶ ἔστιν ἄνθρωπος ἀγαπῶν τὸν πονηρευόμενον, ὡσαύτως ἐστὶν ἐν πονηρίᾳ· ὅτι καὶ ἀποθανεῖν αἱρεῖται ἐν κακῷ δι' αὐτόν. Καὶ περὶ τούτου φανερὸν, ὅτι διπρόσωπόν ἐστι· τὸ δὲ πᾶν, κακὴ πρᾶξις. Καί γε ἀγάπη οὖσα, πονηρία ἐστὶ, συγκρύπτουσα τὸ κακόν· ὥσπερ ἐστὶ τῷ ὀνόματι ὡς καλῷ, τὸ δὲ τέλος τῆς πράξεως ἔρχεται εἰς κακόν. Ἄλλος κλέπτει, ἀδικεῖ, ἁρπάζει, πλεονεκτεῖ, καὶ ἐλεεῖ τοὺς πτωχούς· διπρόσωπον μὲν καὶ τοῦτο, τὸ δὲ ὅλον πονηρόν ἐστιν. Ὁ πλεονεκτῶν τὸν πλησίον παροργίζει τὸν Θεὸν, καὶ τὸν Ὕψιστον ἐπιορκεῖ, καὶ τὸν πτωχὸν ἐλεεῖ· τὸν ἐντολέα τοῦ νόμου Κυρίου ἀθετεῖ καὶ παροξύνει, καὶ τὸν πένητα ἀναπαύει (77)· τὴν ψυχὴν σπιλοῖ, καὶ τὸ σῶμα λαμπρύνει· πολλοὺς ἀναιρεῖ, καὶ ὀλίγους ἐλεεῖ· καὶ τοῦτο διπρόσωπόν ἐστι. Ἄλλος μοιχεύει, πορνεύει, καὶ ἀπέχεται ἐδεσμάτων· καὶ νηστεύων κακοποιεῖ, καὶ τῇ δυναστείᾳ, τῷ πλούτῳ (78), πολλοὺς παρασύρει, καὶ ἐκ τῆς ὑπερόγκου κακίας ποιεῖ ἐντολάς. Καὶ τοῦτο διπρόσωπόν ἐστι, τὸ δὲ ὅλον κακόν ἐστι. Οἱ τοιοῦτοι ὅσιοί (79) εἰσι δασύποδες (80), ὅτι ἐξ ἡμισείας εἰσὶ καθαροὶ, τὸ δὲ ἀληθὲς ἀκάθαρτοί εἰσι. Καὶ γὰρ Θεὸς ἐν ταῖς πλαξὶ τῶν οὐρανῶν εἶπεν οὕτως.

Γ'. « Ὑμεῖς οὖν, τέκνα μου, μὴ γίνεσθε κατ' αὐτοὺς διπρόσωποι, ἀγαθότητος καὶ κακίας· ἀλλὰ τῇ ἀγαθότητι μόνῃ κολλήθητε, ὅτι ὁ Θεὸς ἀναπαύεται εἰς αὐτὴν, καὶ οἱ ἄνθρωποι ποθοῦσιν αὐτήν· τὴν δὲ κακίαν ἀποδράσατε (81), ἀναιροῦντες τὸν διάβολον ἐν ταῖς ἀγαθαῖς ὑμῶν πράξεσιν· ὅτι οἱ διπρόσωποι οὐ Θεῷ, ἀλλὰ ταῖς ἐπιθυμίαις αὐτῶν δουλεύουσιν, ἵνα τῷ Βελιὰρ ἀρέσωσι, καὶ τοῖς ὁμοίοις αὐτῶν ἀνθρώποις.

Δ'. « Οἱ γὰρ ἀγαθοὶ ἄνθρωποι, καὶ μονοπρόσωποι, κἂν νομισθῶσι παρὰ τῶν διπροσώπων ἁμαρτάνειν, δίκαιοί εἰσι παρὰ τῷ Θεῷ. Πολλοὶ γὰρ ἀναιροῦντες πονηροὺς, δύο ποιοῦσιν ἔργα, κακὸν διὰ καλοῦ (82), ὅλον δέ ἐστι καλόν· ὅτι τὸ κακὸν ἐκριζώσας ἀπώλεσεν. Ἔστι τις μισῶν τὸν ἐλεήμονα, καὶ ἀδικῶν (83) τὸν μοιχὸν καὶ λῃστεύοντα (84)· καὶ αὐτό ἐστι διπρόσωπον· ἀλλὰ τὸ πᾶν ἔργον ἀγαθόν ἐστιν, ὅτι μιμεῖται Κύριον, μὴ προσδεχόμενος τὸ δοκοῦν καλὸν μετὰ τοῦ ἀληθινοῦ κακοῦ. Ἕτερος οὐ θέλει ἀγαθὴν ἡμέραν ἰδεῖν μετὰ ἀσώτων, ἵνα μὴ χράνῃ τὸ στόμα (85), καὶ μολύνῃ τὴν ψυχήν· καί γε τοῦτο διπρόσωπόν ἐστιν, ὅλον δὲ καλόν ἐστιν, ὅτι οἱ τοιοῦτοι δόρκοις καὶ ἐλάφοις ὅμοιοί εἰσιν, ὅτι ἐν ἤθει ἀγρίῳ δοκοῦσιν ἀκάθαρτοι εἶναι· τὸ δὲ πᾶν καθαροί εἰσιν, ὅτι ἐν ζήλῳ

A qui non miseretur ministrantis ei in malum; et hoc duplicem faciem habet, sed totum perniciosum est. Et est homo diligens malignantem, similiter est in malitia; quoniam et mori desiderat in malo propter ipsum. Et de hoc manifestum, quod duplicis faciei est; totum vero, malus actus est. Et amor exsistens, malitia est, abscondens malum; sicut est nomine quasi bono, finis vero actus venit in malum. Alius furatur, injuste agit, rapit, avarus exsistit, et miseretur pauperum; duplicem quidem faciem habet et hoc, totum vero perniciosum est. Qui defraudat proximum, ad iracundiam provocat Deum, et per Altissimum falso dejerat, et pauperis miseretur; præceptorem legi Domini spernit et exacerbat, et pauperem requiescere facit; animam inquinat, et corpus splendidum reddit; multos B occidit, et paucorum miseretur; et hoc quidem duplicis faciei est. Alius adulteratur, et fornicatur, et abstinet a cibis; et jejunans malefacit, et potentia et divitiis multos misere vexat, et ex tumida malitia facit mandata. Et hoc duplicis faciei est, totum autem malum est. Tales ut sues sunt et lepores, quia ex medietate sunt mundi, revera autem sunt immundi. Etenim Deus in tabulis cœlorum dixit ita.

III. « Vos igitur, filii mei, ne efficiamini secundum ipsos duplicem habentes faciem, bonitatis et malitiæ: sed bonitati soli adhærete, quoniam Deus requiescit in ipsa, et homines desiderant eam; malitiam autem fugite, occidentes diabolum in bonis vestris actibus; quoniam qui duplicis fa- C ciei sunt, non Deo, sed concupiscentiis suis serviunt, ut Beliar placeant, et similibus sibi hominibus.

IX. « Boni enim viri, et qui sunt unius faciei, etsi existimentur ab eis qui duplicis faciei sunt, peccare, justi sunt apud Deum. Multi enim occidentes perniciosos, duo faciunt opera, malum propter bonum, totum vero est bonum; quoniam qui malum eradicavit, perdidit illud. Est aliquis qui odit misericordem, et injuria afficit adulterum et latronem; et hoc est duplicis faciei; sed totum opus bonum est, quia imitatur Dominum, non accipiens quod videtur bonum cum vero malo. Alter non vult diem bonum videre cum luxuriosis, ut non maculet os, et inquinet animam; et hoc D duplicis faciei est, totum autem bonum est, quoniam tales capreolis et cervis similes sunt; quoniam in consuetudine agresti videntur immundi esse, ex

(76) Ἔστιν ἄνθρωπος.... ἀναπαύει. Omnia omissa. GRAB.

(77) Τὸν ἐντολέα.... ἀναπαύει. Desunt ID.

(78) Τῷ πλούτῳ. Τοῦ πλούτου. ID.

(79) Ὅσιοι. Interpres legit ὡς σύες. ID.

(80) Δασύποδες. Hanc vocem auctor a LXX. Interpretibus mutuatus est, qui eam Levit. XI, 6 et Deut. XIV, 7, usurparunt; illic pro *cuniculo*, hic pro *lepore*. Utrumque autem animal mundum ex parte, ex parte immundum apud Judæos habebatur; mundum quatenus ruminabat quidem, sed immundum quatenus ungulam non findebat: uti contra, sus ungulam quidem findit, sed non ruminat, et ipsa proinde immunda. Talibus itaque animantibus merito ab auctore nostro comparantur homines ἐξ ἡμισείας καθαροί, id est, ex parte boni, et ex parte mali, in quibus mistura est virtutum et vitiorum, uti Tacitus loquitur.

(81) Ἀποδράσατε. Φεύγετε. GRAB.

(82) Κακὸν διὰ καλοῦ. Καλὸν διὰ κακοῦ. ID.

(83) Ἀδικῶν. Ἄδικον. ID.

(84) Λῃστεύοντα. Νηστεύοντα. ID.

(85) Στόμα. Στῶμα. ID.

toto autem mundi sunt; quoniam in zelo Dei ambulant, abstinentes ab his a quibus Deus per mandata odio habens prohibet, arcens malum a bono.

V. « Videte igitur, filii, qualiter duo sunt in omnibus, unum contra unum, et unum sub uno absconditur. Vitæ mors succedit, gloriæ ignominia, diei nox, et luci tenebræ; omnia vero sub die sunt, et sub vita quæ justa sunt; propterea et mortem æterna vita præstolatur; et non licet dicere veritatem mendacium, neque justum injustum [32]; quoniam omnis veritas sub luce est [33]; quemadmodum omnia sub Deo. Hæc omnia probavi in vita mea, et non erravi a veritate Domini; et mandata Altissimi exquisivi, secundum omnem fortitudinem meam ambulans secundum unam faciem in bonum.

VI. « Attendite igitur et vos, filii mei, mandatis Domini, secundum unam faciem sequentes veritatem; quoniam qui duplicis faciei sunt, dupliciter puniuntur. Spiritus erroris odio habete, adversus hominem contendentes. Legem Domini custodite, et ne attendite malo, ut bono; sed in vere bonum respicite, et observate illud in omnibus mandatis Domini, ad eum reversi, et in eo quiescentes (quoniam fines hominum ostendunt justitiam eorum), cognoscentes angelos Domini et Satanæ. Quando enim turbata anima abit, torquetur a pernicioso spiritu, cui et servivit in concupiscentiis et operibus perniciosis; si autem quiete in gaudio cognovit angelum pacis, consolabitur eum in vita.

VII. « Ne efficiamini, filii, ut Sodoma quæ ignoravit angelos Domini, et periit usque in sæculum. Novi enim, quod peccabitis, et trademini in manus inimicorum vestrorum; et terra vestra desolabitur, et vos dispergemini in quatuor angulos terræ, et eritis in dispersione despecti, velut aqua inutilis, usquequo Altissimus visitaverit terram; et ipse veniens ut homo, cum hominibus manducans et bibens [34], et in silentio conterens caput draconis. Per aquam (95) hic salvabit Israel et omnes gentes. Deus in virum absconditus [35]. Dicite igitur hæc filiis vestris, ut credant in eum. Legi enim in tabulis cœlorum, quod increduli non credetis in eum, et impie agentes im-

A Θεοῦ πορεύονται, ἀπεχόμενοι ὧν καὶ ὁ Θεὸς διὰ τῶν ἐντολῶν μισῶν ἀπαγορεύει, ἀπείργων τὸ κακὸν τοῦ ἀγαθοῦ (86).

Ε'. « Ὁρᾶτε οὖν, τέκνα, πῶς δύο εἰσὶν ἐν πᾶσι, ἓν κατέναντι ἑνὸς, καὶ ἓν ὑπὸ τοῦ ἑνὸς κέκρυπται. Τὴν ζωὴν (87) ὁ θάνατος διαδέχεται, τὴν δόξαν ἡ ἀτιμία, τὴν ἡμέραν ἡ νὺξ, καὶ τὸ φῶς τὸ σκότος (88)· τὰ δὲ πάντα ὑπὸ ἡμέραν εἰσὶ, καὶ ὑπὸ ζωὴν τὰ δίκαια· διὸ καὶ τὸν θάνατον ἡ αἰώνιος ζωὴ ἀναμένει· καὶ οὐκ ἔστιν εἰπεῖν τὴν ἀλήθειαν ψεῦδος, οὐδὲ τὸ δίκαιον ἄδικον· ὅτι πᾶσα ἀλήθεια ὑπὸ τοῦ φωτός ἐστι· καθὼς τὰ πάντα ὑπὸ τὸν Θεόν. Ταῦτα πάντα ἐδοκίμασα ἐν τῇ ζωῇ μου, καὶ οὐκ ἐπλανήθην ἀπὸ τῆς ἀληθείας Κυρίου, καὶ τὰς ἐντολὰς τοῦ Ὑψίστου ἐξεζήτησα,
B κατὰ πᾶσαν ἰσχύν μου πορευόμενος μονοπροσώπως εἰς τὸ ἀγαθόν.

ς'. « Προσέχετε οὖν καὶ ὑμεῖς, τέκνα μου, ταῖς ἐντολαῖς Κυρίου, μονοπροσώπως ἀκολουθοῦντες τῇ ἀληθείᾳ· ὅτι οἱ διπρόσωποι δισσῶς κολάζονται (89). Τὰ πνεύματα τῆς πλάνης μισήσατε, τὰ κατὰ τὸν ἄνθρωπον (90) ἀγωνιζόμενα. Τὸν νόμον Κυρίου φυλάξατε, καὶ μὴ προσέχετε τὸ κακὸν, ὡς καλόν (91)· ἀλλ' εἰς τὸ ὄντως καλὸν ἀποβλέπετε, καὶ διατηρεῖτε αὐτὸ ἐν πάσαις ἐντολαῖς Κυρίου, εἰς αὐτὸν ἀναστρεφόμενοι, καὶ ἐν αὐτῷ καταπαύοντες (ὅτι τὰ τέλη τῶν ἀνθρώπων δείκνυσι τὴν δικαιοσύνην αὐτῶν), γνωρίζοντες τοὺς ἀγγέλους Κυρίου, καὶ τοῦ Σατανᾶ. Ὅτε γὰρ τεταραγμένη ψυχὴ ἀπέρχεται, βασανίζεται ὑπὸ τοῦ πονηροῦ πνεύματος, ᾧ καὶ ἐδούλευσεν ἐν ἐπιθυμίαις καὶ ἔργοις πονηροῖς· ἐὰν δὲ ἡσύχως ἐν χαρᾷ ἐγνώρισε
C τὸν ἄγγελον τῆς εἰρήνης, παρακαλέσει (92) αὐτὸν ἐν ζωῇ.

Ζ'. « Μὴ γίνεσθε, τέκνα, ὡς Σόδομα, ἥτις ἠγνόησε τοὺς ἀγγέλους Κυρίου, καὶ ἀπώλετο ἕως αἰῶνος (93). Οἶδα γὰρ, ὅτι ἁμαρτήσετε, καὶ παραδοθήσεσθε εἰς χεῖρας ἐχθρῶν ὑμῶν· καὶ ἡ γῆ ὑμῶν ἐρημωθήσεται (94), καὶ ὑμεῖς διασκορπισθήσεσθε εἰς τὰς τέσσαρας γωνίας τῆς γῆς, καὶ ἔσεσθε ἐν διασπορᾷ ἐξουθενούμενοι, ὡς ὕδωρ ἄχρηστον, ἕως οὗ ὁ Ὕψιστος ἐπισκέψηται τὴν γῆν, καὶ αὐτὸς ἐλθὼν ὡς ἄνθρωπος, ἐσθίων καὶ πίνων μετὰ τῶν ἀνθρώπων, καὶ ἐν ἡσυχίᾳ συντρίβων τὴν κεφαλὴν τοῦ δράκοντος δι' ὕδατος. Οὗτος σώσει τὸν Ἰσραὴλ, καὶ πάντα τὰ ἔθνη, Θεὸς εἰς ἄνδρα ὑποκρινόμενος (96). Εἴπατε οὖν ταῦτα τοῖς τέκνοις ὑμῶν μὴ ἀπειθεῖν αὐτῷ. Ἀνέγνων γὰρ ἐν ταῖς πλαξὶ

[32] Isa. v, 20. [33] Joan. III, 21. [34] Matth. XI, 19. [35] Isa. XLV, 15.

(86) Ἀπείργων τὸ κακὸν τοῦ ἀγαθοῦ. Desunt. GRAB.

(87) Τὴν ζωήν. Ἐν τῇ εὐφροσύνῃ ἡ μέθη, ἐν τῷ γέλωτι τὸ πένθος, ἐν τῷ γάμῳ ἡ ἀκρασία, add. cod. Oxon. ID.

(88) Καὶ τὸ φῶς τὸ σκότος. Omissa sunt. ID.

(89) Κολάζονται. Ὅτι καὶ πράσσουσι τὸ κακὸν, καὶ συνευδοκοῦσι τοῖς πράσσουσι, add. codex Oxon. ID.

(90) Μισήσατε τὰ κατὰ τὸν ἄνθρωπον. Μιμούμενοι, κατὰ τῶν ἀνθρώπων. ID.

(91) Τὸ κακὸν, ὡς καλόν. Τῷ κακῷ, ὡς καλῷ. ID.

(92) Παρακαλέσει. Παραμυθεῖται. ID.

(93) Ἥτις ἠγνόησε τοὺς ἀγγέλους Κυρίου, καὶ ἀπώλετο ἕως αἰῶνος. Desunt ID.

(94) Ἐρημωθήσεται. Καὶ τὰ ἅγια ὑμῶν καταφθαρήσεται, add. cod. Oxon. ID.

(95) *Per aquam* Duæ istæ voces in codice 75, finem præcedentis periodi faciunt, non vero novam inchoant, ut in Græco codice. ID.

(96) Θεὸς εἰς ἄνδρα ὑποκρινόμενος. Desunt ID. — Warthonus tamen in *Auctar. Histor. dogmat.* J. Usserii, pag. 322, hæc verba legit in ms. archiep. Cantuar. eaque sic recitat : Δι' ὕδατος οὗτος σώσει τὸν Ἰσραὴλ καὶ πάντα τὰ ἔθνη, Θεὸς εἰς ἄνδρα ὑποκρινόμενος. Hinc Roberti versio confirmatur, apud quem duabus istis vocibus, *per aquam*, nova periodus inchoatur, ut modo monebat Grabius. Neque prætereundum censeo, quod apud Simonium oc-

τῶν οὐρανῶν, ὅτι ἀπειθοῦντες ἐπιθήσετε (97) αὐτῷ, A καὶ ἀσεϐοῦντες ἀσεϐήσετε εἰς αὐτὸν, μὴ προσέχοντες τῷ νόμῳ τοῦ Θεοῦ, ἀλλ' ἐντολαῖς ἀνθρώπων. Διὰ τοῦτο διασκορπισθήσεσθε, ὡς Γὰδ καὶ Δὰν, οἱ ἀδελφοί μου, οἳ χώρας αὐτῶν ἀγνοήσουσι, καὶ φυλὴν καὶ γλῶσσαν αὐτῶν. Ἀλλ' ἐπισυνάξει ὑμᾶς Κύριος ἐν πίστει δι' ἐλπίδα εὐσπλαγχνίας αὐτοῦ, διὰ Ἀϐραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώϐ. »

Η'. Καὶ εἰπὼν αὐτοῖς ταῦτα, ἐνετείλατο αὐτοῖς, λέγων· « Θάψατέ με εἰς Χεϐρών· » καὶ ἀπέθανεν, ὕπνῳ καλῷ κοιμηθείς. Καὶ μετὰ ταῦτα ἐποίησαν οἱ υἱοὶ αὐτοῦ, ὡς ἐνετείλατο αὐτοῖς, καὶ ἀναγαγόντες αὐτὸν, ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ.

pie agetis in eum, non attendentes legi Dei, sed mandatis hominum. Propter hoc dispergemini, ut Gad et Dan, fratres mei, qui regiones eorum ignorabunt, et tribum et linguam eorum. Sed congregabit vos Deus in fide propter spem misericordiæ suæ, propter Abraham, Isaac et Jacob. »

VIII. « Et cum hæc eis dixisset, mandavit eis, dicens : « Sepelite me in Hebron ; » et mortuus est somno bono dormiens. Et post hæc fecerunt filii ejus, sicut mandaverat eis ; et reducentes eum, sepelierunt cum patribus ejus.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Διαθήκη Ἰωσὴφ, περὶ σωφροσύνης.

Α'. Ἀντίγραφον διαθήκης Ἰωσήφ. Ἐν τῷ μέλλειν B αὐτὸν ἀποθνήσκειν, καλέσας τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, εἶπεν αὐτοῖς· « Τέκνα μου καὶ ἀδελφοὶ, ἀκούσατε Ἰωσὴφ, τοῦ ἠγαπημένου ὑπὸ Ἰσραήλ· ἐνωτίσασθε, υἱοὶ, πατρὸς ὑμῶν. Ἐγὼ εἶδον ἐν τῇ ζωῇ μου τὸν φθόνον καὶ τὸν θάνατον, καὶ οὐκ ἐπλανήθην ἐν τῇ ἀληθείᾳ Κυρίου. Οἱ ἀδελφοί μου οὗτοι ἐμίσησάν με, καὶ ὁ Κύριος ἠγάπησέ με· αὐτοὶ ἤθελόν με ἀνελεῖν, καὶ ὁ Θεὸς τῶν πατέρων μου ἐφύλαξέ με. Εἰς λάκκον με ἐχάλασαν, καὶ ὁ Ὕψιστος ἀνήγαγέ με. Ἐπράθην εἰς δοῦλον, καὶ ὁ Κύριος ἠλευθέρωσέ με. Εἰς αἰχμαλωσίαν ἐλήφθην, καὶ ἡ κραταιὰ χεὶρ αὐτοῦ ἐϐοήθησέ μοι. Ἐν λιμῷ συνεσχέθην, καὶ αὐτὸς ὁ Κύριος διέθρεψέ με. Μόνος ἤμην, καὶ ὁ Θεὸς παρεκάλεσέ με. Ἐν ἀσθενείᾳ ἤμην, καὶ ὁ Ὕψιστος ἐπεσκέψατό με. Ἐν φυλακῇ ἤμην, καὶ ὁ Σωτὴρ ἐχαρίτωσέ με (98)· ἐν δεσμοῖς, καὶ ἔλυσέ με· ἐν διαϐολαῖς, καὶ συνηγόρησέ μοι· ἐν λόγοις Αἰγυπτίων πικροῖς, καὶ ἐῤῥύσατό με· ἐν φθόνοις σὺν δόλοις, καὶ ὕψωσέ με (1).

CAPUT XI.

Testamentum Joseph, de castitate.

I. Transcriptum testamenti Joseph. Cum moriturus esset, vocans filios suos et fratres suos, dixit eis : « Filii mei et fratres, audite Joseph, dilectum ab Israel ; auribus percipite, filii, patrem vestrum, Ego vidi in vita mea invidiam et mortem, et non erravi in veritate Domini. Fratres mei isti oderunt me, et Dominus dilexit me : isti voluerunt occidere me, et Deus patrum meorum custodivit me. In lacum me demiserunt, et Altissimus reduxit me. Venditus sum in servum, et Dominus liberum me fecit. In captivitatem assumptus sum, et fortis manus ejus adjuvit me. In fame detentus sum, et ipse Dominus nutrivit me. Solus eram, et Deus consolatus est me. In infirmitate eram, et Altissimus visitavit me, In carcere eram, et Salvator lætificavit me (99) ; in C vinculis, et solvit me ; in accusationibus, et protexit me (100) ; in verbis Ægyptiorum amaris, et liberavit me ; in invidia cum dolis, et exaltavit me.

Β'. « Καὶ οὕτως Φωτιμὰρ (2), ὁ ἀρχιμάγειρος (3) Φαραὼ, ἐπίστευσέ μοι τὸν οἶκον αὐτοῦ. Καὶ ἠγωνισάμην πρὸς γυναῖκα ἀναιδῆ ἐπειγούσῃ (4) με παρανομεῖν μετ' αὐτῆς. Ἀλλ' ὁ Θεὸς Ἰσραὴλ (5) τοῦ πατρός μου ἐφύλαξέ με ἐκ φλογὸς καιομένης. Ἐφυλακίσθην, ἐτυπτίσθην, ἐμυκτηρίσθην (6)· καὶ ἔδωκέ με Κύριος εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ δεσμοφύλακος. Οὐ μὴ γὰρ ἐγκαταλείψει Κύριος τοὺς φοϐουμένους αὐτὸν,

II. « Et ita Photimar, princeps coquorum Pharaonis, credidit mihi domum suam. Et luctatus sum contra mulierem inverecundam, sollicitantem me, ut iniqua agerem cum ipsa. Sed Deus Israel patris mei custodivit me a flamma urente. In carcerem conjectus, verberibus cæsus, subsannatus sum; et fecit Dominus, ut misericodia commotus esset erga me custos carceris. Non enim derelinquet Do-

currit *Biblioth. crit.* tom. II, p. 232, ms. scilicet bibliothecæ Regiæ, pro Θεός hic exhibere ἕως, mendose procul dubio, nullaque plane sensu. Quid enim boni extundes ex hac lectione ἕως εἰς ἄνδρα ὑποκρινόμενος,, si eam cum præcedentibus conferas? Arguit ibidem ipse Simonius tanquam minus recte Latine reddita ab episcopo Lincolniensi, quæ statim sequuntur : *Dicite*, etc., jure ne autem, an injuria, post emendationem Grabii, viderint eruditi.

(97) Ἐπιθήσετε. Ἀπειθήσετε, quæ genuina est lectio. GRAB.

(98) Ἐν φυλακῇ ἤμην, καὶ ὁ Σωτὴρ ἐχαρίτωσέ με. Omissa sunt. ID.

(99) *Lætificavit me.* Charum me sibi habuit, sive gratia sua me complexus est. Neque enim derivatur a χαρά, sed a χάρις. ID.

(100) *Protexit me.* Id est, causam meam egit. ID

(1) Ἐν διαϐολαῖς..... καὶ ὕψωσέ με. Desunt ID.

(2) Καὶ οὕτως Φωτιμάρ. Ὁ εὐνοῦχος Φαραώ. ID.

(3) Ἀρχιμάγειρος.. Vocem hanc auctor iterum D accepit ex LXX Interpretum versione Genes. XXXVII, 36. Notanda vero observatio Hieronymi in *Traditionibus Hebraicis* ad hunc locum : « In plerisque locis archimagiros, id est, coquorum principes, pro magistris exercitus Scriptura commemorat ; μαγειρεύειν quippe Græce interpretatur *occidere*. Venditus est igitur Joseph principi exercitus et bellatorum. » Mihi maxime placet Targum Jonathan et Hierosolymitanum, quæ ambo reddiderunt, רב ספיקלטוריא *Principi speculatorum*. Quæ vox occurrit quoque Marc. VI. 27. ID.

(4) Ἐπειγούσῃ. Ἐπειγούσης habet codex Oxon. Sed mallem legi ἐπείγουσαν. ID.

(5) Ἰσραήλ. Ἰακώϐ. ID.

(6) Ἐτυπτίσθην, ἐμυκτηρίσθην. Ἐτύφθην, omisso ἐμυκτηρίσθην. ID.

minus timentes eum, non in tenebris, nec in vinculis, nec in tribulationibus, nec in necessitatibus Non enim ut homo confunditur Deus, nec ut filius hominis formidat, neque ut terrenus infirmatur, vel repellitur ; in omnibus vero locis præsens est, et in modis differentibus consolatur, in brevi recedens ad probandum animæ consilium. In decem tentationibus probatum me monstravit, et in omnibus his longanimis fui ; quoniam magna medicina est longanimitas, et multa bona dat sustinentia.

III. « Quoties Ægyptia minata est mihi mortem? quoties pœnis tradens revocavit me mulier, et minata est mihi, cum recusarem rem habere cum ea? Dicebat autem mihi : « Dominaberis mihi et omnibus quæ mea sunt, si tradideris teipsum mihi, et eris sicut dominator nostri. » Ego igitur recordatus sum sermonum patrum patris mei Jacob, et ingrediens in cubile adoravi Dominum, et jejunavi septem annis illis, et apparui Ægyptio quasi in deliciis vivens ; quoniam propter Deum jejunantes faciei gratiam accipiunt. Cumque dabatur mihi vinum, non bibebam ; et in triduano jejunio accepi meam diætam, et tribui eam egentibus ei infirmis. Et mane evigilavi ad Dominum, et flevi pro Memphitica Ægyptia, quoniam valde indesinenter molesta erat mihi ; et noctu intravit ad me, quasi quæ me invisere vellet ; et primo quidem, quoniam filius masculus non erat ei, fingebat habere me ut filium. Et oravi ad Dominum, et peperit marem. Usque ad hoc tempus ut filium me amplexa est ; et ego ignorabam ; denique me ad fornicationem attrahebat. Et intelligens tristatus sum usque ad mortem ; et exeunte ipsa redii ad meipsum, et tristabar illius causa per dies multos, quia cognovi dolum ejus et errorem. Et dicebam ei verba Altissimi, si forte averteretur a concupiscentia sua perniciosa.

IV. « Quoties ut viro sancto in verbis blandita est mihi, cum dolo per verba laudans castitatem meam coram marito suo, volens seorsum supplantare me? Glorificavit me ut castum in manifesto, et in abscondito dixit mihi : « Ne timeas virum meum; nam persuasum est ei de castitate tua ; adeo ut quamvis dixerit aliquis ei de nobis, non crederet. « Propter hæc omnia in terra jacebam ego sacco indutus et deprecabar Dominum, ut liberaret me ab Ægyptia. Ut vero nihil valuit, rursus sub prætextu instructionis capiendæ venit ad me, ut disceret verbum Domini ; et dixit mihi : « Si vis ut relinquam idola, obtempera mihi ; et Ægytium persuadebo recedere ab idolis, et in lege Domini

A οὐκ ἐν σκότει, ἢ δεσμοῖς, ἢ θλίψεσιν, ἢ ἀνάγκαις Οὐ γὰρ ὡς ἄνθρωπος ἐπαισχύνεται ὁ Θεὸς, οὔτε ὡς ἄνθρωπος (7) δειλιᾷ, οὔτε ὡς γηγενὴς ἀσθενεῖ, ἢ ἀπωθεῖται· ἐν πᾶσι δὲ τόποις (8) παρίσταται, καὶ ἐν δικρόφοις τρόποις (9) παρακαλεῖ, ἐν βραχεῖ ἀφιστάμενος εἰς τὸ δοκιμάσαι τῆς ψυχῆς τὸ διαβούλιον. Ἐν δέκα πειρασμοῖς δόκιμόν με ἀνέδειξε, καὶ ἐν πᾶσιν αὐτοῖς ἐμακροθύμησα· ὅτι μέγα φάρμακόν ἐστιν ἡ μακροθυμία, καὶ πολλὰ ἀγαθὰ δίδωσιν ἡ ὑπομονή.

Γ΄. « Ποσάκις ἡ Αἰγυπτία ἠπείλησέ μοι θάνατον, ποσάκις τιμωρίαις παραδοῦσα (10) ἀνεκαλέσατό με, καὶ ἠπείλησέ μοι μὴ θέλοντι συνελθεῖν αὐτῇ (11); Ἔλεγε δέ μοι· « Κυριεύσεις μου καὶ πάντων τῶν ἐμῶν, ἐὰν ἐπιδῷς σεαυτὸν εἰς ἐμὲ, καὶ ἔσῃ ὡς δεσπότης ἡμῶν. » B Ἐγὼ οὖν ἐμιμνησκόμην λόγων πατέρων πατρός μου Ἰακὼβ, καὶ εἰσερχόμενος εἰς τὸ ταμιεῖον, προσηυχόμην Κυρίῳ, καὶ ἐνήστευον ἐν, τοῖς ἑπτὰ ἔτεσιν ἐκείνοις, καὶ ἐφαινόμην τῷ Αἰγυπτίῳ ὡς ἐν τρυφῇ διάγων· ὅτι οἱ διὰ τὸν Θεὸν νηστεύοντες τοῦ προσώπου τὴν χάριν προσλαμβάνουσιν. Ἐὰν δὲ ἐπεδίδου (12) μου οἶνον, οὐκ ἔπινον· καὶ τριημερίζων (13) ἐλάμβανόν μου τὴν δίαιταν, καὶ ἐδίδουν αὐτὴν πένησι καὶ ἀσθενοῦσιν. Καὶ ὤρθριζον πρὸς Κύριον, καὶ ἔκλαιον περὶ Μεμφίας (14) τῆς Αἰγυπτίας, ὅτι σφόδρα ἀδιαλείπτως ἐνώχλει μοι· καὶ ἐν νυκτὶ εἰσῄει πρός με, λόγῳ ἐπισκέψεως· καὶ τὰ μὲν πρῶτα (15) ὅτι τέκνον ἀρσενικὸν οὐκ ἦν αὐτῇ, προσεποιεῖτό με ἔχειν ὡς υἱόν. Καὶ ηὐξάμην πρὸς Κύριον, καὶ ἔτεκεν ἄῤῥεν. Ἕως χρόνου ὡς υἱὸν περιεπτύσσετό με· κἀγὼ ἠγνόουν· ἔσχατον (16) εἰς πορνείαν με ἐφειλκύσατο (17) C Καὶ νοήσας ἐλυπήθην ἕως θανάτου· καὶ ἐξελθούσης αὐτῆς, ἦλθον εἰς ἐμαυτὸν, καὶ ἐπένθησα περὶ αὐτῆς ἡμέρας πολλὰς, ὅτι ἔγνων τὸν δόλον αὐτῆς καὶ τὴν πλάνην. Καὶ ἔλεγον αὐτῇ ῥήματα Ὑψίστου, εἰ ἄρα ἀποστρέψει ἀπὸ τῆς ἐπιθυμίας αὐτῆς τῆς πονηρᾶς.

Δ΄. « Ποσάκις ὡς ἁγίῳ ἀνδρὶ ἐν λόγοις ἐκολάκευσέ με, μετὰ δόλου διὰ ῥημάνων ἐπαινοῦσα τὴν σωφροσύνην μου ἐνώπιον τοῦ ἀνδρὸς αὐτῆς, βουλομένη καταμόνας ὑποσκελίσαι με (18); Ἐδόξασέ με ὡς σώφρονα φανερῶς, καὶ ἐν κρυφῇ ἔλεγέ μοι· « Μὴ φοβηθῇς τὸν ἄνδρα μου· καὶ γὰρ πέπεισται περὶ τῆς σωφροσύνης σου· ὅτι κἂν εἴπῃ τις αὐτῷ περὶ ἡμῶν, οὐ μὴ πιστεύσῃ. » Ἐν τούτοις πᾶσι ἐχαμαικοίτουν ἐγὼ (19), καὶ ἐδεόμην τοῦ Θεοῦ, ὅπως ῥύσηταί D με ἐκ νῆς Αἰγυπτίας. Ὡς δὲ οὐδὲν ἴσχυσε, πάλιν ἐπὶ λόγῳ κατηχήσεως ἤρχετο πρός με, μαθεῖν λόγον Κυρίου· καὶ ἔλεγέ μοι· « Εἰ θέλεις, ἵνα καταλίπω τὰ εἴδωλα, συμπείσθητί (20) μοι· καὶ τὸν Αἰγύπτιον πείσω ἀποστῆναι τῶν εἰδώλων, ἐν νόμῳ

(7) Ἄνθρωπος. Υἱὸς ἀνθρώπου habet cod. Oxon. GRAB.

(8) Τόποις. Τούτοις. ID.

(9) Δικρόφοις τρόποις. Διαφόροις τόποις. ID.

(10) Παραδοῦσα. Παραδοῦναι, subintell. ἠπείλησε ID.

(11) Ἀνεκαλέσατό με, καὶ ἠπείλησέ μοι μὴ θέλοντι συνελθεῖν αὐτῇ. Ἀλλ' ὁ Θεὸς ἐῤῥύσατό με. ID.

(12) Επεδίδου. Ms. ἐπιδίδῃ. ID.

(13) Τριημερίζων. Deest. ID.

(14) Μεμφίας. Omissum est. ID.

(15) Τὰ μὲν πρῶτα desunt. ID.

(16) Ἔσχατον. Ὅτι habet cod. Oxon. quæ lectio melior mihi videtur. ID.

(17) Ἐφειλκύσατο. Ἐφειλκύετο. ID.

(18) Ποσάκις..... ὑποσκελίσαι με. Desunt ID.

(19) Ἐν τούτοις πᾶσι ἐχαμαικοίτουν ἐγώ. Ἐν σάκκῳ add. ID.

(20) Συμπείσθητι. Συγγένου. ID.

Κυρίου σου πορευόμενοι. » Λέγω (21) δὲ πρὸς αὐτήν· A « Οὐκ ἐν ἀκαθαρσίᾳ λέγει (22) Κύριος σεβομένους αὐτὸν, οὐδὲ ἐν τοῖς μοιχεύουσιν εὐδοκεῖ. » Κἀκείνη ἐσιώπησε (23) ποθοῦσα ἐκτελέσαι (24) τὴν ἐπιθυμίαν αὐτῆς. Κἀγὼ προσετίθουν νηστείαν καὶ προσευχὴν, ὅπως ῥύσηταί με ὁ Κύριος ἀπ' αὐτῆς.

Ε'. « Πάλιν δὲ ἐν ἑτέρῳ χρόνῳ λέγει μοι· « Εἰ μοιχεῦσαι οὐ θέλεις, ἐγὼ ἀναιρῶ τὸν Αἰγύπτιον, καὶ οὕτως νόμῳ (25) λήψομαί σε εἰς ἄνδρα. » Ἐγὼ οὖν, ὡς ἤκουσα τοῦτο, διεῤῥηξα τὴν στολήν μου, καὶ εἶπον· « Γύναι, αἰδέσθητι τὸν Κύριον, καὶ μὴ ποιήσῃς τὴν πρᾶξιν ταύτην τὴν πονηρὰν, ἵνα μὴ ἐξολοθρευθῇς· ὅτι καί γε ἐγὼ ἐξαγγελῶ τὴν ἐπίνοιαν τῆς ἀσεβείας σου πᾶσι. » Φοβηθεῖσα οὖν ἐκείνη, ἠξίου, ἵνα μηδενὶ ἀναγγείλω τὴν κακίαν αὐτῆς· καὶ ἀνεχώρησε, θέλπουσά (26) με δώροις, καὶ πέμπουσα πᾶσαν ἀπόλαυσιν υἱῶν ἀνθρώπων. B

Ϛ'. « Καὶ ἀποστέλλει μοι βρῶμα ἐν γοητείᾳ πεφυρμένον. Καὶ ὡς ἦλθεν ὁ εὐνοῦχος ὁ κομίζων αὐτὸ, ἐνέβλεψα, καὶ εἶδον φοβερὸν ἄνδρα, ἐπιδιδόντα μοι μετὰ τοῦ τρυβλίου μάχαιραν. Καὶ συνῆκα, ὅτι περιεργία αὕτη εἰς ἀποπλάνησιν ψυχῆς ἐστι. Καὶ, ἐξελθόντος αὐτοῦ, ἔκλαιον, μήτε ἐκείνου, μήτε ἄλλου γευσάμενος ἐδεσμάτων αὐτῆς. Μετὰ δὲ μίαν ἡμέραν ἐλθοῦσα πρός με, ἐπέγνω τὸ βρῶμα, καὶ λέγει πρός με. « Τί τοῦτο, ὅτι οὐκ ἔφαγες ἀπὸ τοῦ βρώματος; » Καὶ εἶπον πρὸς αὐτήν. « Ὅτι ἐπλήρωσας αὐτὸ θανάτου. Καὶ πῶς εἶπας, ὅτι οὐκ ἐγγίζω τοῖς εἰδώλοις, ἀλλὰ Κυρίῳ μόνῳ (27); Νῦν οὖν γνῶθι, ὅτι ὁ Θεὸς τοῦ πατρός μου δι' ἀγγέλου ἀπεκάλυψέ μοι τὴν κακίαν σου, καὶ ἐτήρησα αὐτὸ εἰς ἔλεγχόν σου εἰ ἄρα ἰδοῦσα αὐτὸ μετανοήσεις. Ἵνα C δὲ μάθῃς, ὅτι τῶν ἐν σωφροσύνῃ Θεὸν σεβόντων οὐ κατισχύει κακία ἀσεβούντων, λαβὼν ἐνώπιον αὐτῆς ἔφαγον, εἰπών· « Ὁ Θεὸς τῶν πατέρων μου, καὶ ὁ ἄγγελος Ἀβραὰμ ἔσται μετ' ἐμοῦ. » Ἡ δὲ ἔπεσεν ἐπὶ πρόσωπον εἰς τοὺς πόδας μου, καὶ ἔκλαυσε· καὶ ἀναστήσας αὐτὴν ἐνουθέτησα· καὶ συνέθετο τοῦ μὴ ποιῆσαι ἔτι τὴν ἀσέβειαν ταύτην.

Ζ'. « Ὅτι (28) δὲ ἡ καρδία αὐτῆς ἐνέκειτο εἰς ἐμὲ πρὸς ἀκολασίαν, καὶ (29) στενάζουσα προσέπιπτεν (30). Ἰδὼν δὲ ὁ Αἰγύπτιος, λέγει πρὸς αὐτήν· « Τί συνέπεσε τὸ πρόσωπόν σου; » Ἡ δὲ εἶπε· « Πόνον καρδίας ἀλγῶ ἐγὼ, καὶ οἱ στεναγμοὶ τοῦ πνεύματός μου συνέχουσί με. » Καὶ ἐθεράπευσεν αὐτὴν μὴ ἀσθενοῦσαν. Τότε εἰσεπήδησε πρός με, ἔτι ἔξω ὄντος τοῦ ἀνδρὸς αὐτῆς, καὶ λέγει μοι· « Ἄγχομαι, ἢ εἰς φρέαρ, D ἢ εἰς κρημνὸν ῥίπτω ἐμαυτὴν, ἐὰν μὴ συμπεισθῇς (31) μοι. » Καὶ νοήσας, ὅτι τὸ πνεῦμα τοῦ Βελιὰρ αὐτὴν (32) ἐνοχλεῖ, προσευξάμενος Κυρίῳ, εἶπον αὐτῇ· « Ἵνα τί ταράσσῃ καὶ θορυβῇ, ἐν ἁμαρτίαις τυφλώτ-

A Dei tui ambulabimus. « His ergo respondi : « In immundita non vult Dominus esse venerantes ipsum, neque in adulterantibus bene placitum est ei. » Et illa siluit, desiderans explere concupiscentiam suam. Et ego addidi jejunium et orationem, ut liberaret me Dominus ab ipsa.

V. « Rursus vero alio tempore dicit mihi : « Si adulterare non vis, ego occidam Ægyptum, et ita lege accipiam te in virum. » Ego igitur, ut audivi hoc, scidi stolam meam, et dicebam : « Mulier, reverere Deum, et ne facies hanc perniciosam rem, ut non dispereas ; quoniam et ego annuntiabo cogitationem impietatis tuæ omnibus. » Timens igitur illa, rogabat, ut nulli annuntiarem malitiam ejus ; et recessit, tentans me donis, et B mittens mihi omnia, quæ sunt in usum filiorum hominum.

VI. « Et misit mihi cibum incantatione commistum. Et ut venit eunuchus ferens illum, respexi, et vidi virum terribilem, tradentem mihi cum disco gladium. Et intellexi, quod hæc curiosa sedulitas in seductionem esset animæ meæ. Et egresso eo, flebam, neque illum, neque aliorum ciborum ipsius (mulieris) gustans. Post unum igitur diem ipsa veniens ad me, cognovit cibum, et dixit mihi : « Quid hoc est, quod non comedisti de cibo ? » Et dicebam ei : « Quoniam implesti illum morte. Et quomodo dixisti, quod non appropinquo idolis, sed Domino soli ? Nunc igitur cognosce, quod Deus patris mei per angelum revelavit mihi malitiam tuam, et servavi cibum in redargutionem tui, si C forte videns illum pœniteas. Ut vero discas, quod his qui in castitate Dominum venerantur, non prævalet malitia impie agentium, » accipiens coram ipsa comedi, dicens : « Deus patrum meorum, et angelus Abraham, erit mecum. » Illa vero cecidit in faciem ad pedes meos, et flevit : et erigens illam admonui ; et promisit se non esse facturam amplius impietatem hanc.

VII. « Adhuc vero cor ipsius in me exarserat ad adulterium, et ingemiscens cecidit. Videns vero eam Ægyptius, dicit ei : « Quid concidit facies tua ? » Illa vero dixit : « Dolore cordis ego doleo, et gemitus spiritus mei constringunt me. Et curabat eam non ægrotantem. Tunc insiluit ad me, adhuc foris exsistente viro suo, et dicit mihi : Suffocor, vel in puteum, vel præcipitium projicio meipsam, nisi mihi obtemperaveris. » Et intelligens, quod spiritus Beliar ipsam conturbat, orans Dominum, dixi ei : « Quid turbaris et tumultuaris, in peccatis excæcata ? Memento quod si occidas te-

(21) Λέγω. Ἔλεγον. Grab.
(22) Λέγει. Θέλει, recte legit cod. Oxon. Id.
(23) Ἐσιώπησε. Ἐφιλονείκει, quod plane contrarium sonat. Id.
(24) Ἐκτελέσαι. Τελέσαι. Id.
(25) Νόμῳ. Νομίσας. Id.
(26) Θέλπουσα. Lege θέλγουσα. Id.
(27) Κυρίῳ μόνῳ. Ex veneficio idolorum cultum colligit Josephus. Idololatria quippe et magia geminæ sunt sorores, ut alii ante me prolixe per exempla docuerunt. Ipse Spiritus S. Babeli una cum idololatria incantationes ascribit et veneficia, Isaiæ XLVII, et Apocalyps XV II. Id.
(28) Ὅτι. Ἔτι. Id.
(29) Καί. Deest in ms. Trim. Id.
(30) Προσπιπτεν. Συνέπιπτεν. Id.
(31) Συμπεισθῇς. Αὐγγένη. Id.
(32) Αὐτήν. Αὐτῇ. Id.

ipsam, Sethon, concubina viri tui, rivalis tua, colaphos infringet filiis tuis, et perdet memoriam tuam de terra. » Et dicit mihi : « Num igitur diligis me? sufficit mihi solum, quod protegis vitam meam, et filiorum meorum ; et habeo exspectationem potiundi desiderio meo. » Et non cognovit, quod propter Deum meum ita dixi, et non propter ipsam. Si enim aliquis passioni succumbat desiderii perniciosi, et huic servus efficiatur, ut et illa ; etsi bonum aliquid audierit, in passionem qua vincitur, accipit illud ad desiderium perniciosum.

VIII. Dico vobis, filii, quod hora erat quasi sexta, quando exivit a me ; et ego genu flectens (oravi) ad Dominum totum diem, et totam noctem conjungens, circa diluculum surrexi lacrymans, et petens liberationem ab Ægyptia. In fine igitur apprehendit mea vestimenta, violenter attrahens me ad concubitum. Ut igitur vidi quod insaniens tenuit vestimenta mea, nudus effugi. Illa vero calumniata est me apud virum suum : et injecit me in carcerem qui erat in domo sua Ægyptius ; et sequenti die, cum flagellasset me, misit me in carcerem Pharaonis. Et cum vinctus jacerem in compedibus, Ægypta infirmata est dolore, et auscultabat mihi, qualiter hymnis laudabam Dominum in domo tenebrarum, et hilari voce gaudens glorificabam Deum meum solum, quod per (hanc) occasionem amovebar ab Ægyptia.

IX. « Multoties misit ad me, dicens : Digneris implere desiderium (meum), et liberabo te a vinculis, et eripiam te ex tenebris : » et neque usque ad cogitationes inclinavi ad eam. Diligit enim Deus eum magis, qui in lacu tenebrarum jejunat in castitate, quam eum qui in cellis penuariis opipare luxuriatur. Qui autem in castitate vivit et vult gloriam, et si noverit Altissimus, quod expediat, tribuit ei et hæc, quemadmodum et mihi. Quoties, quamvis infirmata, descendit ad me immature, et audivit vocem mei orantis? intelligens vero ego suspiria ejus, silui. Etenim cum eram in domo ejus, nudavit brachia sua, et pectora, et tibias, ut inciderem in eam : valde enim erat pulchra, maximeque ornata, ut me deciperet. Et Dominus custodivit me a conatibus ejus.

X. « Videte igitur, filii mei, quanta operatur sustinentia, et oratio cum jejunio. Et vos igitur, si sobrietatem et castitatem transeatis in sustinentia et humilitate cordis, Dominus habitabit in vobis, quoniam dilexit sobrietatem. Ubi vero habitat Altissimus, etsi aliquis incidat in invidiam, vel ser-

A τουσα ; Μνήσθητι ὅτι ἐὰν ἀνέλῃς σαυτὴν, ἡ Σηθῶν (33), ἡ παλλακὴ τοῦ ἀνδρός σου, ἡ ἀντίζηλός σου, κολαφίσει (34) τὰ τέκνα σου, καὶ ἀπολέσει τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς. » Καὶ λέγει πρός με· « Εἰ οὖν ἀγαπᾷς με ; ἀρκεῖ μοι μόνον, ὅτι ἀντιποιῇ (35) τῆς ζωῆς μου, καὶ τῶν τέκνων μου· καὶ ἔχω προσδοκίαν ἀπολαῦσαι τῆς ἐπιθυμίας μου. » Καὶ οὐκ ἔγνω, ὅτι διὰ τὸν Θεόν μου εἶπον οὕτως, καὶ οὐχὶ δι' αὐτήν. Ἐὰν γάρ τις πάθειν ὑποπέσῃ ἐπιθυμίας πονηρᾶς, καὶ τούτῳ δουλευθῇ, ὡς κἀκείνη· κἂν ἀγαθόν τι ἀκούσῃ, εἰς τὸ πάθος ᾧ ἡττᾶται (36), ἐκλαμβάνει αὐτὸ πρὸς ἐπιθυμίαν πονηράν.

Η'. « Λέγω ὑμῖν, τέκνα, ὅτι ὥρα ἦν ὡσεὶ ἕκτη, ὅτε ἐξῆλθεν ἀπ' ἐμοῦ· κἀγὼ γόνυ κλίνας πρὸς Κύριον ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα συνάψας, B περὶ τὸν ὄρθρον ἀνέστην δακρύων καὶ αἰτῶν λύτρωσιν ἀπὸ τῆς Αἰγυπτίας. Τέλος οὖν ἐπιλαμβάνεταί μου τῶν ἱματίων, μετὰ βίας ἐφελκομένη με εἰς συνουσίαν. Ὡς οὖν εἶδον ὅτι μαινομένη κρατεῖ τὰ ἱμάτιά μου, γυμνὸς ἔφυγον. Κἀκείνη ἐσυκοφάντησέ με πρὸς τὸν ἄνδρα αὐτῆς· καὶ ἐνέβαλέ με εἰς φυλακὴν ἐν οἴκῳ αὐτοῦ ὁ Αἰγύπτιος· καὶ τῇ ἑξῆς μαστίξας με, ἔπεμψέ με εἰς τὴν εἱρκτὴν τοῦ Φαραώ (37). Ὡς οὖν ἤμην ἐν πέδαις, ἡ Αἰγυπτία ἠσθένει ἀπὸ τῆς λύπης, καὶ ἐπηκροᾶτό μου, πῶς ὕμνουν τὸν Κύριον ἐν οἴκῳ σκότους, καὶ ἐν ἱλαρᾷ φωνῇ χαίρων ἐδόξαζον τὸν Θεόν μου μόνον, ὅτι διὰ προφάσεως ἀπηλλάγην τῆς Αἰγυπτίας.

Θ'. « Πολλάκις ἔπεμψε πρός με, λέγουσα· « Εὐδόκησον πληρῶσαι τὴν ἐπιθυμίαν, καὶ λυτρώσω (38) C σε τῶν δεσμῶν, καὶ ἀπαλλάξω σε τοῦ σκότους· » Καὶ οὐδὲ ἕως ἐννοιῶν ἔκλινα πρὸς αὐτήν. Ἀγαπᾷ γὰρ ὁ Θεὸς μᾶλλον τὸν ἐν λάκκῳ σκότους νηστεύοντα (39) ἐν σωφροσύνῃ, ἢ τὸν ἐν ταμείοις τρυφῶντα (40) μετὰ ἀκολασίας. Ὁ δὲ ἐν σωφροσύνῃ διάγων θέλει καὶ δόξαν, καὶ εἰ οἶδεν ὁ Ὕψιστος, ὅτι συμφέρει, παρέχει αὐτῷ καὶ ταῦτα (41), ὡς κἀμοί. Ποσάκις, καίπερ ἀσθενοῦσα, κατήει πρός με ἐν ἀωρίᾳ, καὶ ἤκουσε τῆς φωνῆς μου προσευχομένου ; συνιὼν δὲ ἐγὼ τοὺς στεναγμοὺς αὐτῆς, ἐσιώπουν. Καὶ γὰρ ὅτε ἤμην ἐν τῷ οἴκῳ αὐτῆς, ἐγύμνου τοὺς βραχίονας αὐτῆς, καὶ τὰ στέρνα, καὶ τὰς κνήμας, ἵνα συμπέσω εἰς αὐτήν· πάνυ γὰρ ἦν ὡραία, μάλιστα κοσμουμένη πρὸς ἀπάτησίν μου. Καὶ ὁ Κύριος ἐφύλαξέ με ἀπὸ τῶν ἐγχειρημάτων αὐτῆς.

D Ι'. « Ὁρᾶτε οὖν, τέκνα μου, πόσα κατεργάζεται ἡ ὑπομονὴ, καὶ ἡ προσευχὴ μετὰ νηστείας. Καὶ ὑμεῖς οὖν, ἐὰν τὴν σωφροσύνην καὶ τὴν ἁγνείαν μετέλθητε ἐν ὑπομονῇ καὶ ταπεινώσει καρδίας, Κύριος κατοικήσει ἐν ὑμῖν, ὅτι ἠγάπησε τὴν σωφροσύνην. Ὅπου δὲ κατοικεῖ ὁ Ὕψιστος, κἂν τις περιπέσῃ φθόνῳ, ἢ

(33) Ἡ Σηθῶν. Omis Grab.
(34) Κολαφίσει. Κονδυλίσει, pugnos impinget. Id.
(35) Ὅτι ἀντιποιῇ. Ἀντιποιῆσαι. Id.
(36) Ὧ ἡττᾶται· Deest. Id.
(37) Τὴν εἱρκτὴν τοῦ Φαραώ. Ita emendo, ex ms. cod. Oxon. pro quibus antehac legebatur iterum : Φυλακὴν ἐν οἴκῳ αὐτοῦ ὁ Αἰγύπτιος. Id. — Emendatio minime forte admittenda, si cum iis quæ de Ægyptia statim subduntur, conferatur.
(38) Λυτρώσω Λύσω. Grab.
(39) Νηστεύοντα. Πιστεύοντα perperam habet cod. Oxon. Id.
(40) Τρυφῶντα. Βασιλέων add. cod. Oxon. Id.
(41) Ταῦτα. Ταύτην. Id.

δουλείᾳ, ἢ συκοφαντίᾳ (42), Κύριος ὁ ἐν αὐτῷ κατοικῶν, διὰ τὴν σωφροσύνην οὐ μόνον ἐκ τῶν κακῶν ῥύεται, ἀλλὰ καὶ ὑψοῖ, καὶ δοξάζει αὐτὸν, ὡς κἀμέ. Πάντως γὰρ ὁ ἄνθρωπος, ἢ ἐν ἔργῳ, ἢ ἐν λόγῳ, ἢ ἐν διανοίᾳ συνέρχεται (43). Γινώσκουσιν οἱ ἀδελφοί μου, πῶς ἠγάπησέ με ὁ πατήρ μου· καὶ οὐχ ὑψούμην ἐν τῇ καρδίᾳ μου· καίπερ νήπιος ὢν, εἶχον τὸν φόβον τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ μου· ᾔδειν γὰρ, ὅτι τὰ πάντα παρελεύσεται, καὶ ἐμέτρουν ἐμαυτὸν, καὶ ἐτίμουν τοὺς ἀδελφούς μου. Καὶ διὰ τὸν φόβον αὐτῶν ἐσιώπουν πιπρασκόμενος, μὴ εἰπεῖν τοῖς Ἰσμαηλίταις τὸ γένος μου, ὅτι υἱός εἰμι Ἰακὼβ, ἀνδρὸς μεγάλου καὶ δυνατοῦ.

ΙΑ'. « Καὶ ὑμεῖς οὖν ἔχετε ἐν πράξει ὑμῶν τὸν (44) τοῦ Θεοῦ φόβον, καὶ τιμᾶτε τοὺς ἀδελφοὺς ὑμῶν. Πᾶς γὰρ ὁ ποιῶν νόμον Κυρίου, ἀγαπηθήσεται ὑπ' αὐτοῦ. Ἐλθὼν οὖν εἰς Ἰνδοκολπίτας μετὰ τῶν Ἰσμαηλιτῶν, ἠρώτουν με· κἀγὼ εἶπον, ὅτι δοῦλός εἰμι ἐξ οἴκου, ἵνα μὴ αἰσχύνω τοὺς ἀδελφούς μου. Λέγει δέ μοι ὁ μείζων αὐτῶν· « Οὐ εἶ δοῦλος, ὅτι καὶ ἡ ὄψις σου δηλοῖ περὶ σοῦ· » καὶ ἠπείλει μοι ἕως θανάτου. Ἐγὼ δὲ ἔλεγον, ὅτι δοῦλος αὐτῶν εἰμι. Ὡς δὲ ἤλθομεν εἰς Αἴγυπτον, περὶ ἐμοῦ ἐμάχοντο, τίς προσδοὺς χρυσίον λάβῃ με. Διότι πᾶσιν ἔδοξεν εἶναί με εἰς Αἴγυπτον πρὸς μετάβολον ἐμπορίας αὐτῶν, ἕως ἐπιστρέψωσι φέροντες ἐμπορίαν. Καὶ ὁ Κύριος ἔδωκέ μοι χάριν ἐν ὀφθαλμοῖς τοῦ μεταβόλου, καὶ ἐπίστευσέ μοι τὸν οἶκον αὐτοῦ. Καὶ εὐλόγησεν αὐτὸν ὁ Κύριος ἐν χειρί μου, καὶ ἐπλήθυνεν αὐτὸν ἐν ἀργυρίῳ καὶ χρυσίῳ· καὶ ἤμην μετ' αὐτοῦ μῆνας τρεῖς, καὶ ἡμέρας πέντε.

ΙΒ'. « Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν παρῄει ἡ Μεμφία (45) γυνὴ τοῦ Πετεφρὶ (46) μετὰ δόξης πολλῆς, καὶ ἐπέβαλεν ἐπ' ἐμὲ τοὺς ὀφθαλμοὺς αὐτῆς· ὅτι εἶπον αὐτῇ οἱ εὐνοῦχοι περὶ ἐμοῦ. Καὶ λέγει τῷ ἀνδρὶ αὐτῆς περὶ τοῦ μεταβόλου, ὅτι ἐπλούτησεν ἐν χειρὶ νέου τινὸς Ἑβραίου· λέγουσι δὲ, ὅτι καὶ κλοπῇ ἔκλεψαν αὐτὸν ἐκ γῆς Χαναάν. Νῦν οὖν ποίησον μετ' αὐτοῦ κρίσιν, καὶ ἀφελοῦ τὸν νεανίαν εἰς οἰκονόμον (47) σου· καὶ εὐλογήσει σε ὁ τῶν Ἑβραίων Θεὸς, ὅτι χάρις ἐκ τοῦ οὐρανοῦ ἐστιν ἐπ' αὐτῷ.

ΙΓ'. « Ὁ δὲ Πετεφρὶς (48) πεισθεὶς τοῖς λόγοις αὐτῆς, ἐκέλευσεν ἀχθῆναι τὸν μετάβολον, καὶ λέγει αὐτῷ· « Τί ταῦτα ἀκούω, ὅτι κλέπτεις ψυχὰς ἐκ γῆς Ἑβραίων (49) εἰς παῖδας μετεμπολῶν (51); » Πεσὼν οὖν ἐπὶ πρόσωπον αὐτοῦ ὁ μετάβολος, ἐδέετο λέγων· « Δέομαί σου, κύριε, οὐκ οἶδα ὃ λέγεις. » Ὁ δὲ ἔφη· « Πόθεν οὖν ὁ παῖς σοι ὁ Ἑβραῖος; » Καὶ εἶπεν· « Οἱ Ἰσμαηλῖται παρέθεντό μοι αὐτὸν, ἕως

A vitutem, vel calumniam, Dominus qui in ipso habitat, propter castitatem non solum a malis liberat, sed et exaltat et glorificat ipsum. Sicut et me. Omnino enim homo, vel in opere, vel in verbo, vel in cogitatione continetur. Cognoscunt fratres mei, qualiter dilexit me pater meus: et non exaltatus sum in corde meo; quamvis puer existens, habebam timorem Dei in mente mea. Scivi enim, quod omnia transibunt, et moderabar meipsum, et honorabam fratres meos; et propter timorem eorum silui venditus, ut non dicerem Ismaelitis genus meum, quod filius esse Jacob, viri magni et potentis.

XI. « Et vos igitur habete in actu vestro Dei timorem, et honorate fratres vestros. Omnis enim B qui facit legem Dei, diligitur ab ipso. Veniens igitur ad Indocolpitas cum Ismaelitis, interregabant me: et ego dicebam, quod servus essem ex domo, ut non confunderem fratres meos. Dicit vero mihi major eorum: « Non es servus, quoniam et aspectus tuus ostendit de te; » et minatus est mihi usque ad mortem. Ego vero dicebam, quod servus ipsorum essem. Ut autem venimus in Ægyptum de me decertabant, quis addens thesaurum acciperet me. Ideo placuit omnibus, ut essem in Ægypto apud negotiatorem negotiationis ipsorum, usquequo reverterentur ferentes negotiationem. Et Dominus dedit mihi gratiam in oculis negotiatoris, et credidit mihi domum suam. Et benedixit ei Dominus in manu mea, et implevit eum argento et auro; et eram cum ipso mensibus tribus, et diebus quinque.

C XII. « Secundum illud tempus transivit Memphitica mulier Petephri cum gloria multa, et injecit super me oculos suos; quoniam dixerant ei eunuchi de me. Et dicit viro suo de negotiatore, quod ditatus esset in manu juvenis cujusdam Hebræi: dicunt vero, quod furto furati essent eum de terra Chanaan. Nunc ergo fac cum eo judicium, et aufer juvenem in dispensatorem tuum; et benedicet tibi Deus Hebræorum, quoniam gratia ex cœlo est in ipso.

XIII. « Petephris dero persuansus verbis ipsius, jussit adduci negotiatorem, et dicit ei: « Quid hæc audio, quod furaris animas ex terra Hebræorum, in pueris vendendis (50)? » Cadens igitur negotiator in faciem suam, precabatur dicens: « Precor te, D domine, non novi quid dicis. » Ille vero ait: « Unde igitur tibi puer Hebræus? » Et dixit: « Ismaelitæ commendaverunt mihi ipsum, usquequo revertan-

(42) Ἢ συκοφαντίᾳ. Ἢ σκότει, addit cod. Oxon. omissis sequentibus a Κύριος usque σωφροσύνην. GRAB.

(43) Συνέρχεται. Συνέχεται ms. Trin. ID.

(44) Πράξει ὑμῶν τόν· Πάσῃ πράξει ὑμῶν πρὸ ὀφθαλμῶν τόν. ID.

(45) Μεμφία. Μεμφὶς ἡ ἐλλακπίνη τοῦ πεντεφρῆ. ID.

(46) Πετεφρί. Ita is, qui in Hebræo dicitur *Potiphar*, vocatur a LXX juxta exemplar Vaticanum, nisi quod ῃ loco ι habet. ID.

(47) Οἰκονόμον. Οἶκον· ID.

(48) Πετεφρίς. Πεντεφρῆς. ID.

(49) Ἑβραίων. Χαναάν. ID.

(50) *In pueris vendendis. In pueros vendens*, id est in servos sive famulos. ID.

(51) Μετεμπολῶν. Ἀπεμπολῶο rectius legitur in cod. Oxon. Neque enim verbum μετεμπολάω in ullo scriptore legisse memini. ID.

tur. » Et non credidit ei : sed jussit nudum flagellari eum. Sustinente vero eo, dixit Petephris : « Adducatur juvenis. » Et inductus supplicavi principi eunuchorum ; tertius enim erat in dignitate apud Pharaonem, princeps omnium eunuchorum, habens uxores, et concubinas, et filios. Et cum me seorsum duxisset, dixit : « Servus es, an liber ? » et dicebam : « Servus. » Et dicit mihi : « Cujus es servus ? » Et dico ei : « Ismaelitarum. » Et rursus dixit mei : « Qualiter ipsorum factus es servus ? » Et dicebam : « Quoniam ex terra Chanaan emerunt me. » Ille vero non credidit, dicens : « Mentiris ; » et nudum jussit me flagellari.

XIV. « Memphitica vero vidit per fenestram me flagellatum, et mittit ad virum suum, dicens : « Injustum est judicium tuum, quoniam et furto abreptum liberum punis, ut injuste agentem. » Ubi autem non commutavi verbum flagellatus, jussit custodiri me, usquequo veniant, ait, domini pueri. Et uxor ejus dicit ei : « Propter quid detines captivum nobilem puerum, quem oportuit magis solvi, et famulari tibi ? » Voluit enim me videre in desiderio peccati ; et ignorabam de omnibus his. Ille vero dixit Memphiticæ : « Non licet apud Ægyptios, ante ostensionem auferri aliena. » Hoc dixit de negotiatore ; et de me, quoniam debui inclusus teneri.

XV. « Post viginti vero et quatuor dies venerunt Ismaelitæ ; et quia audiverant, quod Jacob pater meus tristatur de me, dixerunt mihi : « Quid est, quod dixisti teipsum servum esse ? et ecce cognovimus, quod filius es viri magni in terra Chanaan ; et tristatur de te pater tuus in sacco. » Et rursus volui lacrymari, et continui meipsum, ut non confunderem fratres meos. Et dixi : « Ego istud non novi ; servus sum. » Tunc inibant consilium vendendi me, ne invenirer in manibus eorum. Timuerunt, enim Jacob, ne faceret in eis vindictam periculi. Auditum est enim, quod magnus esset apud Dominum et homines. Tunc dicit negotiator eis : « Solvite me a judicio Petephri. » Accedentes igitur petebant me, dicentes : « Dic quod argento emptus es a nobis, et ille absolvet nos. »

XVI. « Memphitica vero ostendit viro suo, ut emeret me : « Audio enim, ait, quod vendunt eum. Et misit eunuchum ad Ismaelitas, (et) petiit me in venditionem ; et non volens facere cum eis (60),

A οὗ ἐπιστρέψωσι. » Καὶ οὐκ ἐπίστευσεν αὐτῷ· ἀλλ' ἐκέλευσε γυμνὸν τύπτεσθαι αὐτόν. Ἐπιμένοντος δὲ αὐτοῦ, λέγει ὁ Πετεφρίς. « Ἀχθήτω (52) ὁ νεανίσκος. » Καὶ εἰσαχθεὶς προσεκύνησα τῷ ἀρχιευνούχῳ· τρίτος γὰρ ἦν ἐν ἀξίᾳ παρὰ τῷ Φαραὼ, ἄρχων πάντων τῶν εὐνούχων, ἔχων γυναῖκας, καὶ παλλακὰς, καὶ τέκνα. Καὶ διαχωρίσας με ἀπ' αὐτοῦ, εἶπε. « Δοῦλος εἶ, ἢ ἐλεύθερος ; » καὶ εἶπον· « Δοῦλος. » Καὶ λέγει πρός με· « Τίνος εἶ δοῦλος ; » καὶ λέγω αὐτῷ· « Τῶν Ἰσμαηλιτῶν. » Καὶ πάλιν λέγει μοι· « Πῶς αὐτῶν ἐγένου δοῦλος ; » καὶ εἶπον· « Ὅτι ἐκ γῆς Χαναὰν ἐπρίαντό με. « Ὁ δὲ ἠπίστησε, λέγων, ὅτι « ψεύδῃ· » καὶ γυμνὸν ἐκέλευσέ με τύπτεσθαι.

ΙΔ'. « Ἡ δὲ Μέμφις ἑώρα διὰ θυρίδος τυπτομένου μου, καὶ ἀποστέλλει πρὸς τὸν ἄνδρα αὐτῆς, λέγουσα· « Ἄδικός ἐστιν ἡ κρίσις σου, ὅτι καὶ τὸν κλαπέντα
B ἐλεύθερον τιμωρεῖς, ὡς ἀδικήσαντα. » Ὡς δὲ οὐκ ἤλλαξα τὸν λόγον τυπτόμενος, ἐκέλευσε φυλακισθῆναί (53) με, ἕως οὗ ἔλθωσι, φησὶν, οἱ κύριοι τοῦ παιδός. Καὶ ἡ γυνὴ λέγει πρὸς αὐτόν· « Διὰ τί συνέχεις τὸν αἰχμάλωτον εὐγενῆ παῖδα, ὃν ἔδει μᾶλλον ἄνετον εἶναι, καὶ ὑπηρετεῖν σου ; » ἤθελε γάρ με ὁρᾷν ἐν πόθῳ ἁμαρτίας· καὶ ἠγνόουν ἐν πᾶσι τούτοις. Ὁ δὲ εἶπε πρὸς τὴν Μέμφιν· « Οὐκ ἔστι παρ' Αἰγυπτίοις, πρὸ ἀποδείξεως ἀφαιρεῖσθαι τὰ ἀλλότρια. » Ταῦτα εἶπε περὶ τοῦ μεταβόλου, καὶ περὶ ἐμοῦ, ὅτι (54) ὄφειλα ἐγκατάκλειστος εἶναι.

ΙΕ'. « Μετὰ δὲ εἴκοσι τέσσαρας ἡμέρας ἦλθον οἱ Ἰσμαηλῖται· καὶ ἀκούσαντες, ὅτι Ἰακὼβ ὁ πατήρ μου πενθεῖ περὶ ἐμοῦ, εἴπασι πρός με· « Τί ὅτι εἶπας σεαυτὸν, ὅτι δοῦλός εἰμι ; καὶ ἰδοὺ ἔγνωμεν,
C ὅτι υἱὸς εἶ ἀνδρὸς μεγάλου ἐν τῇ γῇ Χαναὰν, καὶ πενθεῖ περὶ σοῦ ὁ πατήρ σου ἐν σάκκῳ. » Καὶ πάλιν ἤθελον (55) δακρῦσαι, ἐπέσχον ἐμαυτὸν, ἵνα μὴ αἰσχύνω τοὺς ἀδελφούς μου. Καὶ εἶπον· « Ἐγὼ οὐκ οἶδα· δοῦλός εἰμι. » Τότε βουλεύονται πωλῆσαί με, ἵνα μὴ εὑρεθῶ ἐν χερσὶν αὐτῶν. Ἐφοβοῦντο γὰρ τὸν Ἰακὼβ, ἵνα μὴ ποιήσῃ ἐν αὐτοῖς ἐκδίκησιν κινδύνου. Ἠκούσθη γὰρ, ὅτι μέγας ἐστὶ παρὰ Κυρίῳ καὶ ἀνθρώποις. Τότε λέγει ὁ μετάβολος αὐτοῖς· « Λύσατέ με ἀπὸ τῆς κρίσεως Πετεφρί. » Προσελθόντες οὖν ᾔτουν με, λέγοντες· « Εἰπὲ, ὅτι ἐν ἀργυρίῳ ἠγοράσθη (56) ἡμῖν, κἀκεῖνος ἀπέλυσεν (57) ἡμᾶς.

Ις'. « Ἐδήλωσε δὲ ἡ Μέμφις τῷ ἀνδρὶ αὐτῆς, πρίασθαί με· « Ἀκούω γὰρ, φησὶν, ὅτι πωλοῦσιν
D αὐτόν. » Καὶ ἀπέστειλεν εὐνοῦχον τοῖς Ἰσμαηλίταις (58), ᾐτεῖτο εἰς πρᾶσιν (59)· καὶ μὴ θελήσας

(52) Ἀχθήτω Ἀποκριθήτω. Grab.

(53) Φυλακισθῆναι. Φυλαχθῆναι. Id.

(54) Ὅτι. Cod. Oxon. hic inserit : Καὶ ὁ παῖς οὖν ὀφείλει. Id.

(55) Πάλιν ἤθελον. Πάνυ θέλων. Id.

(56) Ἠγοράσθη. Ἐπράθης venditus es Id.

(57) Ἀπέλυσεν. Ἀπολύσει. Id.

[61] αὗται γὰρ... ἐκβάλλουσιν cum A. B corruptissime sic : αὗται δὲ αἱ ὠδύναι ἢ κουφώτεραί ἠσιν καὶ ὑπομαίνεσθαι δύνανται· εἶται βαρίαι ἠσὶν καὶ ταχέως τὴν ψυχὴν ἐκβαλοῦσαι. C οὗτοι γὰρ οἱ πόνοι ἐλαφροὶ εἰσι καὶ ὑπομονητικοί· εἰ δεινοί, καὶ τάχιον τὰς ψυχὰς ἐκφέρουσιν. D *isti enim dolores aut leves sunt et tolerantur, aut graves sunt et cito animam ejiciunt.* [62] ἐκεῖναι δὲ αἱ ὀδ. αἰώνιοι (B -νιαι) τυγχ. (B εἰσιν) ἔνθα (B add. ἐστὶν) καθημ. (B ἡμερούσιος) κλαυθμοὶ (- μὸς B) κ. οἰμωγαὶ (B οἰμογεί, i. e. οἰμωγή) κ. ὀλολυγμοὶ (B -σμός) κ. ἀτ. βάσ. cum A (B) : C ἐκεῖνοι δὲ αἰώνιοί εἰσιν, ὅπου καθημερινὸς ὀδυρμὸς καὶ αἱμωγαὶ (Woog αἱμωδιὰ) καὶ ὀλολυγμὸς καὶ ἀτελ. κρίσις ; D *illi autem dolores æterni sunt, ubi est quotidianus fletus et mugitus et luctus et sine fine cruciatus.* [63] B πρὸς ὃν Αἰγ. ὁ ἀνθ. ἀπ. οὐ δέδειχεν : C ἔνθα ὁ Αἰγέας ὁ ἀνθύπατος πορευθῆναι οὐ πτοῆται. [64] C ἕτοιμει μᾶλλον. [65] ὅπως... ἀναπαύσεις (B χαράς, D *gaudia*) καταντ. cum ABD : C ἵνα δ. τ. προσκαιρων θλ. εἰς τὴν αἰώνιον χαρὰν φθάσητε. [66] ἀεί τε ἐπανθήσητε (codex corrupte πενθήσηται)... συμβασ. cum A. B ἔνθα διὰ παντὸς εὐφρανθῆτε, ἀεί τε ἐπανθήσητε, ἅμα σὺν Χρ. βασιλεύσητε, C ἔνθα πάντοτε εὐφρανθῆτε, πάντοτε ἐξανθήσητε, ἀεὶ σὺν Χρ. βασιλεύσητε. D *ubi semper lætemini, semper floreatis semperque cum Christo regnetis.* [67] Ταῦτα... ἀποστ. Ἀνδρέου (B Ἀνδρ. τοῦ ἀποστ.)... ἐν τῷ τὸ φῶς τῆς ἡμέρας (ita B ; A τὴν ἡμέραν τὸ φῶς ; D *dum lux diei in matutino prorumperet*) διαυγ. cum AB D. C Ταῦτα τοῦ ἁγίου Ἀνδρέου δι' ὅλης τ. ν. τῷ λαῷ παραινοῦντος, ἐν τῷ αὐγάζειν πρωῒ ἡμέραν. [68] μεταπεμψάμενος... εἶπεν cum AB; CD ἀπέστειλεν ὁ Αἰγέας καὶ ἤγαγεν θρὸς ἑαυτὸν τὸν ἅγιον Ἀνδρ. καὶ καθίσας. εἶπεν. [69] Ἐλογισάμην... μωρίας (A add. ἐκείνης)... ἐνδουναι cum AB. C Δοκῶ διὰ τῆς νυκτὸς ἐσκέψω (Woog ἐπισκέψεως) ἀποστρέψαι τὸν λογισμόν σου ἐκ τῆς ἀπαιδευσίας σου καὶ τῆς τοῦ Χρ. σου αἰνέσεως παύσασθαι. D. *Existimavi te nocturna cogitatione revocare animum tuum a stultitia et a Christi tui laude cessare.* [70] ὅπως δυνήσῃ (B δυνηθήσει) μεθ' ἡμ. εἶν. καὶ (B om. μ. ε. καὶ) μὴ ἀποβ. τὰ τοῦ β. χαρ. (hæc corrupta B τὰ τοῦ β. ἀποκαλέσθαι χαριεντί)· μωρία (B μωρὸν) γ. ἐ. προθέσ. τινὰ (B τὸ λοινόν [codex λειπόν] θέλειν) πρὸς... ἐλθεῖν (B ἐπιέναι).. αἰσχίσταις (codex-στοις) ἑαυτ. (B ἑαυτ. αἰσχυντοῖς) παραπ. cum A. C (D) ὅπως δυνήσῃ μεθ' ἡμῶν τὰς (codex τὰ) τῆς ζωῆς μὴ καταλεῖψαι χάριτας. ἀβέλτερον (codex ἀβέλτερον (γάρ ἐστιν τοῦ λοιποῦ θελῆσαι (D *stultum est enim ultro velle*) εἰς τὸ τοῦ σταυροῦ πάθος πορευθῆναι καὶ πυραῖς καὶ φλοξὶ χαλεπαῖς (ita Woog ; codex ἐπυραῖς χαλαιπαῖς(ἑαυτὸν παραστῆσαι (D *et ignibus et flammis te ipsum pessimis destinare.*) [71] Ὁ ἅγιοτ D om. [72] B ἀπεκρίνατο. [73] B Τὰς χαριτας μετὰ σοῦ ἔχειν δυνήσωμαι εἰ πιστεύσεις τῷ Χρ. μου καὶ... θρησκεῖαν. ἀπέστ... αὐτὴν τὴν ἐπαρχ... τῷ Κυρίῳ περιποιήσωμαι : C Χάριτας ἔχειν σὺν σοὶ δυνήσομαι ἐὰν τῷ Χρ. πιστεύων καταλείπεις (-πῃς Woog) τὸ σέβας τῶν εἰδώλων. ὁ γὰρ Χρ. με ἀπέσταλκεν εἰς ταύτην τὴν χώραν, εἰς ἣν (Woog ἐν ᾗ) οὐ μικρὸν λαὸν ἐξεζήτησα τῷ Κυρίῳ : D *Gaudia tecum habere potero si credens Christo dimittas culturas idolorum, Christus enim... acquisivi.* [74] Διὰ τοῦτό σε σπ. συνωθ. ὅπως οὗτοι (ex B sumpsi om. A) οἱ διὰ σοῦ νουθετηθέντες λ. ἐγκαταλείψωσι... διδαχῆς... χαρίεντας (ex B sumpsi, om. A) σπ. : C Διὰ γ. τ. σε συνωθῶ θῦσαι ἵνα οὗτοι οἱ ὑ. σ. πλανηθέντες λ. καταλείπωσι τὴν... διδασκαλ. καὶ θύσωσι τοῖς θεοῖς : D *Ideo te sacrificare compello ut isti qui per te decepti sunt populi relinquant vanitatem tuæ doctrinæ et ipsi diis offerant grata libamina.* [75] οὐδὲ γὰρ (BC μ. γ.) πολ. (C post Ἀχ. ponit) ἀπέμ. (B ἐνέμ., C ἐγκατελείφθη) ἐν (A om.) τ. Ἀχ. ἐν ᾗ (B οὗ

Sanctus Andreas dixit : Ego crucis Christi servus sum, et crucis tropæum optare potius debeo, quam timere ; tibi autem cruciatus æternus reservatur, quem poteris evadere, si postquam probaveris perseverantiam meam, credideris Christo meo. Ego enim propter tuum interitum angustior : non de mea passione conturbor. Passio enim mea, aut unius diei spatium occupat, aut duorum ut multum: tuus autem cruciatus, per infinita sæcula non accipiet terminum. Unde desine jam miserias tuas augmentare, et ignem æternum tibimetipsi accendere.

Tunc indignatus Ægeates, cruci beatum Andream affligi præcepit.

Ille autem, omnibus relictis, ad crucem venit, eamque sic est voce magna allocutus : Salve, crux, quæ in corpore Christi dedicata es, et ex membrorum ejus quasi margaritis ornata. Equidem priusquam te ascenderet Dominus meus, timorem magnum terrenum habebas : modo vero cœlesti amore plena erectionis tuæ desiderium excitasti. Didici enim a credentibus, quantas in te gratias habeas, quanta munera præparata. Securus ergo et gaudens venio ad te, ita ut et tu exsultans suscipias me, discipulum ejus qui pependit

A Ὁ ἅγιος Ἀνδρέας εἶπεν. Ἐγὼ τοῦ σταυροῦ τοῦ Χριστοῦ δοῦλος τυγχάνω [5], καὶ μᾶλλον ὤφειλον εὔξασθαι ἐντυχεῖν τῷ τροπαίῳ τοῦ σταυροῦ ἤπερ δειλιᾶσαι [6]· σοὶ δὲ αἰώνιος ἀπόκειται βάσανος, ἥνπερ καὶ ἐκφυγεῖν δυνήσει μετὰ τὸ δοκιμάσαι σε τὴν ὑπομονήν μου, ἐὰν πιστεύσῃς τῷ Χριστῷ μου [7]. Ἐγὼ γὰρ περὶ τῆς σῆς ἀπωλείας θλίβομαι, καὶ οὐ περὶ τῆς ἐμῆς παθήσεως συνταράσσομαι [8]. Ἡ γὰρ πάθησίς μου ἢ μιᾶς ἡμέρας διάστημα καταλαμβάνει [9] ἢ δύο τὸ πολύ [10]· ὁ δὲ σὸς βασανισμὸς [11] εἰς ἀτελευτήτους αἰῶνας οὐ καταλήψεται πέρας [12]. Ὅθεν τοῦ λοιποῦ παῦσαι ταῖς ταλαιπωρίαις σου προστιθῶν καὶ τὸ αἰώνιον πῦρ σεαυτῷ ἀνάπτων [13].

B Τηνικαῦτα οὖν ἀγανακτήσας ὁ Αἰγεάτης τὸν μακάριον Ἀνδρέαν τῷ σταυρῷ προσπαγῆναι προσέταξεν [14]. Ὁ δὲ ἀπολιπὼν πάντας πρόσεισι τῷ σταυρῷ καὶ φησιν αὐτῷ μετὰ λαμπρᾶς φωνῆς [15]· Χαίροις ὦ σταυρὲ ὁ ἐν τῷ σώματι [16] τοῦ Χριστοῦ ἐγκαινισθεὶς καὶ ἐκ τῶν μελῶν αὐτοῦ ὡσεὶ μαργαρίταις [17] κοσμηθεὶς [18]· καὶ μὴν πρὶν ἢ εἰς σὲ ἀνελθεῖν τὸν Κύριόν μου πολὺν φόβον ἐπίγειον ἐσχήκεις [19], ἀρτίως [20] δὲ πόθον οὐράνιον κατέχων [21] ὑπὲρ εὐχῆς ἀνήρτησαι [22]. Οἶδα γὰρ ἀπὸ τῶν πιστευόντων πόσας εἰς αὐτὸν χάριτας ἔχεις, πόσα δόματα προητοιμασμένα [23]. Ἀμέριμνος οὖν καὶ

VARIÆ LECTIONES.

δὲ... ἀπολέσθαι cum A : B ὅπερ εἰ μὴ ποιήσῃς, τῷ τοῦ σταυροῦ ξύλῳ σε ποιήσαιμι ἀπόλλυσθαι : C εἰ δὲ μή, ἐν τῷ σταυρῷ σε ποιήσω τελειωθῆναι : D *quod si non feceris, crucis te faciam interire patibulo.* [5] C Ἐγὼ τῷ σταυρῷ τ. Χρ. δεδούλωμαι. [6] καὶ μᾶλλ... τῷ τροπαίῳ (codex τὸ τρόπαιον... ἤπερ (codex εἴπερ δειλιᾶσαι (codex δηλειᾶς) cum A : B καὶ τῷ τροπαίῳ τοῦ στ. εὔξασθαι μᾶλλ. ὤφελον εἴπερ δεδιέναι (corrige ἤπερ δεδιέναι) : C καὶ τοῦ στ. τὸ τρόπαιον μᾶλλ. ἐπιθυμῆσαι ὤφειλον ἢ πτοῆσθαι. [7] σοὶ δὲ... τῷ Χρ. μου cum A : B σὺ (corrige σοὶ) δὲ αἰώνιος βασανισμός· ὤτινι (sic) χρεωστούμενος δυνήσει ἐκφυγεῖν, εἰ μετὰ τὸ δοκιμάσαι τὴν ὑπομονήν μου πιστεύσεις (codex — σῃς) τῷ Χριστῷ : C σὲ δὲ αἰωνία κόλασις ἡ κεχρεωστημένη ὑποδέξεται, ἐὰν μετὰ δοκιμάσαι σε τὴν ἐμὴν ὑπομονὴν καὶ οὕτως μὴ πιστεύσεις τῷ Χρ. : D *tibi autem cruciatus æternus qui debetur, poteris evadere si postquam probaveris perseverantiam meam vel sic credideris Christo.* [8] ἐγὼ γὰρ... θλίβομαι καὶ οὐ (B δέδικα, οὐ)... συνταράσσ. (B νῦν ταράσσ.) cum AB : C ἐγὼ γὰρ διὰ τὸν σὸν ὄλεθρον φοβοῦμαι : D *ego enim de tuo interitu timeo, non de mea passione conturbor.* [9] C om. καταλαμβάνει. [10] ἢ δύο τὸ πολύ (A τὸ πολεῖστον) cum AB : C ἢ τὸ πολὺ δύο. [11] C ἡ δὲ σὴ κόλασις. [12] εἰς ἀτελευτήτους... πέρας cum A : B οὐδὲ χίλια ἔτη δυνήσειται (sic) καταλαμβεῖν (sic) πέρας : C οὐδὲ διὰ χιλίων ἐτῶν δυνήσηται τελειωθῆναι : D *nec per millia annorum potest pervenire ad finem.* [13] ὅθεν ... προστιθῶν (codex προστίθων, sic) καὶ... ἀνάπτων cum A : B ὅθεν παῦσαι λειπὼν τῇ ταλαιπωρίᾳ σου προσθῦσαι (sic) καὶ τὸ... ἀνάψαι : C ὅθεν παῦσαι λοιπὸν ταῖς ταλαιπωρίαις μὴ (scribe τι?) προσθῆναι καὶ πῦρ σεαυτῷ αἰώνιον ἀνάψαι : D *unde desine jam miserias tuas augmentare, et ignem ipse tu tibi æternum accendere noli.* [14] Τηνικαῦτα... ὁ Αἰγεάτης (A ὁ ἀνθύπατος) τὸν... προσέταξεν cum AB : CD Τότε θυμωθεὶς (D *indignatus*) ὁ Αἰγέας τῷ σταυρῷ αὐτὸν προσηλωθῆναι ἐκέλευσεν. Post hæc CD, in quibus Τότε θυμωθεὶς etc. ad sectionem nonam trahuntur, sic pergunt: οὕτως δηλώσας τοῖς κεντηρίοις (sic codex: Woog « vel κεντυρίοις ») ἵνα τεθεὶς τὰς χεῖρας καὶ τοὺς πόδας ὡς εἰς τριπάσσαλον τανυθῇ, ὅπως μὴ πολὺ ἐμπαρεθεὶς (codex ἐμπαρεὶς) τάχιον ἐκλείπει (Woog-πῃ) ἀλλὰ μᾶλλον κριθῇ μακρὰν κρίσιν. Ἐν τῷ οὖν ἀποφέρειν αὐτὸν τοὺς ὑπηρέτας ἐγένετο συνδρομή, καὶ ἔλεγον· Δίκαιος ἄνθρωπος καὶ φίλος Θεοῦ τί ἐποίησεν ἵνα ἐπενεχθῇ ἐν τῷ σταυρῷ ; Ὁ δὲ ἅγιος Ἀνδρέας παρεκάλει τὸν λαὸν λέγων ἵνα μὴ ἐμποδίσωσιν αὐτῷ· χαίρων γὰρ καὶ ἀγαλλιώμενος ἐπορεύετο καὶ μὴ παυόμενος τῆς διδασκαλίας. (*mandans hoc quæstionariis ut ligatis pedibus et manibus quasi in equuleo tenderetur, ne clavis affixus cito deficeret sed cruciaretur potius longo cruciatu. Cumque eum carnifices ducerent ut crucifigeretur, concursus factus est populorum clamantium : Justus homo et amicus Dei quid fecit ut ducatur ad crucem? Andreas vero rogabat populum ut non impedirent passionem ejus. Gaudens enim et exsultaus ibat et a doctrina non cessans*). Apud Abdiam lib. III, XL. (Fabric. Cod. apocr. I, p. 520 sq.) similiter sic legitur: *Sic proconsul septem eum ternionibus flagellorum cæsum crucifigi præcipit, mandans nominatim quæstionariis ut ligatis manibus et pedibus et non clavis affixus suspenderetur, quo diutino cruciatu deficeret.* [15] ὁ δὲ ἀπολ. (A ἀπολείπων δὲ) πάντας (A add. ὁ ἀπόστολος) πρόσεισι... λαμπρᾶς (A om.) φωνῆς cum AB : CD (incipiunt h. I. sectionem 10.) Ὡς δὲ ἦλθεν ὅπου (*ad locum ubi*) ὁ σταυρὸς ἦν ἕτοιμος, ἰδὼν αὐτὸν μακρόθεν ἀνέκραξε φωνῇ μεγάλῃ (*voce magna dicens*). [16] ἐν τῷ σώματι : A εἰς τὸ σώματι (sic). [17] ὡσεὶ μαργαρίταις (A-ρίτας) cum AB : C καθάπερ μαργαριτῶν. [18] καταχοσμηθεὶς. [19] καὶ μὴν... ἀνελθεῖν (B ἀνιέναι)... ἐσχήκεις (A-χις, B-χης) : C πρὸ τοῦ ἀνελθεῖν ἐν σοὶ τὸν Κύρ μου φόβον ἐπίγ. εἶχες. [20] B ἄρτι πόθ. οὐρ. κατέχων (C ἐπέχ.) cum AC : B διὰ πόθον οὐρ. κατέχων σε. [22] ὑπὲρ εὐχ. ἀνήρτησαι cum A ; D *pro voto susciperis ;* D ἀντὶ δώρου (Woog ἀντίδωρον) κρέμασαι Woog-ασθαι) ; C ὑπὲρ εὐχῆς ἀνήρτημαι εἰς σέ. [23] οἶδα... προητοιμασμένα cum AB ; C ἐγνωσθεὶς (scribe ἐγνώσθης ?) παρὰ τῶν πιστῶν ὅσας ἔχεις ἐν σοὶ χάριτας, πόσα δῶρα ἕτοιμα ; D *sciris enim credentibus quanta ;* etc.

χαίρων ἥκω [24] πρός σὲ, ὅπως καὶ σὺ ἀγαλλιώμενος [25] ὑποδέξῃ [26] με τὸν μαθητὴν τοῦ κρεμασθέντος [27] εἰς σέ· διότι πιστός μοι ἀεὶ ἐγένου [28], καὶ ἐπεθύμησα περιπλακῆναί σε [29]. Ὦ ἀγαθὲ [30] σταυρὲ, ὁ εὐπρέπειαν καὶ ὡραιότητα [31] ἐκ τῶν μελῶν τοῦ Κυρίου δεξάμενος [32], ἐπὶ πολὺ ἐπιπόθητε καὶ σπουδαίως ἐπιθυμητὲ καὶ ἐκτενῶς ἐπιζητούμενε [33], καὶ ἤδη ἐπιποθούσης σε τῆς ψυχῆς μου προητοιμασμένε [34], λάβε με ἀπὸ [35] τῶν ἀνθρώπων καὶ ἀπόδος με [36] τῷ Διδασκάλῳ μου, ἵνα διὰ σοῦ ἀπολάβῃ με ὁ διὰ σοῦ με λυτρωσάμενος [37].

A in te; quia fidelis mihi semper fuisti, et desideravi amplecti te. O bona crux, quæ decorem et pulchritudinem de membris Domini suscepisti, diu optata, sollicite desiderata, sine intermissione quæsita, et aliquando jam concupiscenti animo præparata! Suscipe me ab hominibus, et redde me Magistro meo, ut per te me recipiat, qui per te redemit me.

Καὶ ταῦτα εἰπὼν ὁ μακάριος Ἀνδρέας ἑστὼς ἐπὶ τῆς γῆς καὶ ἀτενὲς ὁρῶν εἰς τὸν σταυρὸν ἐξέδυσεν ἑαυτὸν, καὶ δέδωκεν τὰ ἱμάτια αὐτοῦ τοῖς δημίοις, τοῖς ἀδελφοῖς παρακελευσάμενος τοῦ ἥκειν τοὺς δημίους καὶ ποιεῖν τὰ ἐγκελευσθέντα αὐτοῖς· πόῤῥω γὰρ εἱστήκεισαν. Οἵτινες προσελθόντες ἐκούφισαν αὐτὸν ἐν τῷ σταυρῷ καὶ διατείναντες τοῖς σχοινίοις τὸ σῶμα αὐτοῦ μόνον ἀπέδησαν τοὺς πόδας αὐτοῦ, οὐκ ἀπέτεμον δὲ αὐτοῦ τὰς ἀγκύλας [38], ταύτην τὴν ἐντολὴν ἐσχηκότες παρὰ τοῦ ἀνθυπάτου· ἀνιάσαι γὰρ αὐτὸν ἐβούλετο ἀνηρτημένον, καὶ ἐν τῇ νυκτὶ ζῶντα αὐτὸν ὑπὸ κυνῶν κρεμάμενον βρωθῆναι [39].

B Cum hæc dixisset beatus Andreas, stans oculis in crucem defixis, exspoliavit se, et vestimenta sua tradidit carnificibus; fratres discedere hortatus, ut carnifices venirent facerentque quod jussi fuerant: longe enim steterant. Qui, accedentes, levaverunt eum in crucem; et extendentes funibus corpus ejus, pedes ejus tantum ligaverunt, non fregerunt autem ipsius genua: sic enim præceptum fuerat a proconsule, qui eum etiam crucifixum torqueri volebat, et per noctem vivum a canibus devorari.

[40] Παρισταμένου [41] δὲ ὄχλου πολλοῦ τῶν ἀδελφῶν σχεδὸν ὡσεὶ χιλιάδων εἴκοσι [42], καὶ θεασάμενοι [43] τοὺς δημίους ἀποστάντας καὶ μηδὲν πεποιηκότας περὶ τὸν μακάριον ὧν [44] οἱ ἀνακρεμάμενοι πάσχουσιν, προσεδόκουν τι [45] πάλιν ἀκούσεσθαι παρ' αὐτοῦ· καὶ γὰρ κρεμάμενος ἐκίνει τὴν κεφαλὴν αὐτοῦ μειδιῶν. Καὶ ὁ Στρατόκλης ἐπύθετο αὐτοῦ· Τί μειδιᾷς, δοῦλε τοῦ Θεοῦ, Ἀνδρέα; ὁ γέλως σου ἡμᾶς πενθεῖν καὶ κλαίειν ποιεῖ, ὅτι σοῦ στερούμεθα [46]. Καὶ ὁ μακάριος Ἀνδρέας αὐτῷ ἀπεκρίνατο· Οὐ [47] μὴ γελάσω, τέκνον μου Στρατόκλη, τὴν κενὴν ἐνέδραν τοῦ Αἰγεάτου [48], δι' ἧς οἴεται ἡμᾶς [49] τιμωρεῖσθαι; ἀλλότριοι αὐτοῦ

Astabat autem multitudo magna fratrum, quasi viginti millium, qui cum animadvertissent carnifices abscedere, nihil horum in beatum perpetrantes quæ crucifixi pati solent, aliquid ab ipso C rursus audire sperabant; equidem crucifixus caput movebat subridens. Stratocles autem interrogabat eum, dicens: Quid subrides, serve Dei, Andrea? Risus tuus luctum nobis et gemitum parit, quia te orbamur. Cui beatus Andreas respondit: Quomodo non rideam, fili mi Stratocles, malitiam Ægeatis qui nos punire credit? non ab ipso pendemus, neque sumus insidiis ejus obnoxii. Non potest me

VARIÆ LECTIONES.

[24] ἥκω: C ἔρχομαι. [25] ἀγαλλιώμενος (B -λλιῶν: C præm. χαίρων καί. [26] C δέξῃ, B ὑποδέξεσε. [27] B τοῦ Χριστοῦ τοῦ κρεμασθ., C τοῦ ἐν σοὶ σταυρωθέντος, D *ejus qui pependit in te*. [28] πιστός μοι ἀεὶ ἐγένου cum A: B ποθητός σου ἀεὶ ἐγενόμην: C ἀγαπητός σου (omissum ἀεὶ?) ἐγενόμην: D *amator tuus semper fui*. [29] B ἐπεθ. τοῦ περιπλακ. σε. [30] ἀγαθέ: C μακάριε. [31] B ὡραιότητα καὶ εὐπρέπειαν, C μεγαλοπρέπειαν καὶ ὡραιότητα, D *decorem et pulchritudinem*. [32] B ὑποδεξάμενος. [33] ἐπὶ πολὺ... ἐπιζητούμενε (B ζητούμενε) cum AB (D): C πλειστάκεις ἐπιθυμητὲ καὶ ἀγρύπνως ἐκζητούμενε. [34] B καὶ ποτε ἤδη ἐπιποθουμένῃ τῇ ψυχῇ προητοιμασμένε, D *et aliquando jam concupiscenti animo præparata*: C om. [35] ἀπό: C ἐκ [36] καὶ ἀπόδος με: B om. καί, C om. με. [37] λυτρωσάμενος: ita ABCD; sed AB add. χαίροις ὦ σταυρέ· καὶ γὰρ χαίροις ὄντως (B ὄντος)· εὖ (B σὲ) οἶδα· τὸ λοιπὸν οὖν ἀναπαύομαι (B οἶδα καὶ ἀναπαυσάμενόν σε λειπὸν) καὶ (B ἐκ πολλοῦ κεκμηκὼς (B τετμηκότα), πεπηγμένος (B -μένον τε) καὶ ἀναμένον (B -νοντα) με. Ita prorsus. [38] Καὶ ταῦτα.... ὁρῶν (B ἐνορῶν).... τοῖς δημίοις (B add. τοῦτο) τ. ἀδελφ. παρακ. (B παρακ. τ. ἀδ.) τοῦ... τὰ ἐγκελευσθ. αὐτ. (B ἃ ἐκελεύσθησαν)· πόῤῥω (B -ωθεν) γάρ... διατείναντες (A διέτειναν) τοῖς (B om.) σχοιν... τοὺς πόδ. αὐτ. (B αὐτ. τ. πόδ.), οὐκ ἀπέτ. δὲ αὐτ. τ. ἀγκ. (B μήτε μὴν τὰς ἀγκ. αὐτ. ἀποτεμόντες) cum AB: CD Καὶ ταῦτα εἰπὼν ἀπεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ παρέδωκεν αὐτὰ (D *exspoliavit se et vestimenta sua tradidit*) τοῖς ἑτασταῖς (D *carnificibus*)· οἱ δὲ προσελθόντες ἦραν (D *levaverunt*) αὐτὸν ἐν τῷ σταυρῷ, καὶ τανύσαντες τοῖς σχοινίοις ἅπαν τὸ σῶμα αὐτοῦ, καθὰ ἦν αὐτοῖς κελευσθὲν, ἐκρέμασαν αὐτόν. [39] ταύτην τήν... ἐβούλετο (B ἠβούλ.).. ἐν τῇ νυκτὶ (B νυκτὸς) ζ. αὐτὸν (B om.) ὑ. κ. κρεμάμενον (B om.) βρωθ. cum AB: CD om. [40] Pro tota sectione 11, quemadmodum ex AB exscripsi, CD hæc habent eaque ad sect. 10 trahunt: Προσέδραμεν δὲ ὄχλος ἱκανὸς ὡς εἴκοσι χιλιάδων (*Astantes vero erant turbæ ad viginti millia hominum*), ἐν οἷς ἦν καὶ ὁ ἀδελφὸς Αἰγέα τοὔνομα Στρατόκλης, καὶ ἔκραξε (*qui simul clamabat* μετὰ τοῦ λαοῦ. Ἄδικος κρίσις(*injusto jndicio sanctum virum hoc pati*). Ὁ δὲ ἅγιος νύσσων τοὺς λογισμοὺς τῶν πιστῶν (*Sanctus vero Andreas confortabat mentes credentium Christo*) ἐνουθέτει (*et hortabatur*) ὑπομεῖναι τὸν πρόσκαιρον πειρασμὸν (*ad tolerantiam temporalem*), μηδενὸς εἶναι λέγων ἄξιον τὸ πάθος (codex τοῦ πάθους) πρὸς ἀντάρκειαν τῆς αἰωνιου ἀνταποδώσεως (sic; D *docens nihil esse dignum passionis ad æternam remunerationis compensationem*). Apud Abdiam l. I., sectio XLI, sic incipit: *Astante vero turba ingenti, viginti ferme millium hominum, inter quos etiam stabat frater Ægeatis Stratocles*. [41] Παρισταμένου: B παραστάντος. [42] B τ. ἀδελφ. αὐτοῦ ὡσεὶ εἴκ. χιλιάδων, καὶ πρὸς ὃν τάχα τὸν ἀριθμὸν δυνατὸν ἐξαριθμῆσαι. [43] καὶ θεασάμενοι: B θεασ. δέ. [44] ὧν: B ἐξ ὧν. [45] τι: A τε. [46] B στερικόμεθα (corrige στερισκ.). [47] Οὐ: B om. [48] Αἰγεάτου: A ἀνθυπάτου. [49] ἡμᾶς: B ὑμᾶς.

audire; si enim audire posset, intelligeret, factisque disceret supplicia nihil posse in Jesu Christi hominem.

His dictis, sermonem ad omnes astantes convertit: concurrerant enim populi de iniqua sententia Ægeatis indignabundi: O vos, inquit, qui me circumstatis, viri, feminæ, pueri, senes, liberi, servi, et quicunque me audire vultis, oro vos, qui propter me huc convenistis, omnibus vitæ præsentis valédicite, et festinate animam meam suscipere ad cœlestia tendentem, universa omnino temporalia contemnite, confirmantes propositum credentium Christo. Et exhortabatur omnes prædicans quod non sunt condignæ passiones hujus temporalis vitæ, si ad retributionem futuram æternæ vitæ conferantur (*h*).

Populus autem, verba ejus excipiens, non recedebat, beatusque Andreas pluribus eos alloqui satagebat, sermonibusque ejus tanta inerat gratia et sublimitas ut, tribus diebus totidemque noctibus præterlapsis, nullus fatigatus abscesserit. Quarta autem die, admirantes martyris fortitudinem, inflexam voluntatem, miram eloquentiam, exhortationes salutares, animum adeo constantem, prudentem, firmum, sincerumque sermonem, subito in Ægeatem ira accensi, unanimi impetu proconsulis tribunal omnes invadunt, in quo eum sedentem clamoribus impetunt, dicentes: Qualis est sententia tua, proconsul? male judicasti, scelestum est tuum tribunal. Cujus iniquitatis reus est vir? quid mali fecit? conturbata est civitas, omnes nos affligis. Noli civitatis Cæsarianæ fieri traditor, condona Achivis virum justum, condona nobis virum Dei cultorem, cave ne virum amicum Dei occidas. Quatriduanus in cruce suspensus vivit; nihil ipse

(*h*) Rom. VIII, 18.

A ἐσμεν καὶ τῶν ἐπιβουλῶν αὐτοῦ. Οὐκ ἔχει τὸ ἀκούειν· ἐπεὶ εἰ εἶχεν, συνῆκεν [50] ἂν ὅτι τοῦ Ἰησοῦ [51] ἄνθρωπος ἀτιμώρητός ἐστιν [52], διὰ τῆς πείρας τοῦτο μαθών [53].

Καὶ ταῦτα εἰπὼν κοινὸν λόγον τοῖς πᾶσιν διελέχθη [54]. καὶ γὰρ ἔθνη συνέτρεχον ἀγανακτοῦντα [55] ἐπὶ τῇ ἀδίκῳ κρίσει τοῦ Αἰγεάτου [56]. Ἄνδρες, οἱ παρεστῶτές μοι καὶ γυναῖκες, καὶ παῖδες καὶ πρεσβῦται, δοῦλοι καὶ ἐλεύθεροι [57], καὶ ὅσοι [58] μέλλετε ἀκούειν [59], δέομαι ὑμῶν, πάντα τὸν βίον τοῦτον [60] ἀπολίπετε [61], οἱ ἕνεκεν ἐμοῦ συνεληλυθότες ἐνταῦθα, καὶ σπεύσατε καταλαβεῖν τὴν ἐμὴν ψυχὴν ἀπαγομένην [62] πρὸς τὰ οὐράνια, καὶ πάντων ἁπαξαπλῶς τῶν προσκαίρων καταφρονήσατε [63], ἐπιστηρίζοντες [64] τὰς διανοίας τῶν πιστευόντων τῷ Χριστῷ. Καὶ προετρέπετο πάντας [65] διδάσκων ὅτι οὐκ ἄξια τὰ παθήματα τῆς B προσκαίρου ζωῆς [66] ταύτης πρὸς τὴν μέλλουσαν ἀντάμειψιν τῆς αἰωνίου ζωῆς.

[67] Οἱ δὲ ὄχλοι ἀκούοντες [68] τῶν ὑπ' αὐτοῦ λεγομένων [69] οὐκ ἀφίσταντο τοῦ τόπου, καὶ ὁ μακάριος Ἀνδρέας μᾶλλον προσετίθει τοῦ λέγειν πρὸς αὐτοὺς πλείονα ὧν εἰρήκει. Τοσαῦτα δὲ ἦν τὰ ὑπ' αὐτοῦ λεγόμενα ὥστε τριῶν νυχθημέρων ἀναλωθῆναι διάστημα [70], καὶ οὐδεὶς καμὼν [71] ἐχωρίζετο αὐτοῦ. Ὡς δὲ καὶ τῇ τετάρτῃ ἡμέρᾳ τὸ γενναῖον αὐτοῦ ἐθεάσαντο, καὶ τὸ ἀκαμπὲς τῆς διανοίας καὶ τὸ πολὺ τῶν λόγων καὶ τὸ χρηστὸν τῆς προτροπῆς καὶ τὸ εὐσταθὲς τῆς ψυχῆς [72] καὶ τὸ σῶφρον τοῦ πνεύματος καὶ τὸ ἑδραῖον τοῦ νοῦ καὶ τὸ εἰλικρινὲς τοῦ λόγου [73], ἀγανακτήσαντες κατὰ τοῦ Αἰγεάτου ὁμοθυμαδὸν ἅπαντες [74] ἔσπευδον ἐπὶ τὸ βῆμα, καὶ καθεζομένου C τοῦ Αἰγεάτου κατεβόουν λέγοντες [75]. Τίς ἡ κρίσις σου, ἀνθύπατε; κακῶς ἔκρινας, ἀνόσια τὰ δικαστήριά σου [76]. Τί ἠδίκησεν ὁ ἀνήρ; τί κακὸν ἐποίησεν [77]; ἡ πόλις τεθορύβηται· πάντας ἡμᾶς λυπεῖς· μὴ προδῷς τὴν Καίσαρος πόλιν. Χάρισαι Ἀχαιοῖς [78] ἄνδρα δίκαιον, χάρισαι ἡμῖν ἄνδρα θεοσεβῆ, μὴ ἀποκτείνῃς

VARIÆ LECTIONES.

[50] συνῆκεν: B ἀκηκόη [51] τοῦ Ἰησοῦ: B Ἰησοῦς. [52] ἐστιν: A ἔσται. [53] διὰ τ. π. τ. μαθών: B λειπὼν αὐτῷ γνωρισθῆς (sic). [54] H ἀπεκρίνατο κοιν. λόγον, omiss. τ. πᾶσ. διελέχθη. [55] ἀμαναχτοῦντα: A ἀκοῦσαι τά. [56] Αἰγεάτου: A ἀνθυπάτου. [57] B καὶ δοῦλοι κ. ἐλεύθ. [58] B καὶ πάντες ὅσοι. [59] μέλλετε ἀκούειν: A με κλαίετε· ἀκούειν. [60] πάντα τ. β. τοῦτον: B τ. β. ὑμῶν [61] ἀπολίπετε (A-λείπεται): B-λύπεσθαι. [62] ἀπαγομένην: B ἐπιγωμένην. [63] καταφρονήσατε: B πεφεύγετε. [64] ἐπιστηρίζ.: B ἐπικρατείνεται. [65] B om. πάντας. [69] B τὰ παραθύματα (corrige παθήματα) τοῦ καιροῦ ταύτης τῆς ζωῆς. [67] Οἱ δὲ ὄχλοι usque κηρύττειν οὐ παύεται ex AB. Comparanda cum eis sunt quæ in CD ineunte sectione XI, sic leguntur: Καὶ ἐν τούτοις ἀπέρχεται πᾶς ὁ λαὸς μετὰ κραυγῆς εἰς τὸν οἶκον τοῦ Αἰγέα καὶ πάντες ἔλεγον (*Interea vadit... ad domum Ægeatæ, et omnes pariter clamantes dicebant*) Τὸν ἅγιον Ἀνδρέαν, νηφάλιον (codex νιφάλαιον), τὸν ἐνάρετον, τὸν καλὸν διδάσκαλον (D add-*pium, modestum, rationabilem*), μὴ ἔξιν τοῦτο παθεῖν, ἀλλ' ὀφείλει (*non hoc debere pati, sed debere*) ἐκ τοῦ σταυροῦ κατενεχθῆναι, διότι δευτέραν ἡμέραν ἔχων ἐν αὐτῷ (*in cruce positus*) τὴν ἀλήθειαν κηρύττων οὐ παύεται. Apud Abdiam l. I. XLI. confer hæc: *Sequenti igitur die videntes ejus tolerantiam et animi constantiam, denique spiritus prudentiam et mentis robur, venerunt turbæ ad Ægeatem, ac sedente eo pro tribunali vociferantes dixerunt: Quæ ista tua est tam crudelis sententia, proconsul, ut hominem probum, qui nihil mali commisit, crucis supplicio velis condemnari? Perturbata est tota civitas, et simul cum eo omnes perimus. Quæsumus te ne Cæsaris tam celebrem perdas civitatem. Concede nobis hominem justum, redde nobis hominem sanctum, ne interficias hominem Deo charum, ne perdas hominem mansuetum et pium. Biduo enim suspensus vivit, quæ res miraculo non caret, et, quod plus est, loquitur adhuc et nos sermonibus reficit. Quare reddas nobis hunc virum, ut vivamus; solve pudicum, et omnes patriæ* (Patriæ? patria?) *erunt in pace.* [68] ἀκούοντες: B-σαντες. [66] λεγομένων B εἰρημένων. [70] τοσαῦτα usque διάστημα: B (corrupte) καὶ τοσαῦτα ἦν ὡς ἔστιν τεμίρασθαι τοὺς ἀκούοντας τριῶν νυχθ. αὐτοῖς ὁμιλῶν. [71] B οὐδεὶς κάμνων ὅλος. [72] ψυχῆς: B εὐχῆς. [73] B om. καὶ τὸ εἰλ. τ. λόγου. [74] B ἀγανακτ. πρὸς τὸν Αἰγεάτην σὺν ἑνὶ πάντες. [75] ἔσπευδον... κατεβόουν (sic A; B-βόων) λέγοντες ex B: A μετὰ σπουδῆς τὸ βῆμα κατέλαβον, ἐκεῖσε αὐτοῦ καθεζομένου, καὶ κατεβ. αὐτῷ λέγοντες. [76] B καὶ κακῶς ἐδίκασας, ἀδίκως ἔκρινας, ἀνοσιώτατον τὸ δικαστήριόν σου. [77] B τί κακ. ἔπραξεν [78] B Ἀχαιεῦσιν.

ἄνδρα ἔνθεον [79]. Τέσσαρας ἡμέρας [80] κρεμάμενος A
ζῇ· μηδὲν φαγὼν πάντας ἡμᾶς ἐχόρτασεν· κάθελε τὸν ἄνδρα ἀπρὸ τοῦ σταυροῦ, καὶ πάντες φιλοσοφήσωμεν· λῦσον τὸν ἄνδρα [81], καὶ πᾶσα ἡ [82] Ἀχαΐα ἐλεηθήσεται· οὐ δέον ἐστὶν αὐτὸν τοῦτο παθεῖν [83], ὅτι κρεμάμενος [84] τὴν ἀλήθειαν κηρύττειν οὐ παύεται.

[85] Ὡς δὲ παρήκουσεν ὁ ἀνθύπατος, τὰ μὲν πρῶτα τῇ χειρὶ τῷ ὄχλῳ διανεύων τοῦ ἀναχωρεῖν αὐτοὺς, ἐτόλμων τι εἰς αὐτὸν, ὄντες τὸν ἀριθμὸν ὡς δισμύριοι. Οὓς θεασάμενος ὁ ἀνθύπατος τρόπῳ τινὶ ἐμμανεῖς γεγενημένους, δεδοικὼς μή τι δεινὸν πάθοι, ἀναστὰς ἀπὸ τοῦ βήματος συναπίει σὺν αὐτοῖς, ὑποσχόμενος ἀπολύειν τὸν μακάριον Ἀνδρέαν. Ἔφθασαν οὖν τινες τῷ ἀποστόλῳ δηλοῦντες, καὶ τὴν αἰτίαν δι' ἣν ἐπὶ τὸν τόπον παραγίνονται [86].

Παντὸς οὖν τοῦ ὄχλου ἀγαλλιωμένου ὅτι ἤμελλεν ὁ B
μακάριος Ἀνδρέας ἀπολύεσθαι, παραγεναμένου· τοῦ ἀνθυπάτου καὶ πάντων τῶν ἀδέλφῶν χαιρόντων ἅμα τῇ Μαξιμίλλῃ, ὁ μακάριος Ἀνδρέας ταῦτα ἀκούσας εἶπεν τοῖς παρεστῶσιν ἀδελφοῖς· Ἃ δεῖ με πρὸς αὐτὸν εἰπεῖν, ἀναλύοντός μου πρὸς Κύριον, ταῦτα καὶ ἐρῶ. Τίνος χάριν πάλιν ἥκες πρὸς ἡμᾶς, Αἰγεάτα; τίνος ἕνεκεν ἀλλότριος ἡμῶν προσέρχει ἡμῖν; τί τολμῆσαι πάλιν θέλων, τί τεχνάσασθαι; εἰπέ. Λῦσαι ἡμᾶς ἦλθες ὡς μετεγνωκώς; οὐδ' ἂν σοι συνθήσομαι, ὡς ἀληθῶς σου μετεγνωκότος. Οὐδ' ἂν σοι πιστεύσω, ἴδιόν μου σαυτὸν λέγοντά σε. Λύεις δὲ, ἀνθύπατε, τὸν δεθέντα; οὐδαμῶς· ἔχω γὰρ ᾧ συνέσομαι εἰς τὸ διηνεκὲς, ἔχω ᾧ συμπολιτεύσομαι εἰς ἀναριθμήτους αἰῶνας· πρὸς ἐκεῖνον ἄπειμι, πρὸς ἐκεῖνον ἐπείγομάι, τὸν καὶ σέ μοι γνωρίσαντα, τὸν εἰρηκότα
μοι· Μή σε ἐκφοβείτω ὁ δεινὸς ἐκεῖνος· μή σε κρατεῖν C
νομιζέτω ἐμὸν ὄντα· ἐχθρός σου γάρ ἐστιν. Τοιγαροῦν ἐπιγνούς σε διὰ τοῦ ἐπιτρέψαντός μοι ἀπαλλάσσομαί σου. Εἰ δὲ καὶ βούλει πιστεῦσαι τῷ Χριστῷ, ἀνεῳχθήσεταί σοι, καθὼς ὑπεσχόμην σοι, ὁδὸς συγχωρήσεως· εἰ δὲ πρὸς τὸ λῦσαί με μόνον ἐλήλυθας, ἐγὼ τοῦ λοιποῦ ἐκ τοῦ σταυροῦ τούτου ζῶν ἐν τῷ σώματι κατενεχθῆναι οὐ δυνήσομαι. Ἐγὼ γὰρ καὶ οἱ συγγενεῖς μου ἐπὶ τὰ ἡμέτερα ἐπειγόμεθα, ἐῶντες σὲ εἶναι ὅπερ εἶ καὶ ὃ μὴ ἐπίστασαί αὐτὸς περὶ σεαυτοῦ. Ἤδη γὰρ τὸν βασιλέα μου ὁρῶ, ἤδη προσκυνῶ, ἤδη ἐνώπιον αὐτοῦ παρίσταμαι, ἔνθα εἰσὶν αἱ τῶν ἀγγέλων ὁμόνοιαι, ἔνθα αὐτὸς ὁ μόνος αὐτοκράτωρ βασιλεύει, ἔνθα τὸ φῶς ἄνευ νυκτὸς ὑπάρχει, ἔνθα τὰ ἄνθη οὐδέποτε μαραίνονται, ἔνθα ὀδύνη οὐδέποτε γινώσκε-

comedens nos saturavit. Tolle de cruce virum hunc, et omnes sapientiam amplectimur; solve illum, et universa Achaia misericordiam consequetur. Non debet talia pati vir qui in cruce suspensus veritatem prædicare non cessat.

Proconsule autem alia negligente, manuque turbæ innuente ut discederet, grassabatur in eum audacia multitudinis; erant enim viginti millia hominum. Quos animadvertens proconsul quasi furore insanientes, timuit ne quid mali pateretur, surgensque e tribunali exivit sequens illos promittensque se beatum Andream liberaturum. Quidam igitur præcurrentes ad apostolum venerunt, causam adventus sui significantes.

Exsultabant igitur turbæ de futura liberatione beati Andreæ; adveniente autem proconsule et omnibus fratribus cum Maximilla gaudentibus, cum hæc audisset beatus Andreas, fratribus astantibus dixit: Quod oportet me illi dicere, abeuntem ad Dominum, hoc dicam. Quamobrem iterum venis ad nos, Ægeates? Ad quid, tu a nobis alienus, ad nos accedis? quid novi ausurus, quid machinaturus? Dic. Venisne solvere nos quasi resipiscens? neque sic tibi conciliabor, ceu sincere pœnitenti; non tibi crederem, etiamsi te mihi amicissimum diceres. Num me vinctum solvis, o proconsul? minime. Habeo enim cum quo ero in perpetuum, habeo cum quo conversabor per infinita sæcula. Ad illum vado, ad illum propero, qui te mihi notum fecit, qui mihi dixit: Nihil te exterreat ferus ille homo; non credat te qui meus es, a se vincendum; tibi enim inimicatur. Te igitur per illum cognoscenes, tuam potestatem effugio. Si tamen Christo credere velis, patet tibi, sicut jam pollicitus sum, misericordiæ via. Si autem ideo solum venisti ut me solveres, te scire velim me ex hac cruce viventem in corpore tolli non posse. Ego enim et proximi mei ad patriam nostram festinamus, te esse sinentes quod es, circa teipsum cæcutiens. Jam enim regem meum video, jam adoro, jam in conspectu ejus adsum, ubi exsistunt angelorum chori unanimes, ubi ipse solus supremus Dominator regnat, ubi lux est sine nocte, ubi flores nunquam marcescunt, ubi dolor semper ignoratur, neque ipsum mœroris auditur nomen, uti lætitia et ex-

VARIÆ LECTIONES.

[79] ἔνθεον : B add. μὴ ἀνελεῖς ἄνδρα εὐσεβῆ. [80] B τέσσαρσιν ἡμέραις. [81] B om. ἀπὸ τοῦ σταυροῦ usque ἄνδρα. [82] πᾶσα ἡ : A om. ἡ. [83] B αὐτῷ τοῦτο παθεῖν. [84] B κρεμάμμενος. Ita plerumque habet. [85] Ὡς δέ usque ultima ὅταν οὐ δύνασαι ex AB. [86] In CD cum prioribus Ὡς δὲ... παραγίνονται confer quæ illa : κηρύττων οὐ παύεται, excipiunt. Sunt autem hæc : Τότε Αἰγέας φοβηθεὶς τὸν λαὸν ὑπέσχετο κατενεγκεῖν αὐτὸν τοῦ σταυροῦ (codex τῷ σταυρῷ), ἅμα δὲ τοῦ ἄρξασθαι αὐτὸν πορεύεσθαι (sic; vitiose). *Tunc Ægeates pavescens populum et promittens se eam deponere simul cœpit ire.* Apud Abdiam l. l., ineunte sectione XLII, confer hæc : *His commotus proconsul, cum et minas ac tumultum populi metueret, surgens de tribunali Andream solvere cogitabat : profectusque ad locum crucis, læto populo quod famulus Dei liberaretur et frequenti comitante, tristis et facta pœnitens Audreæ suspenso appropinquabat.* Ὡς δὲ... τὰ μὲν πρῶτα (A τ. μ. πρ. post Ὡς δὲ pon.)... τῷ ὄχλῳ (A om. τ. ὄ.) διαν. τ. ἀναχ. αὐτ. (A διαν. ἀνεχώρησεν τὸν ὄχλον· et add. θυμοῦ γὰρ πλησθέντες)... εἰς αὐτόν (B add. πρᾶξαι)... ὡς (B ὡσεὶ)... γεγενημένους (A γενομένους)... δεινὸν πάθοι (B δεινότερον πάθῃ), ἀν. ἀπὸ (A om.) τ. β. συναπ. σὺν αὐτ. (A σ. αὐτ. ἐπορεύετο), ὑποσχ. (A add. καθελεῖν ἤγουν) ἀπολ. (A add. αὐτοῖς) τὸν... οὖν τινες τῷ (A οὖν τοῦτο αὐτῷ τῷ)... δι' ἣν (A add. ὁ ἀνθύπατος)... παραγίνονται (A -γίνεται).

sultatio sempiterna. O beata crux, sine tui amore nemo ad illam patriam pervenit. Sed miseriarum tuarum misereor, o Ægeates, quia tibi instat æterna pernicies; curre igitur pro te ipso, miserande, donec potes, ne tum velis quando jam non poteris.

Cum autem proconsul ad crucem accedere ausus esset, beatum Andream soluturus, quia tota civitas illum conturbabat, tunc voce magna sanctus Andreas dixit : Ne permittas, Domine, me Andream ligno tuo vinctum, solvi ; noli me, mysterii tui participem, impudenti tradere detractori : Jesu Christe, me propter te crucifixum inimicus tuus non solvat : Pater, illum qui cognovit magnitudinem tuam, miser ille non humiiiet. Mittentes autem manus ad crucem carnifices, non poterant penitus contingere eum. Et subinde alii et alii ingerebant se ut solverent eum, et nullus poterat pertingere ad eum : stupebant enim brachia eorum.

Tum beatus Andreas, contestans populum, dixit : Deprecor vos, fratres, ut sinatis me unam Domino meo supplicationem offerre, deinde solvite me. Sic igitur contestanti obtemperans populus, quievit. Tum beatus Andreas, magna voce exclamans, dixit : Non permittas, Domine, famulum tuum ex hac hora a te separari. Tempus enim est ut corpus meum terræ reddatur, me autem ad te venire jubeas. O Domine, vitæ æternæ dispensator, Magister meus quem dilexi, quem in hac cruce confiteor, quem novi,

A ται οὐδὲ ἠκούσθη ὄνομα λύπης, ἔνθα εὐφροσύνη καὶ ἀγαλλίασις τέλος οὐκ ἔχουσα. Ὦ σταυρὲ μακάριε, χωρὶς τοῦ σοῦ πόθου εἰς ἐκείνην τὴν χώραν οὐδεὶς εἰσπορεύεται· ἀλλὰ περὶ τῶν σῶν, Αἰγεάτα, ταλαιπωριῶν ὀδυνῶμαι, διότι ἕτοιμός σε ἐκδέχεται αἰωνία ἀπώλεια. Δράμε οὖν ὑπὲρ σεαυτοῦ, ἐλεεινὲ, ἐν ὅσῳ ἔτι δύνασαι, μή πως τότε θελήσῃς ὅταν οὐ δύνασαι [87].

[88] Ὡς οὖν ἐκεῖνος ἐτόλμα τῷ τοῦ σταυροῦ ξύλῳ προσεγγίσαι ὥστε λῦσαι τὸν μακάριον Ἀνδρέαν, πάσης τῆς πόλεως θορυβούσης αὐτὸν, ὁ ἅγιος Ἀνδρέας μετὰ μεγάλης φωνῆς εἶπεν· Τὸν ἐπὶ τοῦ σοῦ ξύλου δεθέντα Ἀνδρέαν μὴ ἐπιτρέψῃς λυθῆναι, δέσποτα· τὸν ἐπὶ τοῦ σοῦ μυστηρίου ὄντα, μὴ δῷς με ἀναιδεῖ διαβόλῳ. Ἰησοῦ Χριστὲ, τὸν ἐπὶ τῆς σῆς χάριτος κρεμασθέντα, ὁ ἀντίδικός σου μὴ λυέτω με· B Πάτερ, τὸν ἐγνωκότα σου τὸ μέγεθος ὁ μικρὸς οὗτος μηκέτι ταπεινούτω. Βάλλοντες οὖν τὰς χεῖρας οἱ δήμιοι οὐκ ἠδύναντο τὸ παράπαν προσψαῦσαι αὐτοῦ. Ἄλλοι οὖν καὶ ἄλλοι ἐπετήδευον τοῦ λῦσαι αὐτὸν, καὶ οὐδεὶς ὅλως ἠδύνατο προσεγγίσαι αὐτῷ· ἐνάρκουν γὰρ οἱ βραχίονες αὐτῶν [89].

Τότε ὁ μακάριος Ἀνδρέας ἐνορκωσάμενος τὸν λαὸν εἶπεν· Δυσωπῶ ὑμᾶς, ἀδελφοὶ, ἵνα πρῶτον πρὸς τὸν Κύριόν μου μίαν εὐχὴν ποιήσω· εἶθ' οὕτως με λῦσαι ἐπιτηδεύσατε. Πᾶς οὖν ὁ λαὸς διὰ τὸν ὅρκον ἡσύχασεν. Τότε ὁ μακάριος Ἀνδρέας σὺν μεγίστῃ κραυγῇ εἶπεν. Μὴ παραχωρήσῃς, Κύριε, τὸν σὸν θεράποντα ἐκ ταύτης τῆς ὥρας ἀπὸ σοῦ χωρισθῆναι· καιρὸς γάρ ἐστιν ἵνα ἀποδοθῇ τῇ γῇ τὸ σῶμά μου, κἀμὲ πρὸς σὲ ἐλθεῖν προστάξεις. Ὁ ζωὴν αἰώνιον διδοὺς, C σὺ ὁ διδάσκαλός μου ὃν ἠγάπησα, ὃν ἐν τούτῳ τῷ

VARIÆ LECTIONES.

[87] Παντὸς οὖν... παραγεναμένου (B.. νομένου)... ἀδελφοῖς Ἃ δεῖ.. ἐρῶ (B corrupte Ἔδει με πρ. α. εἰπόντα ἀναλῦσαι ὡ δεῖ ταῦτα ἐρῶ)... πάλιν (B om.) ἧκες πρ. ἡμ. (B πρ. ἡμ. ἧκ.).. ἀλλότρ. (B ὁ ἀλλότρ.) ..τεχνάσασθ. (B add. τί μεταπέμψασθαι).. λῦσαι ἡμ. ἦλθ. ὡς (B λύσας ἡμ. προσῄεις) μ. οὐδ' ἂν usque μετεγνωκότος (B corrupte οὐ γὰρ ἀληθῶς Αἰγεάτα ἐπὶ σὺ συνθύσωμαι μεταγνῶς) οὐδ' ἂν usque λέγοντά σε (pro his B οὐ γὰρ ἴδιόν μοι λέγῃς σαυτὸν, πεπίστευκά σοι)· λύεις... δεθέντα (B add. λύεις τὸν πεφευγότα λύεις τὸν ἐλευθερωθέντα ;) οὐδαμῶς (B om.) : ἔχω usque διηνεκές (B νόμον ἔχω ᾧ συνήσομαι εἰς ἀεί), ἔχω ᾧ συμπολιτεύσομαι (B- -σωμαι)... ἐχθρ. σ, γάρ (B om.)... ἐπιγνούς (B ἐπέγνων)... ἐπιτρέψαντός μοι (sic de conjectura scripsi. B ἐπιτρέψαντός με, A ἐπιγράψαντός μοι).. πιστεῦσαι (B -εύειν).. πρὸς τὸ λ. με μ. ἐλήλυθας (B ἐλήλυθ- πρὸς τοῦτο μόνον τοῦ λῦσαί με) ἐ. τοῦ λοιποῦ ἐκ τ. στ. τ. ζῶν (B τὸ λοιπὸν ἔνθεν ζῶν)... κατενεχθ. (B καθελέσθαι) οὐ δυνήσομαι (B -σωμαι).. ἡμέτερα (B ἡμῶν).. ὅπερ εἶ (B ὃ ἦς)... αὐτὸς (A om.).. ὁ μόνος αὐτοκρ. (B μόν. ὁ αὐτ.).. ὑπάρχει (B ἐστιν)... εἰσπορεύεται (B πρόσεισιν οὐδὲ εἰσελεύσεται).. αἰωνία (B -νιος).. οὖν (B om.).. ἔτι (A εἴ τι).. τότε θ. ὅτ. οὐ δύν. (C τηνικαῦτα ἄρξεις ἐθέλειν ἐν τὸ τότε μὴ δύνασθαί σε). Cum posterioribus in CD confer (præcedit πορεύεσθαι, *cæpit ire*) : θεασάμενος αὐτὸν ὁ ἅγιος (D add. *Andreas*) ειπεν· Τί (*Quid tu*) πρὸς ἡμᾶς Αἰγέα ἦλθες ; εἰ μεταμεληθεὶς πιστεῦσαι (*Si vis credere*) τῷ Χριστῷ, καθὼς ὑπεσχνούμην (codex ὑπέσχου μοι) ἀνεῳχθήσεταί σοι ἡ τῆς συγχωρήσεως θύρα (*via indulgentiæ*). Εἰ δὲ ἐπὶ τούτῳ μόνον (codex μένω) ἦλθες τοῦ λῦσαί με, ἐγὼ ἐκ τοῦ σταυροῦ τούτου (*ego penitus hinc de ista cruce*) ζῶν ἐν τούτῳ τῷ σώματι κατενεχθῆναι οὐ θέλω (*non potero*). Τὸν γὰρ (*jam enim*) βασιλέα μου θεωρῶ καὶ προσκυνῶ, καὶ λοιπὸν ἐνώπιον αὐτοῦ παρίσταμαι. Ἀλλ' ἐκ τῶν σῶν ταλαιπωριῶν πεπόνημαι, ὅτι ἡτοίμασταί σοι (*quia paratus te exspectat*) ἡ αἰώνιος ἀπώλεια· δράμε οὖν ὑπὲρ σεαυτοῦ, ταλαίπωρε, ἕως ἂν δύνῃ, ἵνα μὴ τότε ἄρξαι θελήσῃς (*incipias velle*, ὅτε οὐ δυνήσῃ (*poteris*). Pauciora ex Abdia l. l., huc quadrant. Pergit is post *appropinquabat* sic : *Ad quem ille* : *Quid ad nos, inquit, Ægeas, venisti? nunquid solvere me cupis et pœnitentia ductus cedere* (corrige *credere*) *desideras? non mihi, crede, persuadebis ut ex ista cruce recedam.* [88] Tota sectio 14, ex AB sumpta est. [89] Ὡς οὖν (B Καὶ ὡς).. Ἀνδρέαν (B om.).. μετὰ μεγάλης (de conjectura addidi : om. AB).. τοῦ σοῦ (τ. σ. B om.) ξύλου.. ἐπιτρέψῃς (A -ψεις) λυθῆναι (B add. πάλιν), δέσπ. τὸν ἐπὶ.. ὄντα (B om. τὸν ἐπὶ usque ὄντα). ὁ ἀντίδ. σου (A μου).. βάλλοντες (uterque codex βαλλόντες).. προσψαῦσαι (B καθάψασθαι).. ἄλλ. οὖν κ. ἄλλ. (B καὶ ἄλλοι μὲν καὶ ἄλλοι) ἐπετήδευον (A ἐπιτήδευον, B ἐπιτηδεύοντες).. καὶ (B om.) οὐδ. ὅλως (B. om.) ἠδ. προσεγγ. (B προσψαῦσαι) αὐτῷ (B αὐτοῦ· ἐνάρκουν (B ἐναρκίων) γ. οἱ βρ. αὐτῶν. Ad hæc spectant quæ in CD sic leguntur (post δυνήσῃ, *poteris*) : Βάλλοντες δὲ τὰς χεῖρας ἐν τῷ σταυρῷ οἱ ὑπηρέται οὐκ ἠδύναντο φθάσαι αὐτόν. *Mittentes autem manus ad crucem carnifices non poterant penitus contingere eum. Et subinde alii et alii ingerentes se ut solverent eum, et nullus poterat pertingere ad eum. Stupebant enim brachia eorum, quicunque se extendisset ad solvendum eum.*

σταυρῷ καθομολογῶ, ὃν οἶδα, ὃν ἔχω, δέξαι με, δέσποτα, καὶ καθὼς ἐγὼ ὁμολογῶν ὑπήκουσά σοι, οὕτως ἄρτι ἐν τούτῳ τῷ λόγῳ ἐπάκουσόν μου, καὶ πρὶν ἢ τὸ σῶμά μου ἀπὸ τοῦ σταυροῦ καταβῇ, προσλαβοῦ με πρὸς σὲ, ὅπως διὰ τῆς ἐμῆς ἐξόδου ἡ τῶν πολλῶν μου συγγενῶν σύνοδος πρὸς σὲ γένηται, ἀναπαυομένων ἐν τῇ σῇ μεγαλειότητι [90].

Ὡς οὖν ταῦτα εἴρηκεν, ὁρώντων πάντων ἐγένετο χαίρων καὶ ἀγαλλιώμενος· λαμπηδὼν γὰρ σφοδροτάτη ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ ἐξελθοῦσα κατηύγασεν αὐτὸν, καὶ οὕτως αὐτὸν περιεκύκλωσεν ὥστε τὸ παράπαν ἐκ τῆς τοιαύτης λαμπρότητος μὴ δύνασθαι ὀφθαλμοὺς ἀνθρωπίνους βλέψαι αὐτόν. Διέμεινεν οὖν ἡ αἴγλη ὡς ἡμιωρίου διάστημα. Ταῦτα δὲ αὐτοῦ εἰπόντος καὶ τὸν Κύριον ἐπὶ πλεῖον δοξάσαντος, ὑποχωροῦντος τοῦ φωτὸς παρέδωκεν τὸ πνεῦμα, καὶ σὺν αὐτῇ τῇ λαμπηδόνι ᾤχετο πρὸς Κύριον ἐπὶ τῇ εὐχαριστίᾳ αὐτοῦ [91].

[92] Μετὰ δὲ τὴν ἔξοδον τοῦ μακαριωτάτου Ἀνδρέου τοῦ ἀποστόλου ἡ Μαξιμίλλα, δυνατωτάτη οὖσα τῶν ἐπισήμων θηλειῶν καὶ ἐν τοῖς ἐληλυθόσιν διάγουσα, παραυτίκα ὡς ἔμαθεν τὸν ἀπόστολον πρὸς Κύριον πορευθέντα, παραγεναμένη προσέκειτο τῷ σταυρῷ ἅμα τῷ Στρατόκλει, μηδὲν ὅλως τῶν παρεστώτων φροντίσασα, καὶ μετ' εὐλαβείας καθεῖλεν τὸ σῶμα τοῦ μακαριωτάτου ἀποστόλου ἀπὸ τοῦ σταυροῦ. Ὀψίας δὲ γενομένης τὴν ἀναγκαίαν αὐτῷ ἐπιμέλειαν προσάγουσα ἐκήδευσεν μετὰ ἀρωμάτων πολυτίμων, καὶ ἐν τῷ ἰδίῳ αὐτῆς κατέθετο μνήματι. Ἦν γὰρ κεχωρισμένη τοῦ Αἰγεάτου διὰ τὴν θηριώδη αὐτοῦ γνώμην καὶ ἄνομον πολιτείαν, ἑλομένη δὲ βίον σεμνὸν καὶ ἡσύχιον καὶ τῇ τοῦ Χριστοῦ ἀγάπῃ κεκολλημένη, μακαρίως ἅμα τοῖς ἀδελφοῖς διῆγεν [93].

A quem possideo, suscipe me, Domine ; et quia ego, confessor tuus tibi obtemperavi, ideo hanc orationem meam exaudi, et antequam corpus meum ab hac cruce deponatur, suscipe me apud te, ut per meum exitum, consanguineis meis,qui multi sunt, via sternatur ad te, sub protectione magnitudinis tuæ quiescentibus.

Et cum hæc dixisset, in conspectu omnium gaudio et exsultatione repletus apparuit.Splendor enim nimius sicut fulgur de cœlo veniens illuminavit eum, atque ita circumdedit, ut penitus præ ipso splendore oculi eum humani non possent aspicere: permansit autem splendor dimidiæ horæ spatio. Cumque ille sic orasset,Dominum valde glorificans, abscedente lumine, emisit spiritum, et cum ipso B splendore ad Dominum abiit,inter gratiarum actiones.

Post exitum vero beatissimi Andreæ apostoli, Maximilla potentissima inter nobiles feminas, quæ inter eos qui ad martyrem concurrerant permanserat,statim ut cognovit apostolum perrexisse ad Dominum,accessit ad crucem cum Stratocle, circumstantium præsentiam nihil curans, corpusque beatissimi apostoli de cruce cum omni reverentia deposuit.Vespere autem facto, suprema illi officia exhibens sepelivit, cum aromatibus eximiis, et in proprio sepulcro deposuit. Adversata enim Ægeati propter efferatum illius animum et iniquam agendi rationem, Christo autem charitate vehementer adhærens, vitam quietam et austeram feliciter inter C fratres agebat.

VARIÆ LECTIONES.

[90] Τότε . . Ἀνδρέας (A add. ὁ ἀπόστολος) ἐνορκωσ. (B ὁρκίσας . . ἵνα πρῶτον usque ἐπιτηδεύσατε (hæc ex B sunt. A sic : παραχωρῆσαί μοι μικρὸν πρότερον μίαν εὐχὴν προσενέγκαι τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ, καὶ εἶθ' οὕτως ἐπιτηδεῦσαι.τοῦ λῦσαί με).πᾶς οὖν usque ἡσύχασεν (pro his B sic : αὐτοῦ μὲν αὐτοὺς ἐνορκώσαντος (ita) ἠρέμησεν ὁ λαός). τότε . . σὺν (A σὺμ . . ἵνα παραδοθῇ (B παραθύσω) . . προστάξεις (B πρόσταξον) . · αἰών. διδ. (B διδ. αἰών.) . . μου ὃν ἠγάπησα (B ὃν ἐνθεασάμην, ᾧ ἠκολούθησα, ὃν ἐπέγνων), ὃν ἐν τ. τ. στ. καθομολογῶ (B καθωμολόγησα, ὃν ἠγάπησα) . . ἔχω (B add. ὃν φιλῶ, σοῦ εἰμί), δέξαι με δέσποτα (B om.). κ. καθ. ἐγὼ ὁμ. ὑπ. σοι (B καθ. σοὶ ἐνὶ λόγῳ ἐπήκουσα), οὕτως . . . ἀπὸ (A ἐκ τ. στ. καταβῇ (A κατενεχθῇ) . . πρὸς σέ (B om. πρ. σ.), . . ἐξόδου (B add. τῆς ἐπὶ σὲ). . μου (A om.) . . γένηται (B ἐπιστρέψει) ἀναπ. (B add. αὐτῶν) ἐν τ. σ. μεγαλειότητι. Ad hæc cf. D qui post *solvendum eum* sic pergit : *Tunc voce magna sanctus Andreas dixit : Ne permittas, Domine Jesu Christe, me famulum tuum qui propter nomen tuum pendeo in cruce solvi ; nec permittas eum qui jam per crucem tuam cognovit magnitudinem tuam ab Ægeate homine corruptibili humiliari ; sed suscipe me tu, magister meus Christe, quem dilexi, quem cognovi, quem confiteor, quem cernere desidero, in quo sum quod sum. Suscipe, Domine Jesu Christe, spiritum meum in pace ; quia jam tempus est ut veniam, desiderans te videre. Suscipe me, Domine Jesu Christe, magister bone, et jube me de ista cruce non deponi, nisi prius spiritum meum susceperis.* In C vero nihil ejusmodi legitur. Apud Abdiam I. l, XLII, (post *recedam*) hæc huc pertinent : *Et cum populus ut solveret hominem juberet, sanctus Andreas exclamavit voce magna et dixit : Ne permittas famulum tuum, Domine Jesu Christe, qui propter nomen tuum pendet in ligno solvi ; neque permittas, quæso, Deus misericors, secretis tuis inhærentem* (cf. supra) *humanis amplius conversationibus tradi. Sed suscipe tu magister me, quem dilexi, quem cognovi, quem retineo, quem videre desidero, in quo sum quod sum. Suscipe exitum meum, Jesu bone et misericors.* [91] Ὡς οὖν τ. εἴρηκεν (-κει B) . . ὡς ἀστραπὴ (B om. ὡς ἀστρ.) ἐξελθοῦσα (A ἐλθοῦσα) . . καὶ οὕτως α. περιεκ. (B om. κ. οὕτ. α. πε.) . . διέμεινεν οὖν (B ὡς δὲ διέμεινεν) ἡ . . ταῦτα δὲ usque δοξάσαντος (B om. τα. δὲ usque δοξ.) ὑποχωροῦντος (B-ριζομένου) τ. φωτὸς (A add. ἐκείνου) παρέδωκεν (B præm. δοξάσας ἐπὶ πλείω τὸν Κύριον) τὸ.. ἐπὶ (B σὺν) τῇ εὐχ. αὐτοῦ. Cum istis tantum non conveniunt quæ D post *susceperis* habet : *Et cum hæc dixisset, videntibus cunctis splendor nimius, sicut fulgur de cœlo veniens, ita circumdedit eum ut penitus præ ipso splendore oculi eum humani non possent aspicere. Cumque permansisset splendor fere dimidiæ horæ spatio, abscedente lumine, emisit spiritum, simul cum ipso lumine pergens ad Dominum, cui est honor et gloria in sæcula sæculorum, Amen.* vero brevissime sic pergit : ἐξίστατο δὲ τῷ φωτὶ πορευόμενος πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. Item abdias l. I. : *Et hæc dicens, diutissime Dominum clarificans et gaudens, nobis flentibus, reddidit spiritum.* [92] Hæc quoque sectio petita est tota ex codicibus AB. Plura consimilia habet D Latinus ; item aliqua Abdiæ historia ; paucissima codex C. [93] Μετὰ . . Μαξιμίλλα (A -μίλη).. καὶ ἐν (B om.) τοῖς... ἀπόστολον (B

Quam Ægeates instanter sollicitans, ipsam omnium quæ possidebat dominam constituturum pollicitus est. Cum autem illam seducere non valeret, vehementer iratus, etiam contra populum disponebat contestationem publicam facere et ad Cæsarem accusationem contra Maximillam et populum destinare. At vero inter hæc machinanda, in conspectu officii sui, media nocte surgens, suis omnino insciis, a diabolo correptus, ab excelsissimo loco præcipitatus est, et in medio foro civitatis volutatus exspiravit.

Nuntiatum est hoc fratri ejus Stratocli, qui misit servos suos dixitque eis ut inter biothanatos sepelirent eum. Ipse autem de facultatibus ejus nihil quæsivit, dicens : Non mihi permittat Jesus Christus Dominus meus, cui credidi, ut ego de bonis fratris mei aliquid contingam, ne polluat me crimen ejus, quia apostolum Domini ausus est occidere.

Hæc autem gesta sunt apud Achaiam provinciam, civitate Patras, pridie Kalendas Decembris, ubi etiam præstantur ejus beneficia usque in præsentem diem ad gloriam et laudem Domini nostri Jesu Christi, cui gloria in sæcula sæculorum. Amen.

A

Ἣν πολλὰ λιπαρήσας ὁ Αἰγεάτης καὶ ὑποσχόμενος τῶν πραγμάτων αὐτοῦ δεσπόζειν αὐτὴν μὴ δυνηθεὶς δὲ αὐτὴν πεῖσαι μεγάλως ὠργίσθη, καὶ κατὰ παντὸς τοῦ δήμου διετίθετο διαμαρτυρίαν ποιῆσαι δημοσίαν καὶ πρὸς Καίσαρα κατηγορίαν κατά τε τῆς Μαξιμίλλης καὶ παντὸς τοῦ λαοῦ πέμψαι. Ἐν δὲ τῷ ταῦτα διατάσσεσθαι αὐτὸν κατενώπιον τῆς τάξεως αὐτοῦ, νυκτὸς ἀωρίᾳ ἀναστὰς καὶ διαλαθὼν πάντας τοὺς αὐτοῦ, ὑπὸ τοῦ διαβόλου ἐνοχληθεὶς ἀπὸ ὕψους μεγάλου κατηνέχθη, καὶ ἐν μέσῃ τῇ ἀγορᾷ τῆς πόλεως κυλιόμενος ἐξέπνευσεν [94].

Ἀνηγγέλθη δὲ τοῦτο τῷ ἀδελφῷ αὐτοῦ Στρατόκλει, καὶ ἀπέστειλεν τοὺς παῖδας αὐτοῦ εἰρηκὼς αὐτοῖς ὅπως μεταξὺ τῶν βιοθανάτων αὐτὸν θάψωσιν. Αὐτὸς δὲ ἐκ τῆς ὑπάρξεως αὐτοῦ οὐδὲν ἐζήτησεν, λέγων· Μή μοι παραχωρησάτω ὁ Κύριός μου Ἰησοῦς Χριστὸς, ᾧτινι πεπίστευκα, ἵνα ἐγὼ ἐκ τῶν ἀγαθῶν τοῦ ἀδελφοῦ μού τί ποτε ἅψομαι, ἵνα μὴ μολύνῃ με τὸ κατάκριμα αὐτοῦ, ὅστις τὸν ἀπόστολον τοῦ Κυρίου ἐτόλμησεν ἀνελεῖν [95].

B

Ταῦτα ἐπράχθη ἐν τῇ ἐπαρχίᾳ τῆς Ἀχαΐας εἰς Πάτρας τὴν πόλιν πρὸ μιᾶς Καλανδῶν Δεκεμβρίων· ὅπου εὐεργεσίαι παρέχονται μέχρι τῆς σήμερον εἰς δόξαν καὶ ἔπαινον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν [96].

VARIÆ LECTIONES.

